Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Etymologicon Graecum.

https://hdl.handle.net/1874/375201

Hs.
1 A 5

Hs no. 5
Kast 1 pl. A

## Ἀρχὴ τοῦ ζ στοιχείου μετὰ τοῦ Α.

Ζαβουλών· ἀπὸ τοῦ βάλλω· βολὴ· καὶ βουλὴ ἀπὸ τοῦ ζα ἐπιτατικοῦ μορίου· ζαβουλὸς ὁ πάνυ βουλωτικώτατος.

Ζαγρεὺς· ὁ μεγάλως ἀγρεύων. ὡς

πότνια γῆ ζαγρεύς τε θεῶν, πανυπέρτατε πάντων.

ὁ τὴν ἀλκμαιωνίδα γράψας ἔφη· τινὲς δὲ τὸν ζαγρέα υἱὸν ᾅδου φασίν· ὡς

β. Αἴσχυλος ἐν σισύφῳ. β.

ζαγρεῖ τε νῦν με καὶ πολυξένῳ χαίρειν.

ἐν δὲ αἰγύπτῳ.

οὕτως αὐτὸν διὰ τὸν πλοῦτον καλεῖ· τὸν ἀγραῖον τὸν πολυξενώτατον διὰ τῶν κεκμηκότων.

Ζάθεος· πάνυ μέγας· θαυμαστός· παρὰ τὸ ζα ἐπιτατικὸν μόριον, καὶ τὸ θεός· καὶ ζαθέα· καὶ ἰωνικῇ τροπῇ τοῦ α· εἰς η· ζαθέη.

Ζαθέου πάνυ θαυμαστοῦ ζα σημεῖον ἐπιτάσεως.

Ζάθεος· θεῖος· ἢ ἄγαν θαυμαστός.

Ζαθέος· ἐπίρρημα· δίκας· μηδόβλεπτος.

REGNO … FIRENZE

μιαρός· μισητός· παρὰ τὸ ζα ἐπιτατι-
κόν· σημαίνει δὲ καὶ τὸν ἔιτζον.

ζάκορος· νεωκόρος· ἤγουν ἡ διακονοῦ-
σα τηρεῖ τὸ ἱερόν· ἢ ὁ ἱερεὺς ὁ τὸν
ναὸν σαρῶν· κορεῖν γὰρ τὸ σαίρειν Ἀττι-
κῶς· τὸ γὰρ ζα οὐκ ἔστιν ἐνταῦθα ἐπι-
τατικόν· ἀλλ' ἀντὶ τῆς διὰ προθέσε-
ως· ἵν' ᾖ διάκορος. οἱ Αἰολεῖς γὰρ καὶ
οἱ Ἀττικοὶ τὴν δια ζα φασίν· οὕτω
καὶ εἰς τὴν ἐτυμολογίαν καὶ ῥῆμα.

ζάλη· ἡ τοῦ ἀέρος· παρὰ τὸ ζα καὶ
τὸ ἀέλλα.

ζάλη· παρὰ τὸ ἅλς· ἁλός· ἅλη καὶ ζά-
λη· ἢ παρὰ τὸ ἅλω τὸ πηδῶ· ἡ ἀγρι-
ουμένη καὶ ὀγκουμένη θάλασσα. κυ-
ρίως δὲ λέγεται ζάλη ἐπὶ τῆς θαλάσ-
σης· παρὰ τὸ ζέειν τὴν ἅλα· ἤγουν
ὀγκοῦσθαι ὑπὸ ἀνέμων καὶ εἰς τὸ
τρικυμία.

ζαμενής· εὔψυχος· μέγα μένος ἔχων.
τουτέστι ψυχικὴν προθυμίαν· ἢ ζαμε-
νὴς ὁ ἄγαν ὀργίλος· παρὰ τὸ ζα ἐπι-
τατικὸν μόριον· καὶ τὸ μένος· ὃ ση-
μαίνει τὴν ὀργὴν καὶ τὸν θυμόν

ζάφελος· σημαίνει τὸ μεγάλως ἐπικα-

θήμενον· ἢ αὐξημένον· παρὰ τὸ ζα
ἐπιτατικὸν μόριον καὶ τὸ ὀφέλλω
τὸ αὔξω. ζαφελῶς· καὶ τὸ μὲν ζάφελος.
βαρύνεται λόγῳ τοιούτῳ· τὰ εἰς ος
λήγοντα συγκείμενα παρὰ τὸ ζα ἐπιτα-
τικὸν προπαροξύνονται· οἷον ζάθεος.
ζάκοτος· οὕτως οὖν καὶ ζάφελος· τὸ
δὲ ζαφελῶς· περισπᾶται ἐπειδὴ
τὰ διὰ τοῦ λως ἐπιρρήματα παρα-
λήγομενα τῷ ε· καὶ ἐπὶ τὸ πλεῖστον
φιλεῖ περισπᾶσθαι· οἷον ὠτελῶς.
οὕτως καὶ τὸ ζαφελῶς συνεξέδραμε·
πρόσκειται ὡς ἐπὶ τὸ πλεῖστον διὰ
εὐτραπελέως· εἰκελῶς.

Ζαχρειής ὁ βίαιος καὶ σφοδρός.

Ζαχρεῖς· σφοδρῶς· πνεόντων· καὶ ζά-
χρειον τὸ σφοδρόν.

Ζάω· τὸ καθεύδω· οὗ ὁ μέλλων ζάσω.
ἀντὶ τοῦ καθευδήσω.

Ζάω τὸ ζῶ· ἐξ οὗ καὶ τὸ προσζῆ· καὶ
κατ' ἔκτασιν ζῆθι.

Ζαχρειής· κυρίως ζαχειής ἐστι, τὸ βια-
ίως ταῖς χερσὶ πρατ(τ)όμενον· παρὰ
γὰρ τὰς χεῖρας πεποίηται ἡ λέξις.
ὡς ἀπὸ τῶν βοῶν πρὸς ἀλλήλους μάχη.
μὴ συμφωνοῦντες ἐργαζόμενοι. ἐκεῖνοι γὰρ

πολλάκις· ὅταν ἕλκωσι κάμνοντες· ἐπε
ζεύγνυσι τὸ βάρος πρὸς ἀλλήλους.

Ζαχρειής· ἄγαν χρειώδης· παρὰ τὸ χρῶ.
τὸ πλησιάζω· χραύω· ὡς φῶ· φαύω.
χραύω· σὺ μέν τε αὖλις ὕπερ ἄλμαιον.
ὀνομαχρεύς· καὶ ζαχρειής· καὶ ζαχρεῖς.

Ζεῖ· καὶ βράζει· ἐπὶ ὕδατος βράζοντος.
ζεῖν καὶ ἐπὶ ἀνθρώπου· οἷον ζέοντι
πόθῳ θερμαίνον ἐπὶ ἡλίου τοῦ θερμαί
νοντος τὰ πάντα.

Ζεῖ· ὀγκεῖ.

Ζέφυρος· ὁ ἄνεμος εἴρηται· διὰ τὸ ζέ
φυρος· ὅτι ἀπὸ ζόφου πνεῖ. ζόφον δὲ
τὴν δύσιν ἔλεγον οἱ ἀρχαῖοι.

Ζέμα· τὸ θερμὸν καὶ ἡ θερμότης.
παρὰ τὸ ζέω· ζέσμα· καὶ ζέμα· ὡς δέω
δέσμα· καὶ δέμα.

Ζειά· ἐστιν εἶδος κριθῆς· τὰ εἰς ας
θηλυκὰ τῷ ει παραλήγεται διφθόγγῳ
ἢ τὸ ι· ἐπὶ μὲν ζῴων ὀξύνονται· οἷον·
ζειά· φειά· χροιά· ἐπὶ δὲ πράγματος·
οἷον μνεία· χρεία· ζεῖαι. ζειαὶ γὰρ οὕτω
λέγονται αἱ κριθαί· ἐπειδὴ αἴτιαι τῆς
ζωῆς ἐγένοντο· ζειαὶ γίνονται παρὰ τὸ
ζήειν· ζέειαι· καὶ κατὰ συναίρεσιν ζειαί.
αἱ τοῦ ζεῖν ἤγουν αἴτιαι. καὶ γὰρ
πᾶς ὁ ζῶν θερμότητα χαρακτηρίζεται.

Ζειαί. αἱ ὄλυραι. αἱ τοῦ ζῆν αἴτιαι.
ὡς παρὰ τὸ ζέω. ζεαί. καὶ ζειαί.
Ζείδωρος. παρὰ τὸ ζῆ. ζηόδωρος. καὶ κατὰ
συγκοπὴν τοῦ ο ζείδωρος. τοῦ η τραπέν-
τος εἰς τὴν ει δίφθογγον. βοιωτικῶς. ὥσ-
περ ἐπήσω. ἀπειλή. ἢ τὰ πρὸς ζωὴν
δωρουμένη. τουτέστιν ἡ γῆ. ἢ παρὰ τὸ
ζέειν ζεέδωρος. καὶ κατὰ κρᾶσιν τῶν δύο
ε. εἰς τὴν ει δίφθογγον. ζείδωρος.
Ζείδωρον. παρὰ τὸ ζῆν δωρεῖσθαι. αὕτη
ἐστὶν ἡ τὸ θερμότατον αἷμα ἐν τῷ σώμα-
τι ἐμποιοῦσα.
Ζείδωρος. ἢ γὰρ παρὰ τὸ ζεῖ γένους. ζειό-
δωρος. καὶ κατὰ συγκοπὴν τοῦ ο ζείδω-
ρος. ἢ παρὰ τὸ ζῆν γένους ζήδωρος. οἷο-
νει οἱ τὰ πρὸς τὸ ζῆν δωρουμένη. καὶ
βοιωτικῇ τροπῇ τὸ η εἰς τὴν ει δίφθογ-
γον. ἢ παρὰ τὸ ζέειν ἐγράφη.
Ζεῖρα. σημαίνει τὴν ζώνην. καὶ χιτῶνα.
καὶ χλαμύδα. παρὰ τὸ δεῖν ὅ ἐστι δεσ-
μεῖν. καὶ κατὰ μετάθεσιν τοῦ Δ. εἰς Ζ.
ζεῖρα.
Ζείφων. εἰς τὸ ζέφυρος.
Ζεῖρα. ἡ ζώνη καὶ χιτὼν. καὶ χλαμύς.
διὰ τῆς ει διφθόγγου γράφεται. παρὰ
τὸ δεῖν.
Ζεύγλη. παρὰ τὸ ζεύω. ζεύξω ζεύγλη.
Ζεῦγος. παρὰ τὸ ζεύγω ὁμοίως ὁ μέλλων

ζεύξω· καὶ ζεῦγος· ὡς παρὰ τὸ τεῦχος.
ζεύγλη· τὸ τοῦ τραχήλου· καθ' οὗ ὁ ζυγός.
ὅμηρος· ζεύγλης ἐξερείπυα — παρὰ
τὸν ζυγὸν οὖδας ἵκανεν· παρὰ τὸ ζεύχθη.
ἢ αἴζω· αἴγλη· μετὰ τῆς συναιρέσεως.
ζευγίδιον· τῷ χαρακτῆρι τῶν διὰ τοῦ
ἰδίου· οἷον ἀφροδίδιον· ἀρτεμίδιον· προ-
βαλίδιον· ἔτεις ὄμω καὶ ζευγία. ἰστέον
δὲ ὅτι πρῶται τάξεις ἦσαν παρὰ
Ἀθηναίοις. ἦσαν γὰρ πεντακόσιοι μέ-
διμνοι· οἵτινες πεντακόσιοι μέδιμνοι
ἐλέγοντο· ἐπειδὴ ἡ πεντακοσία μέτρα
ξηρῶν ἢ ὑγρῶν ἦσαν καὶ οἱ ζευγῖται.
οἵτινες διακόσιοι μέδιμνοι ἐλέγοντο.
ἐκ τοῦ διακόσια μέτρα τελεῖν· ἦσαν
καὶ οἱ θῆτες. οἵτινες μὴ εὐποροῦντες
τελέσαι τι, ἐθήτευον, καὶ ὡς μίσθιοι
ὑπῆρχον.
ζεύς· διός ὁ κανών· δύο κανόνες οἱ
μαχόμενοι· ὁ μὲν εἷς λέγει· ὅτι πᾶν
ὄνομα μονοσύλλαβον ὀξύτονον μακρο-
ζη̄ κατάληκτον εἰς ς λῆγον· διὰ καθαροῦ
τοῦ ος κλινόμενον· τὸν χρόνον τῆς
εὐθείας θέλει φυλάττειν ἐν τῇ γενικῇ.
οἷον δμώς· δμωός. θώς θωός. καὶ ὤφει-
λεν εἶναι ζεύς ζεός

τῶν ὅπω δύο κανόνων μα-
χομένων. ἐβουλήθην ἡ τῶν Βοιωτῶν διά-
λεκτος. καὶ ἐγένετο ζεὺς. δίος. ζεὺς πό-
τε βαρύνεται. καὶ πότε ὀξύνεται. βα-
ρύνεται μὲν. ὡς τό.

——— ζεὺς δ' ἐρίδα προΐαλεν.

ὀξύνεται δέ.

ζεύς με μέγα κρονίδης ἄτῃ ἐνέδυσε ———

βαρύνεται ἐπειδὴ αἱ ὀξυνόμεναι λέξεις
αἱ διὰ τὴν σύνταξιν τρέπουσι τὴν
ὀξεῖαν. εἰς βαρεῖαν. ἐπιφερομένου τοῦ
ἐγκλιτικοῦ μορίου. τὴν ἰδίαν τάξιν
φυλάττει. σημαίνει δὲ κύριον ὄνομα-
βασιλέως ἀσσυρίων καὶ τὸν ἀστέρα.
ζεὺς ἐκλήθη. ὅτι ἔζησεν ἐν τῇ κρί-
σει. ἢ ὁ κρόνος καταποθέντα τὸ πρό-
τερον δίας καλούμενος. παρὰ τὸ διαμέ-
νειν τὸν χρόνον. βέλτιον δέ ἐστι. ζωῆς
ἐστι παρεκτικός. οἱ δὲ ὅτι τὸ σῶμα
αὐτοῦ ἐσπαργάνωσαν. ὅτι δέει καὶ
βροχῆς αἴτιός ἐστι. καὶ γὰρ πῶς ὁ
θεὸς τριώνυμός ἐστι. καὶ ἕκαστον αὐτοῦ
τῶν ὀνομάτων οὐκ ἔχει τὰς πέντε
πτώσεις. ἀλλ' ὁ μὲν ζεὺς ἔχει τὴν ὀρθὴν
μόνην. καὶ τὴν κλητικήν. ζεῦ. ἀνα-
πληροῦνται δὲ αἱ ἄλλοι ἀκατανόμαστοι.

αἱ γὰρ διὸς· καὶ διῒ· καὶ δία· οὐκ ἔχου
:σι τὴν ὀνομαστικήν. ἀλλὰ ζῆν ὀνομαστι
:κὴ δία· ὅθεν ὁ πλάτων ζῶς εἶναι
φυσί· δι' ὃν ζῶμεν. ζῆνος· δὲ καὶ ζῆνι.
καὶ ζῆνα· ἀπὸ ὀρθῆς τοῦ ζῆν. οἱ δὲ
φυσικοὶ δῖνα, ἀπὸ ὀρθῆς πτώσεως· λέ
:γουσι δὲ τὸν αἰθέρα αὐτὸν εἶναι δία.
ὅτι ἔμπυρος ἐστί· καὶ ζεῖ. ἀλλ' αἰθὴρ
τίκτει σὺν κόρα ζεύς· ὡς ἀνθρωποῖσιν
ὀνομάζεται.

Ζέφυρος· ὁ καὶ λίψ· ὅτι ἀπὸ ζόφου
πνεῖ· ζείφων δὲ τὴν διάλυσιν ἔλεγον
οἱ ἀρχαῖοι.

Ζέφυρος· ὅτι ἐκ τοῦ ζοφωτάτου τῆς
δύσεως πνεῖ.

Ζέφυρος· παρὰ τὸ ζωοφόρος εἶναι· τρέ
:φει γὰρ τοὺς καρπούς. ἢ παρὰ τὸ
ζωὴ καὶ τὸ φέρω· ὁ τὸ ζῆν πᾶσι πα
:ρέχων· καὶ τί μετέχει τοῦ ζῆν· τῷ
γὰρ θέρει πνέοντος αὐτοῦ οἱ καρποὶ
αὔξονται.

Ζηκλὸς· ζῆ ἐκχοὸς· πόνους τιθέμενος
εἰς γαῖαν ἔνθεν τευχὰν εἴδεσαι. ἐκ
παλαι τῶν χρόνων. φιλεῖ γὰρ ζέφυρος
ὁ ἄνεμος. ζωηφόρος τις ὤν· ὁ τὰ πρὸς

ζωὴν φέρων· κατὰ γὰρ τὴν τοῦ ἔαρος
ὥραν πνέων τὰ φυτὰ κυΐσκειν ποιεῖ·
καὶ ὅμηρος·

αὔρη ζεφυρίη πνείουσα τὰ μὲν φύει, ἄλλα δὲ πέσσει.

ἢ ζώφυρος· καὶ ζέφυρος· ὡς· ἄργος· ἄργυρος.
ἢ παρὰ τὸ ζόφος ζέφυρος· ἐκ τοῦ ζόφου
ἐστί· δυτικὸς γάρ·
Ζῆθι· ῥῆμα προστακτικόν· κατὰ ἔκτα-
σιν ἐστίν· ἢ θι συλλαβή· ἐστὶ γὰρ ἄω
τὸ πνέω· καὶ κατὰ τοῦ ζα ζάω· ζῶ.
καὶ κατὰ κρᾶσιν δωρικήν· τοῦ ᾱ εἰς
η· ζῆ· τὸ τρίτον τοῦ παρατατικοῦ·
ἔζαε· ἔζη· καὶ τὸ προστακτικὸν ζῆ· ὡς
τάω· τῶ.

τῆ ἐπεὶ οἶνον κύκλωψ...

ἀντὶ τοῦ δέξαι· καὶ προσθέσει τῆς
θι συλλαβῆς· γίνεται ζῆθι.
Ζῆ· τρίτου προσώπου· ζάω· ζᾶ· ζάεις.
ζᾶς· καὶ κράσει δωρικῇ· τοῦ ᾱ· εἰς η
ζῆ.
Ζῆλος· ὁ ἔρως.

——— ἀμφίλος τε ζῆλος τε.

παρὰ τὸν ζέσω μέλλοντα ζῆλος, ὡς
ἐρείδω· ἔρειδος· ἢ ὅτι ἡ μήτηρ αὐτοῦ
ὤξυνεν ἐυμαίρως τεκεῖν αὐτόν.
Ζῆλος· Εὐριπίδης σαφῶς ἐτυμολογεῖ. β.
ὡς ἐναντιότητι.

ζητοῦσαι γὰρ τὸ κρεῖσσον εὐμάρειαν ἡ τέκνα γυνή.

ζῆλος· ἀπὸ τοῦ ζέω γίνεται ζέλος· καὶ τροπῇ τοῦ ε· εἰς η ζῆλος· ὁ ἐκ τῆς ζέσεως τοῦ θυμοῦ γινόμενος· ἢ ἀπὸ τοῦ ζάλη ζάλος· καὶ τροπῇ ζῆλος· ὁ γὰρ

ἀνθρ. ζῆλος ζάλην βάλλει εἰς τὸν ἄνθρωπον ζῆλος· παρὰ τὸ ζέειν ὅλως ζέελος· καὶ κράσει τῶν δύο εε· εἰς η ζῆλος· καὶ λέγεται ζῆλος· ἐνέργεια ψυχῆς πρὸς θαῦμα τοῦ δοκοῦντος εἶναι καλοῦ κινουμένη.

ζηλῶ παρὰ τὸ ζῆλος· τοῦτο παρὰ τὸ ζέω· ζέηλος· καὶ ζῆλος.

ζῆλος· καὶ ζηλοτυπία διαφέρει· ζῆλος δὲ μίμησις τοῦ καλοῦ· οἷον ζηλοῖ τὸν καλλιγράφον ὁ παῖς.

——— ζηλοῖ τε γείτονα γείτων.

ἐπὶ καλοῦ. ζηλοτυπεῖ δὲ ὁ δεῖνα τὸν δεῖνα. ζηλοτυπία γάρ ἐστι τὸ ἐν μισήσει ὑπάρχον.

ζῆλος· ἀπὸ τοῦ ζῆν· φλέγεται γὰρ ὁ ἐν τῷ πάθει· αἱ πλεῖσται γὰρ τῶν λέξεων μιμητικαί εἰσιν· ὅθεν ἀπὸ τοῦ ζῆν καὶ θερμαίνεσθαι, παρῆκται ὁ ζῆλος· ἀφ' οὗ λοιπὸν τοῦ ζῆ· καὶ ὁ ζυγὸς· καὶ ἡ ζωὴ· καὶ ὁ ζῆλος· καὶ ὅσα ἐστὶν αὐτῷ ὠνομάσθη· ὡς τὸ

καλὰ ῥέεθρα πυρὶ φλέγετο ζέε δ' ὕδωρ.

καὶ ζωρότερον.

ζῆλος. φθόνου διαφέρει. ζῆλος μὲν γάρ ἐστιν. ἡ δι' ἐπιθυμίας γινομένη. δοκοῦντός τινος καλοῦ. φθόνος δὲ βασκανία τις. ἢ τοῖς ἄλλοις μὲν οὖσα ἀγαθή, ἡμῖν δὲ καὶ εἰς τὸ χαμαίζηλος.

ζηλῶσαι. τοῦ ἐρίσαι διαφέρει. ζηλοῦν γάρ ἐστι τὸ σὺν ἐπιθυμίᾳ μιμεῖσθαι. ἐρίζειν δὲ. τὸ κατὰ μάχης φιλονεικεῖν ἐπί τινι πράγματι.

ζῆλος.

ζῆλος δ' ἀνθρώποισιν ὀϊζυρω.

- - - παρὰ τὸ ζεῖν. ὁ φλεγμαίνων καὶ ἐγκαίεσθαι τὴν ψυχήν. ποιεῖ ἢ ζητεῖ πρός τινα ἄλλον ζῆν.

ζημία. ἡ τὰ πρὸς τὸ ζῆν μειοῦσα. τὸ ζῆ. ῆ. τὰ διὰ τοῦ αει παρ' ἡμῖν. μὲν τοῖς ει δίφθογγον κέρανται. παρὰ δὲ τοῖς δωριεῦσι. εἰς η. οἷον. πεινάεις πεινᾷς. καὶ δωρικῶς πεινῆς. καὶ διψῆς. ἔστω γὰρ ζάεις. ζᾷς. ὤφειλεν εἶναι. ἀλλ' ἐπεκράτησε τοῦτο παρ' ἡμῖν λέγεσθαι ζῆν.

ζηνός ὁ δίας. καὶ ζῆνα τὸν δία. καὶ ζῆνι

τῷ διΐ· ἄω καὶ ζῆν τὸ ἦχημα κατὰ μίμησιν τοῦ κατὰ τὴν θερμασίαν τῶν ὑδάτων ἤχου· ἢ ἀπὸ τοῦ ζα καὶ τοῦ ἄω· ζάω· καὶ ζέω.

Ζημία· ἡ τοῦ κέρδους καὶ ὠφελείας ἢ τῶν ὄντων πρὸς τὸ ζῆν μείωσις.

τούτους μεγίστην ζημίαν ὀφλισκάνειν· παρὰ τὴν ζέσιν τὴν γινομένην· ὑπὸ τοῦ θυμοῦ ἐν τῷ ἐκτείνειν τὰ ἐπαγόμενα. ἢ ζημία τίς οὖσα ἢ πολιτική· ἢ τὴν ζωὴν μειοῦσα τουτέστι τὴν περιουσίαν καὶ γὰρ ὁ ποιητὴς ζημίαν τὴν περιουσίαν λέγει. ἢ κατὰ ζωὴν

φρεσὶν μενοίνησα πολλήν.

Ζήτης· ὁ υἱὸς βορέου. Ἀπολλόδωρος ὁ ῥόδιος ἐν τοῖς ἀργοναυτικοῖς· παρὰ τὸ ζα καὶ τὸ μεγάλως πνέειν. ἤτοι παρὰ τὸ σφοδρὸν τοῦ βορέου καὶ μεγαλόπνοον. υἱὸς γὰρ τοῦ βορρᾶ. ὁ αὐτὸς καὶ αἰθρηγενέτης ὁ βορέας· ὁ αἰθέρου καὶ ψυχῆς αἴτιος.

Ζητοῦμεν· περὶ τοῦ δίμηνος καὶ τρίμηνος· πόθεν ἄρα ἐστίν· ἐκ τοῦ ὀνόματος τοῦ δύο καὶ τρία. ἢ ἐκ τοῦ ἐπιρρήματος δὶς καὶ τρίς· καὶ λέγει

ὁ Ἡρωδιανός· κατὰ τροπὴν τοῦ υ. ὡς
ἀφροδύτη ἀφροδίτη· καὶ προσθήκη
τοῦ α. τριάμηνος· καὶ κατὰ συγκοπὴν
τρίμηνος· καὶ ποῖον ἐστιν ἄρα ἀναλο-
γώτερον· τὸ ἐκ τοῦ ὀνόματος λεγομέ-
νον· ἢ τὸ ἐξ ἐπιρρήματος· καὶ λέγει
ὅτι μᾶλλον τὰ ἀπὸ ὀνόματος· ἰδοὺ κατ'
ἐντέλειαν τὰ παρὰ Ἀθηναίοις συντι-
θέντα δεικνύουσιν ἡμῖν καὶ ταῦτα
γίνεσθαι ἐκ τοῦ ὀνόματος· οἷον τηκε
ὀκτάμηνος· ἴσως δέ τις ἀεπάδοι λέγειν
ἰδοὺ λέγομεν καὶ πεντάμηνος· καὶ ὀκτά-
μηνος· καὶ δῆλον ὅτι ἀπὸ τοῦ ἐπιρ-
ρήματος τοῦ πεντάκις καὶ ὀκτάκις
γίνεται τὰ προηκεῖ . . . . ὀκτακί-
μηνος· καὶ πεντακίμηνος· καὶ κατὰ
συγκοπὴν τῆς κι συλλαβῆς· πεντά-
μηνος· καὶ ὀκτάμηνος· καὶ λέγομεν
πρὸς αὐτούς· ὅτι οὐ τοῦτο ἀληθές·
ἀλλὰ πολλάκις οἷον οἱ ἀριθμοὶ ἐν ταῖς
συνθέσεσι καὶ παραγωγαῖς τρέπου-
σι τὸ τέλος εἰς α· ὥσπερ γὰρ ἀπὸ
τοῦ ὀκτὼ γίνεται κατὰ παραγωγὴν
ὀκτάκις· καὶ ἀπὸ τοῦ πέντε πεντά-
κις· οὕτω καὶ τὸ σύνθετον ὄνομα

πεντάμηνος καὶ ὀκτάμηνος· δέδεικται ὅτι τὰ προκείμενα διὰ τῶν ἀττικῶν ὀνομάτων τοῦ πεντέμηνος καὶ ὀκτώμηνος· μᾶλλον ἐκ τοῦ ὀνόματος γίνεται τὸ δίμηνος· καὶ τρίμηνος· καὶ ἐκ τοῦ τρίμηνος· τετράμηνος· ὅτι τετράμηνός ἐστι καὶ ὁ ἀριθμὸς οὐκ ἐξ ἐπιρρήματος ὥς τινες φασί·

Ζῆτα· ἀπὸ τοῦ ζῆτα τοῦ βορειοῦ εἰρῆσθαι φασίν. οὗπερ μέμνηται Ἀπολλώνιος.

Ζήτης ἀόλλωνα ἴσεν βορῆοι ἱκέσθην.

Ζήτημα· παρὰ τοῖς ῥήτορσι καλεῖται· τὸ ἤδη ὁμολογηθὲν συνίστασθαι πρόβλημα τοῦτο· οὐκ ἀξιοῦται δὲ τοῦ ζητήματος προσηγορίας· καὶ εἴ τι μὲν ζήτημα, τοῦτο καὶ πρόβλημα πάντως· οὐκ ἔτι καὶ πρόβλημα τοῦτο πάντως καὶ ζήτημα.

Ζήτρειον· τὸ τῶν δούλων κολαστήριον· παρὰ Χίοις καὶ Ἀχαιοῖς.

Ζήτρειον διὰ τῆς ει διφθόγγου· σημαίνει τὸ τῶν δούλων δεσμωτήριον ἤγουν τὸν μυλῶνα· ἐκεῖ γὰρ ἐδεσμεύοντο οἱ δοῦλοι· γίνεται παρὰ τὸ δεῖν

ὃ σημαίνει τὸ δεσμεύειν. καὶ τὸ τρεῖν
ὃ σημαίνει τὸ φοβεῖσθαι· δείτρειον.
μετατεθέντος τοῦ δ εἰς τὸ ζ. καὶ τῆς
ει διφθόγγου εἰς τὸ η· ὥσπερ πλεῖ˟
πλῆ˟· καὶ μείων μῆ˟. ἢ παρὰ τὸ ζα
ἐπιτατικὸν μόριον καὶ τὸ τρεῖν
ζάτρειον καὶ ζήτρειον. τροπῇ τοῦ
α εἰς η· ἐξ οὗ καὶ τὸ ζάπλουτος.

ζιζάνιον τὸ ἄνευ σπορᾶς συμφυό-
μενον τοῦ σίτῳ. καὶ γίνεται παρὰ
τὸ ἵζω· σίτῳ· καὶ τὸ σίνω τὸ βλάπτω.
σισάνιον· καὶ ἐπικαλούμενον ζιζάνιον
τὸ βλάπτον τὸν σῖτον.

ζόφος· ὁ σκοτασμός. παρὰ τὸ νέφος.
νόφος. καὶ μετὰ τοῦ ζα ζάνοφος καὶ
συγκοπῇ ζόφος. βαρύνεται. τὰ εἰς
φος δισύλλαβα προσηγορικὰ βαρύνον-
ται. εἰ μὴ ἔχει τοῦ υ πρὸ τοῦ τό-
νου συνεσταλμένον οἷον τάφος. κή-
φος. ἔστι δὲ εἶδος ὀρνέου. λαῖφος.
βρέφος. γόφος. ζόφος.

ζυγομαχεῖν. οἱ μὲν ἀπὸ τῶν πω-
λούντων σταθμῶν καὶ διαφερομένων
πρὸς τοὺς ὠνουμένους. οἱ δὲ ἀπὸ
τῶν ὑποζυγίων ἢ βοῶν, ἢ ἵππων.

ἤ τινων τοιούτων μὴ συμφώνους ἐρ-
γαζομένων ὡς Ἡσίοδος. ζυγὸς σημαί-
νει τῶν βοῶν τὸ ξύλον

ἤκ' ἂν τό γ' ἐρίσαντες ἐν αὔλακι —

ὁ δὲ Ἡρόδοτος. ἀπὸ τῶν ἐν τοῖς πλοί-
οις ζυγῶν δοκιμάζει φησὶν εἶναι τὴν
λέξιν. ὅτι περὶ τὰς καθέδρας διαφέ-
ρονται οἱ ἐρέσσοντες οἱ ἐρέται.
ἐν ἄλλῳ Ἡσίοδος.

——— βόε δ' ἐναετήρω

ἄρσεν' κεκτῆσθαι. τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν.
ἤκ' ἂν τό γ' ἐρίσαντες ἐν αὔλακι κάμμεν ἄροτρον
ἄξειαν. τὸ δὲ ἔργον ἐτώσιον αὖθι λίποιεν.

ζύμη τὸ μικρὸν φύραμα. παρὰ τὸ ζωῆς
οἶμον εἶναι. ἢ παρὰ τὸ ζέω. ζύμη. ὡς
λύω. λύμη. καὶ ζυμίτης ὁ ἀρτοποιός.
ζυμίτης. ὁ ἀρτοποιός. ξενοφῶν ἄρτοι
ζυμῖται μεγάλοι. παρὰ τὸ ζῶ. ζέω. καὶ
ἐνζύω. ὡς ξέω. ξύω. χέω. χύω. ζύμη.
καὶ ζύμωμα. καὶ ζυμίτης ἄρτος. ἐκ τοῦ
ζέσαντος ἐξαυτὸς γεγονώς.
ζύμη. ζέουσα μίξις.
ζύμη. τὸ σταῖς. τὸ συμπεφθὲν εἰς ὀπ-
τησιν. παρὰ τὸ ζέω. ζύμη. ὡς λύω
λύμη. ὡς δύω. δύμη. σύω σύμη τὸν ζέων
σταῖς.

Ζύγονος· ὁ πῆχυς τῆς κιθάρας. ὧ οἱ-
κοῦντες οἱ κάμιλοι· οὕτω δὲ λέγονται
οἱ πάσσαλοι· ᾧ ἐξάπτονται καὶ αἱ
χορδαὶ παρὰ τὸ κεκολλῆσθαι.
Ζυγομαχεῖν· κυρίως ὑπὸ τῶν ὑποζυγί(ων)
τῶν ἀντίσων κατὰ τὴν δύναμιν· ἐπαινῶν
οὖν Ἡσίοδος φησίν. ἥλικες ἰσοφόροι.
Ζυγὸς· καὶ ζυγόν· καὶ ἐπὶ τῶν ἁμαξῶν.
καὶ ἁρμάτων καὶ πλοίων· καὶ τὸ λεγόμενον
ὑπὸ τῶν ποιητῶν ταλάντων· παρὰ τὸ
δύο ἄγειν δύαγον· καὶ ζυγὸν κατὰ Δωριεῖς.
Ζεῦγος· ἐκ τοῦ ζυγός· τὸ δὲ ζυγὸς παρὰ
τὸ δύο ἄγειν δυαγός· καὶ τροπῇ τοῦ δ
εἰς ζ· ζυγός· καὶ κράσει τοῦ α υ εἰς τὴν
ευ δίφθογγον ζεῦγος.
Ζυγός· ἐτυμώτερον Αἰολικῶς δυγόν· ὅτι
δύο ἄγει ἡ πλάστιγξ ὅταν σταθμία ση-
μαίνωμεν καὶ ζυγὸς ὁ δύο ἄγων· ζυγὸν
τὸ σταθμητικόν / σημαίνει δὲ καὶ τὴν
καθέδραν τοῦ πλοίου καὶ τὸ ἅρμα.
Ζῶ· ζῇς· ζῇ· ἀπὸ τοῦ ζάω· κατὰ
ἀποβολὴν τοῦ α· τὸ δὲ ζῇς· ζῇ·
ἀπὸ τοῦ ζάει· κατὰ κρᾶσιν Δωρικὴν
τοῦ α καὶ ε· εἰς η τραπέντος· ζῇς·
ζῇ· ὅθεν καὶ ὁ παρατατικὸς ἔζαον·
ἔζων· ἔζαες ἔζη· καὶ λοιπὸν τὸ
προστακτικὸν ζῆ·

Ζῶ· τὸ ῥῆμα· τοῦτο παθητικὸν οὐκ
ἔχει· τὰ γὰρ οὐδέτερα ῥήματα· μή-
-τε ἐνέργειαν μήτε πάθος δηλοῦντα·
παθητικὰ οὐκ ἔχει· οἷον ζῶ· πλουτῶ·
ὑγιαίνω· ὑπάρχω· τὸ ζῆμι κίνησις
οὐχ᾽ εὕρηται· καὶ εἰς τὸ ἀθῷος.

Ζωάγρια· ἄποινα· τὰ ὑπὲρ τοῦ ζῆν
διδόμενα· συντάσσεται μετὰ δοτικῆς.

Ζωάγριος· ζωῆς χαριστής.

Ζωγράφος· διὰ τὸ ζῶα μιμούμενος
γράφειν· καὶ εἰς τὸ ἱστοριογράφος.

Ζωγραφῶ· διὰ τὸ ζῶντας γράφειν· ἢ
διὰ τὸ ζῶα γράφειν.

Ζώδιον ὅτι ζῶντος εἶδος φέρει.

Ζωή· ὥσπερ παρὰ τὸ ῥέω· ῥοή·
καὶ χέω· χοή· οὕτω καὶ ἀπὸ τοῦ ζέω.

Ζωή· τροπῇ τοῦ ο· εἰς ω· τὰ γοῦν
παρὰ τὸ ζῶ συγκείμενα τὴν ὦ τὴν
φυλάσσει γραφήν· οἷον ζωηφόρος·
ζωοτόκος.

Ζώνη· παρὰ τὸ ζωννύω καὶ εἰς τὸ
ζωστήρ.

Ζωννύω· τὸ τῇ ζώνῃ δεσμῶ ἢ ὁπλίζω.
τὸ περιεζωσμένον ἐκ τοῦ ζώσου βα-
ρύνεται. εἰ μὲν ἦν ἀπὸ τοῦ ζῶ· ζώσω.

οὐκ ὤφειλε προσλαμβάνειν τὸ σ. τὸ
δὲ ζῶ. ἐπὶ τῆς ζωῆς. ὁ μέλλων ζήσω.
ἔχει δὲ τὸ ζωννύω. πρὸς τὸ ζῶ συγγέ-
-νειάν τινά. ἐπεὶ τὸ ζῆν αὐτοῦ θερμα-
-σία. ὥσπερ καὶ κατὰ περίφρασιν ἄλλως
λέγεται ὁ νεκρός. ὁ μὴ ἔχων λιβάδα.
μὴ θερμότητα. ἀπὸ μεταφορᾶς τοῦ
ζῆν. καὶ τὸ ζωννύω. ἐπειδὴ κατ' ἐ-
-κεῖνον τὸν τόπον ζωννύμεθα. ἐν ᾧ
ἐστὶ τὸ τοῦ σώματος. ἤγουν ἡ καρδία.
καὶ εἰς τὸ κεραννύω.
ζώνη. τὸ τοῦ σώματος μέρος εἴρηται.
παρὰ τὸ ζῶ. ἐν ᾧ μάλιστα τὸ τοῦ ζῆν
δεκτικὸν καὶ τὸ ζωστικόν. καὶ τὸ περὶ
αὐτὸ ὕφασμα. ζώνη. ὁμωνύμως. ὡς
καὶ θώραξ τὸ μέρος τοῦ σώματος, καὶ
τὸ περιτιθέμενον ὅπλον.
ζωή. ἡ πρὸς τὴν ζωὴν παρασκευὴ καὶ
κτῆσις. ἢ ἤτα πρὸς τὸ ζῆν φέρουσα
χορηγία.
ζωννύω. παρὰ τὸ ζῶ. καὶ τί μετέχει
τὸ ζῶ τοῦ ζωννύω. ἐπειδὴ τὸ ζῶ ἀπὸ
τοῦ ζέω γίνεται, καὶ ἐν ἐκείνῳ τῷ
τόπῳ ζωννύμεθα. ἔνθα ἐστὶ τὸ τοῦ σώ-
-ματος θερμόν. ἤγουν ἡ καρδία. καὶ διὰ
τί γράφεται διὰ δύο νν. ὅτι τὰ ἀπὸ
μονοσυλλάβων ὀξύτονα κατὰ παραγωγήν,

διὰ τοῦ ω̄ μεγάλου γινόμενα ῥήματα διὰ
δύο ν̄ γράφεται· οἷον ζῶ ζωννύω· καὶ ὁ μέλλ
οὐκ ἔχει· διατί· τὰ διὰ τοῦ ῡ ῥήματα ὑπὲρ
δύο συλλαβὰς ποιοῦντα παράγωγα εἰς μι.
ἄρχει τοῦ παρατατικοῦ κλίνονται. τὸ ζῶμη.
διατί· τὰ διὰ τοῦ ζω ὀνόματα διὰ τοῦ ω̄
μεγάλου γράφονται· οἷον ζῶον· ὑπερῷον.
πτῷον ὄρος.
ζῶον τὸ γενικὸν ὄνομα παρὰ τὸ ζῶ· τὸ
τοῦ ζῆν δεκτικόν. τὸ ζωὴν ἔχον· καὶ
θερμότητα· πρὸς ἀντιδιαστολὴν τῶν μὴ
ζώων· ὅθεν καὶ ζεστὸν ἄνθρωπον φαμέν.
τὸ εὐκίνητον καὶ θερμόν.
ζῴοιν καὶ ζῴοις. εἰς τὸ ποιήσειας.
ζῶον· εἴρηται παρὰ τὸ ζῆν. ἔχει καὶ τὸ ῑ.
τὰ γὰρ διὰ τοῦ ῷον οὐδέτερα μονογενῆ,
ἔχει τὸ ῑ· καὶ προπερισπᾶται.
ζῶον ἀπὸ τοῦ ζῶ ῥήματος γέγονε.
ζῶον διὰ τὸ ἐκ ζωῆς ὄν.
ζωπυρεῖν κυρίως· τὸ τοὺς ἄνθρακας φυ-
σᾶν· ὡς τὸ τρισκατάρατος, ἀναζωπυρεῖ
τοὺς ἄνθρακας. Μένανδρος. ἐν ἀρρηφόρῳ.
ζωπυρῆσαι· ἀναθάλψαι.
ζωστὴρ· ζώνης διαφέρει· ζωστὴρ μὲν γὰρ
ἐστὶ κυρίως· ὁ ἀνδρεῖος. ζώνη δὲ ἡ γυναι-
κεία. ζώνη δὲ σημαίνει δύο· τὸν περὶ
τὸν γαστέρα τόπον· καὶ τὴν λεπτὴν τῆς θώρακο-
ζώνην. ζωστὴρ σημαίνει τρία· τὸ ἐπά-
νω τοῦ θώρακος. λέγεται γὰρ ζωστὴρ ἀπαν-
αίολον. ζῶμα δὲ αὐτὸς ὁ θώραξ. λέγεται
δὲ καὶ ζῶμα τὸ περίζωμα.

# Ἀρχὴ τοῦ Η στοιχείου

Ἦ σύνδεσμος βεβαιωτικός· ἀντὶ τοῦ
καθὰ παραλαμβανόμενος· καὶ εἰς τὸ
ὄψι τέλεστος.
Ἦ ἐπίρρημα ὁρκικόν ὅπερ καὶ διὰ διφθόγ-
γου γράφεται· εἰ μὴν ἀργυρῶν ἀργύρω.
Ἢ ψιλούμενον καὶ περισπώμενον· δηλοῖ δὲ
σύνδεσμον παραπληρωματικόν, ἴσον τοῦ δή.
——— ἐπειὴ πολυφέρτερός ἐστιν.
ἔστι δὲ ἐπίρρημα βεβαιώσεως· ἀντὶ τοῦ
ὄντως· ὡς τῇ ἦ· μάλλα δὴ τέθνηκε Μενοίτιο
ἄλγιμενος υἱός· καὶ ἀντὶ ἀπορρηματικοῦ
τοῦ ἆρα.
——— ἢ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο·
καὶ ῥῆμα ἴσον τοῦ ἔφη.
ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.
Ἤ· σύνδεσμος ψιλούμενος, καὶ ὀξυνόμενος.
σημαίνει τρία. ἢ διαζευκτικός· ἢ ὑπο-
διαζευκτικός. ἢ διασαφητικός· καὶ δια-
ζευκτικὸς μέν ἐστιν· ὁ τὰ ἐναντία ἐν
τῇ συντάξει διϊστῶν. οἷον ἢ νέος· ἢ
παλαιός· ἢ ἡμέρα ἐστὶν ἢ νύξ. ὑποδια-
ζευκτικός ἐστιν· ὁ διάφορα πράγματα

τιθείς. καὶ μηδὲν ἕτερον ἐν τῇ αἰτήσει
διαιρῶν. οἷον δός μοι χρυσὸν ἢ ἄργυρον.
ἢ λίθους τιμίους. διασαφητικὸς δὲ
ἐστιν· ὅταν δύο προτεθέντων. τὸ ἓν
ἀναιρεῖται. οἷον. κρεῖσσον ἐν γῇ
β. πένεσθαι ἢ πλουτοῦντα πλεῖν. καὶ
θέλω τύχης σταλαγμὸν. ἢ φρενῶν πίθον.
ῥανὶς φρενῶν μοι μᾶλλον. ἢ βυθὸς τύχης.
πόσα σημαίνει τὸ ἤ. ἢ ἀντὶ τοῦ ἥτις.
ἡ ἀντωνυμία. ἢ ἀντὶ τοῦ ἔστι. πόσα
σημαίνει ὁ ἢ σύνδεσμος. ἀντὶ τοῦ ἢ
τόδε. ἢ τόδε. ἢ ἀντὶ τούτου. καὶ ἢ ἀντὶ
τοῦ ἀλλά, ἢ ἀντὶ τοῦ ὑπάρχει. ἢ ἀντὶ
τοῦ ἆρα. ἢ ἀντὶ τοῦ εἶπε. ἢ πολυ-
μητέα ἦν αὐτοῖς ἀντὶ τοῦ ὅπου. το-
πικὸν ἐπίρρημα. τὸ γὰρ ἦχι, κατ'
ἐπέκτασιν τῆς χι συλλαβῆς.

Ἠβαιός. ὁ μικρός.

Ἠβαιὸν ὄνομα οὐδέτερον. τὸ ἀρσενι-
κὸν ἠβαιός. τὸ η· η· διατί. ἐκ τοῦ
ἥβη. ἡ ἀκμή. ἠβαός. καὶ πλεονασ-
μῷ τοῦ ι. ἠβαιός, ὁ ἐπ' ὀλίγον χρό-
νον ἀκμάζων. καὶ μαραινόμενος πά-
λιν καὶ εἰς τὸ . . . . . ἐκ τοῦ ἥβη
γίνεται. ὦ φίλε λοιπὸν σαβῶσασθαι.

οὐκ ἔστι δὲ οὕτως. ἀλλ' ἀπὸ τοῦ βῆναι
γίνεται βαός. πλεονασμῷ τοῦ ι βα-
ιός. ὁ ἐπ' ὀλίγου βεβηκώς. καὶ πλεο-
νασμῷ τοῦ η. ἠβαιός. ὡς τὸ μυαι
βαῖον. ἢ βαιόν. καὶ ἄλλως. ἐκ τοῦ
γράφεσθαι δίφθογγον πλεονασμὸν εἶναι
τοῦ η. λέγει γὰρ ὁ κανών. τὰ διὰ τοῦ
αιος ὀξύτονα δισύλλαβα τριγενῆ, διὰ
τῆς αι διφθόγγου γράφονται. οἷον σκαιός.
φαιός. λαιός. ἔτι καὶ βαιός. πλὴν τοῦ
θεός. δηλονότι πλεονασμός ἐστι τοῦ ι.
βαιὸν παρὰ τὸ ἥβην. ἐπεὶ καὶ αὐτὴ
ἀρξαμένη ταχέως παύεται. καὶ εἰς τὸ
ἠθεῖος.
Ἥβη. ἡ θεός.
——— μετὰ δὲ σφισι πότνια ἥβη.
καὶ ἡ νεότης.
—— καί γε ἔχει ἄνθος καὶ ἀνδρότητα καὶ ἥβην.
ἤδη τις οὖσα. ἥδει γὰρ ἡμᾶς ὡς ἄνθος
οὖσα. καὶ μεταπλάσει τοῦ δ. εἰς β
βοιωτικῶς. ἢ παρὰ τὸ ἅπτω. ἀφή.
καὶ ἥβη κατὰ τροπὴν τοῦ α καὶ τοῦ
φ. πνεώδεις γὰρ οἱ ἡβῶντες. ἢ ἀφή
τις οὖσα. τότε γὰρ ἁπτόμεθα καὶ
καὶ ἔργου καὶ γυναικός. ἢ παρὰ τὸ

ἡβαιόν ἢ ἐπ' ὀλίγον χρόνον οὖσα· ἀπὸ τοῦ βεβηκέναι· ἄβη· καὶ ἥβη·

Ἥβη· ἡ ἡλικία· ἡ νεότης· Ἡσίοδος· καὶ ἡ τῆς γνώσεως ἀκμή· καὶ ὄνομα θεᾶς καὶ τὸ τοῦ ἀνθρώπου μόριον. ἐκ τοῦ βῶ. βῆ. καὶ πλεονασμῷ τοῦ ῆ· ἥβη· βῶ δὲ σημαίνει τὸ πορεύομαι.

Ἡβυδὸν ἀθρόον· ὅ ἐστι καθ' ἡλικίαν· ἢ κατὰ νεότητα· ἥβη γὰρ ἡ νεότης· τὸ δὲ ἥβη παρὰ τὸ βῶ· τὸ βαίνω· ἥβῶ. καὶ ἐξ αὐτοῦ ἥβη· σῶ δὲ μετὰ δοτι-κῆς.

Ἠγαθέη· θαυμαστή·

ἐν πύλῳ ἀγαθέῃ —— παρὰ τὸ ἄγω· περισπώμενον ἀγάζω· ἀγαστὸς καὶ ἀγαθός· καὶ ἀγάθεος κατὰ τροπὴν ἠγάθεος· ἠγαθέη τὸ θηλυκόν· ἢ παρὰ τὸ ἄγειν καὶ τὸ θεός· τὸ γὰρ ἄγειν ἀποβάλλει τὸ ῑ· ἐν ταῖς συνθέσεσιν. Ἀγαμήδης· ἀγάτροφος· ἀγαμέμνων. καὶ ἠγάθεος· ὁ ἀνεμοεὶς· ἠγάθεον ἢ θαυμαστόν· παρὰ τὸ ἄγαμαι ἀγαθέον. καὶ ἠγάθεον· ἢ παρὰ τὸ ἄγαν καὶ τὴν θέαν· ὁ ἀξιοθέατος· ἠγάσατο ἐθαυ-μάσατο· ἐξεπλάγη· παρὰ τὸ ἄγαν

ἀγάζω· ὡς λίαν· λιάζω· ἢ ἀγαίω· ὡς ἔω· ἐαίω· κνῶ· κναίω· ἀγαίομαι ὅθεν ἠγάσμην· ἠγασάμην· ἠγάσατο· πλεονασμῷ τοῦ σ διὰ τὸ μέτρον· ὡς ἀπὸ ἠκεσάμην· ἠκέσατο· δηλονότι τοῦ σ· ἀποστάντος.

Ἡγεμόνεσσιν· ἡγεμόσιν· ἐπὶ τῶν ἀρσενικῶν καὶ θηλυκῶν ὀνομάτων· ἡνίκα λήγῃ ἡ εὐθεῖα τῶν πληθυντικῶν· εἰς ες· προσθέσει τῆς σι συλλαβῆς· ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν παρὰ τοῖς Ἴωσι καὶ τοῖς ποιηταῖς· οἷον Αἰάντεσσι· γυναῖκες γυναίκεσσιν· ἐπὶ δὲ τῶν οὐδετέρων ἐπειδὴ οὐ λήγει ἡ εὐθεῖα τῶν πληθυντικῶν εἰς ες· ἀπὸ τῆς γενικῆς γίνεται ἡ δοτικὴ τῶν πληθυντικῶν κατὰ τροπὴν τοῦ ο· εἰς ε· οἷον στόματος· στομάτεσσι· δέπαος δεπάεσσι.

Ἡγεμονικός· ἢ τοῦ ἡγεμών· ἡγεμόνος. τοῦτο ἐκ τοῦ ἄγω· ἀγεμὼν ἄρχων. ταξίαρχος· παρὰ τὸ ἄγω ἥγω· ἡγήσατο. ἡγεμὼν καὶ ἡγεμὼν. κλίνεται ἡγεμόνος. συστέλλεται ὡς ῥηματικόν· ἡγεμὼν ἡγεμόνος· κηδεμὼν κηδεμόνος· ὁ Θεοντιτὴς

τὸ γῆ φιλόν. διατί τὰ διὰ τοῦ ημων ὀξύ-
τονα διὰ τοῦ η̄ ψιλοῦ γράφονται. οἷον
κηδημών. ἡγημών. ἀπημών. καὶ εἰς τὸ
βαβιλῶς.

Ἠγερέθοντο. πόθεν ἀπὸ τοῦ ἀγέρεθω. ὁ μέλ-
λων ἀγέρεσω. γίνεται ὁ παθητικὸς ἐνεστὼς
ἀγέρεθομαι. ὁ παρατατικὸς ἠγερεθόμην.
ἠγέρεθου. ἠγέρεθετο. ἠγερεθέμεθα. ἠγέρ-
εθεσθε. ἠγέρεθοντο. καὶ κατὰ πρόσθεσιν
τοῦ ε̄ ἠγερέθοντο.

Ἠγέρθην. ἀγείρω. ἀγερῶ. ἤγερκα. ἤγερμαι,
ἠγέρθην. ἠγέρθησαν τὸ τρίτον. καὶ ποιη-
τικῶς ἤγερθεν ὅμηρος.

Ἤγερθεν συγκοπέντα. τὰ ἔχοντα τὴν
μετοχὴν εἰς σ̄ ὀξύτονον ποιοῦσιν εἰς ος.

Ἠγαλάζω. τὸ ἄγω. καὶ ὁδηγῶ. ὅμηρος.

— καὶ σὺ κακὸν μόρον ἠγαλάζεις.

παρὰ τὸ ἄγω. ἀγάζω καὶ ἠγαλάζω. ὅμηρος.

Ἡγήσατο. ὁδηγὸς ἐγένετο. ὁμώνυμος ἡ
λέξις. ὅτε γὰρ δηλοῖ τὸ προηγεῖσθαι
ὁδοῦ δοτικῇ συντάσσεται. ὅτε δὲ τὸ
ἄρχειν γενικῇ.

Ἥγισμαι. εἰς τὸ ἄγιστα.

Ἡγοῦμαι. Δωριεῖς ἁγοῦμαι.

Ἠγκιστρωμένοι· ἠγρευμένοι· παρὰ τὸ ἄγκιστρον. τοῦτο δὲ παρὰ τὸ ἄγχω· ἄγχιστρον. καὶ τροπῇ τοῦ χ· εἰς κ· ἄγκιστρον· τὸ ἔχον τοὺς ἰχθύας· ἢ παρὰ τὸ ἄγω· τὸ φέρω. σημαίνει δὲ τὸ ἐζωγρημένον.

Ἦγμαι· εἰς τὸ συνκάθητον καὶ παρακειμενητικοῦ.

Ἠγορόωντο· εἰς τὸ ὅου.

Ἤγουν· εἰς τὸ τουτέστιν· ἤγουν παρὰ τὸ νῦν σαφέστερον.

Ἧ δὲ θεοὶ αὐτὴ δὲ αὐτοῦ καὶ περισπᾶται. ἔστι δὲ ἐν μέρος λόγου· ἐπειδὴ δέδειται ἐκ τοῦ ἀρσενικοῦ.

ἀλλ' ὁ δ' ἀνὴρ ἐθέλει πέρι ——

Ἤδη· ὃ σημαίνει τὸ πρώην· δηλοῦσιν οἱ Δωριεῖς διὰ τοῦ ᾱ· λέγ. ἄδη ὅμηρος.

Ἤδη· παρὰ τὸ εἴδω· τὸ γινώσκω· ὁ μέλλος παρακείμενος εἶδα· ἄτρεπτος γὰρ ἡ ει δίφθογγος· εἶτα ἐνταῦθα Ἀττικῇ τῆς ει· εἰς η· ᾔδα· καὶ ὁ ὑπερσυντελικός· ᾔδειν· καὶ τροπῇ Δωρικῇ τῆς ει διφθόγγου γίνεται ᾔδειν· ᾔδεις· ὡς πλείων πλέων.

Ἤδει· ἠπίστατο· εἴδω· τὸ γινώσκω καὶ ἐπίσταμαι· τὸ ει διφθόγγου· ὁ μέλλων

εἴδω. ὁ παρακείμενος εἶκα. ὁ μέσος εἶδα.
ὁ ὑπερσυντελικὸς ᾔδειν. καὶ οἱ Ἀττικοὶ
τὸ ε. τῶν παρῳχημένων εἰς η τρέπου-
σι. καὶ μένει τὸ ι προσγεγραμμένον. τὸ
μ γὰρ ἐβουλόμην λέγουσι. τὸ δὲ ἔθελον.
ἤθελον. οὕτως οὖν καὶ τὸ ει δίφθογγον,
ἔτρεψαν εἰς η. καὶ τὸ ι προσγεγραμμέ-
νον. κἀγὼ οὐκ ᾔδειν αὐτόν. οἱ δὲ Ἴωνες δια-
λύουσι τὴν ει δίφθογγον. τὴν ἐν τῷ τέλει
ἐν μὲν πρώτῳ προσώπῳ. εἰς α καὶ εἰς ε.
ᾔδεα μὲν ὅτι πρόφρων. καὶ ὅτι τέτραπται
εἰς α. καὶ α. οἷον ἐτετύφειν. ἐτετύφεα.
τοῦ η ἀποβληθέντος. ἐπειδὴ τὸ α ἀπο-
βλητόν ἐστι. τοῦ ν. οἷον Ξέρξην. Ξέρξεα.
Πολυδεύκην Πολυδεύκεα.

——— καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα.

ἰώνεα ἤκεζωσα μη νο [illegible] εα.
τὸ ἔτυψα. ἔτυψαν. ἀπὸ κλίσεως ἐχούσης
τὸ ν. καὶ οὐκ ἔστι κατὰ πάθος. ὥσπερ
καὶ ταῦτα. ἐν δὲ τῷ τρίτῳ προσώπῳ
διαλύουσι τὴν δίφθογγον εἰς δύο ε. οἷον
ἐτετύφει. ἐτετύφεε. ἐρχόμενοι δὲ οἱ
Ἀθηναῖοι πάλιν κιρνῶσιν αὐτὰ εἰς η.
οἷον ᾔδη.

ὃς ᾔδη τά τ' ἐόντα.—

Ἤδειν· πόθεν ποιεῖς· ὃ σημαίνει τὸ ἐγίγνωσκον· ἔστιν εἴδω· τὸ γινώσκω· ὁ μέλλων εἴδω· ὁ μέσος εἶδα· καὶ κατὰ διάλυσιν ἔϊδα· καὶ τροπῇ τοῦ ε͂ εἰς ῆ καὶ μένει τὸ ῑ· προσυπογεγραμμένον· ὁ ὑπερσυντέλικος ᾔδειν.

Ἤδη· τοῦ εἴδω· τὸ γινώσκω· ὁ μέλλων εἴδω· ὁ παρακείμενος εἶκα· ὁ μέσος εἶδα καὶ οἶδα· Αἰολικῶς· ὁ ὑπερσυντέλικος εἴδειν· εἴδεις· εἴδει· καὶ κατὰ διάλυσιν ἐΐδει· τροπῇ τοῦ ε͂ εἰς ῆ· καὶ κατὰ διάλυσιν πάλιν ἤδεε· καὶ κράσει τῶν δύο ε͂ εἰς ῆ· ἤδη· ποιητικῶς γράφονται καὶ τὰ δύο· διὰ τοῦ ῆ· κατὰ δὲ ἡμᾶς τὸ πρῶτον καὶ δίφθογγον· καὶ ῆ· τὸ δὲ δεύτερον καθόλου διὰ τῆς ει διφθόγγου.

Ἤδη· πρὸ τούτου· ἐπίρρημα χρόνου δηλωτικόν· συντάσσεται δὲ μετὰ τριῶν χρόνων· τὸ γὰρ ἤδη ἰσοδυναμοῦν τῷ νῦν μετὰ τριῶν χρόνων συντάσσεται· ἐνεστῶτι παρεληλυθότι· καὶ μέλλοντι· σημαίνει δὲ τὸ ἤδη ἀντὶ τοῦ τότου· ἐπειδὴ τὰ ἐπιρρήματα μὴ διαχωρίζοντα· χρόνον κοινὸν καὶ παράτασιν ποιοῦντα· ἐπὶ παντὸς χρόνου παραλαμβάνονται.

οἷον νῦν φρονῶ· νῦν ἐφρόνησα· ἤδη γράφω
ἤδη ἔγραψα· ἤδη γράψω·

Ἤδη· ἀορίστου καὶ χρόνου δηλωτικόν· καὶ πόσους χρόνους δηλοῖ· τρεῖς· ἐνεστῶτα· παρωχημένον· καὶ μέλλοντα· ἐπὶ μὲν τοῦ παρωχημένου χρόνου·

Ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ——

ἐπὶ δὲ τοῦ ἐνεστῶτος· ἤδη γὰρ νῦν τόμοι δὲ εἰκοστὸν ἐστίν· ἐπὶ δὲ τοῦ μέλλοντος·

ἤδη λοίγια ἔργα τάδ' ἔσσεται·

Ἦδον σημαίνει τὸ ἔψαλλον· καὶ εἰς τὸ ᾄδω·

Ἠδολέσχησα· τὸ θέμα ἀδολεσχῶ· γίνεται δὲ παρὰ τὸ ἄδην· ὃ σημαίνει τὸ δαψιλῶς· καὶ τοῦ λέσχης καὶ σημαίνει τὴν πολυλογίαν· πόσα σημαίνει· τέσσαρα· τὸ φιλοσοφῶ· οἷον τὸ· ἠδολέσχησα ἐν τοῖς δικαιώμασί σου· τὸ φλυαρῶ· ὡς τό τί ἀδολεσχεῖς ἄνθρωπε· τὸ πολυλογῶ· ὡς ἐν τῷ ἠδολέσχησα· καὶ ὀλιγοψύχησα· καὶ τὸ παίζω· ὡς τὸ ἐξῆλθεν ἰακὼβ εἰς τὸ πεδίον ἀδολεσχῆσαι καὶ εἰς τὸ ἀδόλεσχος·

Ἡδοναί· ἐπιθυμίαι· παρὰ τὸ ἥδεσθαι· ἢ ἡδονή· τινὲς ἡδόνουσα ὡς τὸ ἄεθρον.

τὸ η̄ αὐτὴν δὲ εἶναι δονοῦσαν καὶ κλονοῦ=
=σαν ἡμᾶς. οἱ δὲ. ἡ ἡδονὴν μετὰ τοῦ ν̄
ὅθεν ἡδονὴ ἄλλο ἀέθρον.

Ἡδύ. γλυκὺ ἐπίρρημα ἀπὸ ὀνόματος με=
=τήχθη. εἰς ἐπιρρηματικὴν σύνταξιν.
ὤδησε ἡδὺς ὁ εὐφραντικός. τὸ ἀχεῖος
διεγέλασεν.

Ἡδὺς καὶ ἡδύτι. τὸ ψιθύρισμα. οὕτω
Θεόκριτος φησίν. ἡδὺς παρὰ τῷ Πλάτω=
=νι ὁ εὐήθης. καὶ ἄφρων.

Ἡδύοσμον. διὰ τὸ ἡδὺ τῆς ὀσμῆς.

Ἡδυ. εἰς τὸ εἶδον καὶ λελωμασμένος.

Ἤδω. εἰς τὸ ἀδεῖν καὶ ἀδόλεσχος. καὶ
εὐώσυχος καὶ ἀμειδής. καὶ ἥνδανε. καὶ ἥσυ=
=χος. καὶ . ε. καί.

Ἡδων. εἰς τὸ σπυδόν.

Ἡ ε διὰ παντός. οὐδέποτε γὰρ σύνδεσμος
εἰς τὴν αι δίφθογγον λήγει. πλὴν τοῦ καί.
καὶ εἰς τὸ οὐκ ἦν.

Ἡδὺ τὸ γλυκύ. οἷον τὸ ἡδὺ τῆς ψαλμῳδίας.
καὶ ἡδὺ τὸ ἔχον γῆν καλήν.

Ἤεια. εἰς τὸ ἠοῦς.

Ἤεις εἰς τὸ εἶς.

Ἠέλιος. περιφραστικῶς ὁ ἥλιος. κατὰ
πλεονασμὸν τοῦ ε ποιητικῶς. ὡς ἐπὶ
τοῦ σῖτον. μετὰ τῆς παρὰ. παράσιτον

καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ ε

παρασήκτον· πόθεν τὸ ἥελιος· ἀπὸ τοῦ

ἥλιος διαλύσει τοῦ η· ε· ἥελιος.

Ἥελιος· παρὰ τὸ ἕλη· ὃ σημαίνει τὴν

λαμπηδόνα· ἕλιος· καὶ τροπῇ τοῦ ε εἰς

η ἥλιος· ὥσπερ ἐστὶ παρὰ τὸ ἕπω τὸ

λέγω ἐξ αὐτοῦ ἕπσω· καὶ τροπῇ τοῦ ε εἰς

ἥπσω η· ἥπσω· τὸ φωνῶ ἥπσα κήρυξ·

ἢ παρὰ τὸ δῆλος ὁ φανερός· δήλιος ἀπο

βολῇ τοῦ δ· ἥλιος· ὡς διώκω· διωκή·

καὶ ἰωκὴ καὶ δαίω τὸ μερίζω· δαίσω καὶ

αἴσω· καὶ δαίμονα· αἵμονα θήρης· ἢ

παρὰ τὸ ἅλς· ἁλός· ἅλιος· καὶ ἥλιος· ἀνι

μᾶσθαι γὰρ φασὶν οἱ φυσικοὶ τὸν ἥλιον

τῆς θαλάσσης τὸ ὕδωρ· καὶ γὰρ ποσειδῶν

παρὰ τὸ πόσιν ἀναπίνειν τῷ δαΐ·

τουτέστι τῷ ἡλίῳ.

Ἥελιος· ὁ ἥλιος· παρὰ τὴν ἕλην ὃ σημαί

νει τὴν θερμασίαν· ἐκτάσει τοῦ ε εἰς

η.

Ἦεν· ἀορίστου δευτέρου προσώπου τῶν

ἑνικῶν· τρίτου τὸ θέμα· ἔω· τὸ ὑπάρ

χω· ὁ μέσος παρακείμενος ἦα· καὶ

ὁ δεύτερος ἀόριστος ἦον· καὶ τὸ τρίτον

ἦε· καὶ ἐπενθέσει τοῦ ν· ἦεν, καὶ ἐν

συναιρέσει τοῦ η καὶ ε εἰς η. αὐτὸ τὸ η γίνεται ἦν· καὶ μένει τὸ ι. τῆς ἐπενθέσεως.

Ἠέριαι· ἔστι ἀήρ, ἀέρος· καὶ ἐξ αὐτοῦ ἀέριος· καὶ ἀερία· τὸ θηλυκὸν καὶ κατὰ ἰωνικὴν τροπὴν τοῦ α· εἰς η· ἠερία καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἠέριαι.

Ἠερέθονται· ἀποκρέμονται· ἢ ἐρεθίζονται· ἐκ τοῦ ἀείρω ὃ σημαίνει τὸ ἐπαίρω· ἐξ αὐτοῦ γίνεται ἀερέθω· καὶ τροπῇ τοῦ α· εἰς η· ἠερέθω· καὶ διατί οὐκ ἔστι· καὶ ὡς τὸ ἀγγερέθω.

Ἠέρι· εἰ μὲν σημαίνει τὸν περικεχυμένον ἡμῖν ἀέρα· ἢ τὸν ἔκτοθεν ἀέρα· γίνεται ὅσω παρὰ τὸ ἄω τὸ πνέω.

Ἣ τότ᾽ ἐνίδημ ἀκροτάτη πεφυῖα διήερος αἰθέρ᾽ ἵκανον. θηλυκῶς δὲ τὴν ἀορασίαν· ἀὴρ δὲ βαθεῖα ἦν.

Ἠερία· ἡ ἀορασία· ἔστιν ἀήρ· ἀέρος· καὶ ἐξ αὐτοῦ γίνεται ἀέρος· καὶ τὸ θηλυκὸν ἀέρια· κατὰ ἰωνικὴν τροπὴν τοῦ α· εἰς η· ἠερία· ἡ εὐθεῖα τῶν πληθυντικῶν· ἠέριαι.

Ἠερία· ἀέρι· ὄνομα γένους θηλυκοῦ. ἡ

εὐθεῖα ἤρεια παροξυτόνως. τὸ - - -.
ἐκ τοῦ ἀὴρ ἀέρος. ἀέριος τὸ ρι. ι.
τὰ ἀπὸ τῶν εἰς ηρ ὑπὲρ μίαν συλλα-
βὴν διὰ τοῦ ιος. γινόμενα διὰ τοῦ ι
γράφεται. οἷον σωτὴρ σωτῆρος. σωτη-
ρειος. ἀστὴρ. ἀστέρος. ἀστέρειος. αἰ-
θὴρ αἰθέρειος. ὀλετὴρ ὀλετήρειος. οὕτω
καὶ ἀὴρ. ἀέρος. ἀέρειος. καὶ τροπῇ
τοῦ α. εἰς η. ἤρειος. πρόσκειται ὑπὲρ
μίαν συλλαβὴν διὰ τὸ θὴρ θηρὸς
θήρειος. λοιπὸν γίνεται ἤρειος. καὶ τὸ
θηλυκὸν ἤρεια. παροξυτόνως ἡ εὐθεῖα.
τῶν πληθυντικῶν ἤρειαι.

Ἤειν. εἶμι τὸ πορεύομαι. ὁ μέλλων
εἴσω. ὁ παρακείμενος εἶκα καὶ ὁ μέσος
εἶα. καὶ οἱ Ἀττικοὶ τὸ ε. τῶν παρῳ-
χημένων εἰς η τρέπουσι. καὶ ὁ ὑ-
περσυντέλικος ἤειν. καὶ μένει τὸ
ι προσγεγραμμένον. τὸ τρίτον τῶν
πληθυντικῶν ἤεισαν. καὶ ἀποβολῇ
τοῦ ι. ἤεσαν. ἤεσαν.

Ἠεροφοῖτις. ὁ ἐν τῷ ἀέρι φοιτῶν
παρὰ τὸ διὰ ἀέρος φοιτᾶν καὶ σκότους.
καὶ θηλυκὸν ἠεροφοῖτις ἡ ἀπροοράτως

φοιτῶσα, καὶ ἀπερχομένη. ὡς τὰ .
. . . τῶν ἀδικημάτων. ἔστι δὲ κα-
ταχθόνιος δαίμων ἡ ἐρινύς. οἷον ἡ δικ-
ερευνῶσα τὰ ἐν ταῖς πράξεσιν ἔργα.

Ἦες. εἰς τὸ οὐκ ἦν.

Ἤεσαν. καὶ προΐεσαν. εἰῶ. διὰ τῆς ει
διφθόγγου. καὶ γίνεται ἐκ τοῦ εἶω. καὶ
πλεονασμῷ τοῦ ι. ἤεσα. καὶ προσήεσαν.

Ἤικα. εἰς τὸ ἄημα.

Ἤημαι. εἰς τὸ ἄημα.

Ἤημμαι εἰς τὸ ἄημα.

Ἤθας ὁ συνήθης. καὶ συνετός. καὶ ἐρο-
λόγος.

Ἤθειος. ἀδελφός. διὰ τῆς ει. παρὰ
γὰρ τὸ θεός. γέγονε θεῖος. καὶ κατὰ
συναίρεσιν τοῦ ε. καὶ ι. εἰς τὴν ει
δίφθογγον. θεῖος. καὶ κατὰ πλεονασ-
μὸν τοῦ η. ἤθειος. ἢ ἀπὸ τοῦ ἦθος.
γέγονεν ἤθειος. σημαίνει δὲ φιλοφρό-
νησιν πρὸς παλαίτε. καὶ τινὲς λέγουσιν
ὅτι πρὸς ἀδελφὸν μόνον λέγεται. ὥσ-
περ Δηΐφοβος λέγεται πρὸς Ἕκτορα
ἠθεῖ' ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς.
οὐ καλῶς δὲ λέγουσιν. εὑρίσκεται γὰρ καὶ
μὴ πρὸς ἀδελφὸν λεγόμενον. ὥσπερ ὁ

Εὔμαιος λέγει περὶ τοῦ Ὀδυσσέως.

Ἀλλά μιν ἠθεῖω καλέω καὶ νόσφιν ἐόντα.

β ἰστέον δὲ ὅτι ὁ Ἀντίμαχος· ἐχρήσατο ταύ=
=τῃ τῇ λέξει· μὴ ποιήσας τινὰ λέγοντα αὐ=
=τήν· ἀλλ' αὐτὸς ἐξ αὐτοῦ λεγόμενος ἐχρήσατο.
τί λέγει.

Αὐτίκα δ' ἠθείοισιν ἀναπτύσσω φάτο μῦθον,
σημαίνει δὲ ἐνταῦθα· τοῖς οἰκείοις φίλοις,
ταῦτα δὲ λέγων περὶ τοῦ Ἀδράστου.

Ἠθεῖε· προσφώνησις· φιλοφρονητικὴ νέου
ἀδελφοῦ πρὸς πρεσβύτερον κατὰ τιμήν.
ἢ παρὰ τὸ θεὸς δεῖ αὐτὸ κανονίζειν. καὶ κα=
=τὰ πλεονασμὸν τοῦ η αὐτὸ γεγονέναι ἠθεῖος.
πλεονάζει γὰρ τὸ η ἐν πολλαῖς λέξεσιν. ὡς
μύει ἠμύει· τὸ κράχει μύσειε πό ——
πεδανός· ἠπεδανός· βαιός· ἠβαιός· ἢ παρὰ
τὸ ἔθος· ἔθειος· ὡς τέλος· τέλειος· ἔρος
ἔρειος· ὄνειδος· ὀνείδειος· καὶ τροπῇ τοῦ
ε· εἰς τὸ η· καὶ καταβιβασμὸν τοῦ τόνου.
γίνεται ἤθειος. ἀναλογώτερον δέ ἐστιν.
ἐκ τοῦ θειός αὐτὸ κανονίζειν. εἴπερ ἐκ
τοῦ ἔθος. ἐκ γὰρ τοῦ θεός. καὶ αὐτὴ τά=
=σις σώζεται. καὶ ὀλίγα πάθη δέδοται.

Ἠ θέμις· ἐστὶν ἀντὶ τοῦ ὡς· τὸ η ὡς
νόμος· ὡς προσῆκον· τόνος δὲ βαρεῖα.

τὰ εἰς η λήγοντα ἐπιρρήματα ἀντιπαρά-
κειται τινὰ βαρυτονούμενα τούτοις· οἷον
πάντως· πάντη· ὧς ἢ ὁμοίως. ὧς καὶ ἦυτε
ἐκ τοῦ η· γέγονεν. ὅθεν καὶ δασύνεται
εἴπερ προσθέσει τοῦ τε γέγονεν. ἦτε
καὶ πλεονασμῷ τοῦ υ ἦυτε. καὶ ψιλοῦται.
τὸ υ πλεονάζον· ψιλοῖ τὰ πρὸ αὐτοῦ
φωνήεντα.

Ἦθος· σημαίνει τὸν τρόπον. γίνεται δὲ
παρὰ τὸ ἔθος· κατ' ἔκτασιν τοῦ ε
εἰς η· ἢ ἀπὸ τοῦ ἵημι· ἥσω· ἥσω γὰρ
ἐγώ. ἀφ' οὗ αἱ κατὰ μέρος ἐκπέμπονται
πράξεις.

Ἠθικά· διότι εἰς ἤθη λέγονται ἀνθρώπου.
τουτέστιν οὐθετικὰ κατορθώματα.

ὅμηρος· ἤϊε· ἐπορεύετο· ἐκ τοῦ εἴομαι
τὸ πορεύομαι. ὁ μέσος παρακείμενος
εἶα. τὸ τρίτον εἶε. καὶ ἐν διαλύσει
ἔϊε. καὶ τροπῇ τοῦ ε εἰς η· ἤϊε. δύνα-
ται καὶ παρατατικός. καὶ εἰς τὸ ὁ
δ' ἤϊε.

Ἧις· εἰς τὸ ἴδμεν.

Ἤϊε· ἰήϊε· τοξότα· τοξικέ. παρὰ τὴν
ἄφεσιν τῶν βελῶν. ἐστὶ γὰρ ἐπίθετον

τοῦ ἀπόλλωνος. εἴρηται δὲ κατὰ ἀφαί-
ρεσιν τῆς πρώτης συλλαβῆς. ἵν᾽ ᾖ ἠΐε.
ἰὸς γὰρ λέγεται τὸ βέλος. παρὰ τὸ ἱέ-
ναι.
Ἠΐνα. καὶ ἠόνα. αἰγιαλὸν ἢ ὄχθαι. οὕτω
παρακαλεῖται ὁ παραθαλάσσιος. καὶ ὁ
δάσιμος τόπος. παρὰ τὸ ἰέναι.
Ἠϊών. ὁ αἰγιαλός. ἤτοι ὅτι ἀκούομεν
ἐκεῖ τῶν κυμάτων ἀπὸ ἰέναι ἀρασσομένων.
οἷον αἰόνα. ἀντὶ τοῦ ἠόνα. δωρικῶς. παρὰ
τὴν ἀπόρρωτον θάλασσαν. μέχρι γὰρ αὐτοῦ
ἵησιν ἡ θάλασσα. τάχα δὲ ἀπὸ τοῦ
ἀονᾶν λέγουσιν ἐπὶ τοῦ καταπλεῖν. ἄϊος
ἀνικότως. μέμνηται δὲ τοῦ ἀονᾶν καὶ
ἱπποκράτης. καὶ εἰς τὸ αἱματόεσσα.
Ἤϊα. γω εἰς τὸ ἰέναι. ἐφόδια. σημαίνει
δὲ καὶ τὰ ἄχυρα. ἠΐων θημῶνα τινάξει.
καὶ τὸ ἐπορευόμαι.
Ἤϊα. πολλὰ θεοὺς γουνούμενος. καὶ τὰ
ἄλευρα. ἐν δὲ καὶ ὄν ἤϊα κωρύκω.
Ἥλατο. ἅλωμι τὸ πηδῶ. τὸ παθητικὸν
ἅλομαι. καὶ ὁ παρατατικὸς ἡλόμην.
ἧκα vide ὦκα. ἅλου. ἥλετο.
Ἧκα παραγενόμην. ἐπίρρημα μεσότη-
τος. γίνεται δὲ παρὰ τὴν αἰτιατικήν.

ὥσπερ παρὰ τὸ πρόσθεν· πρόσθα· καὶ ἔνερ-
θεν ἔνερθα· καὶ ἔνθεν· ἔνθα· οὕτω καὶ
τὸ ἆκεν· ἦκα γενόμενον· κατὰ μετάληψιν
τοῦ αὐτοῦ φωνήεντος· ἀναγκαίως ἀπο-
κλιτικῶς γέγονε τοῦ ν. καὶ εἰς τὸ ἥκιστα.
καὶ πρὸς· καὶ προσήκατο· καὶ σωπῆκα.
Ἧκες· σημαίνει τὸ ἦλθες· τὸ θέμα ἥκω.
ὁ μέλλων ἥξω. ὁ παρατατικὸς ἧκες· ἧκε.
Ἥκιστα· σημαίνει τὸ οὐδαμῶς. Ἡρόδοτος
λέγει· ἐκ τοῦ ἦκα μάλα ψύξας γίνεται.
ἥκιστα· πλεονασμῷ τοῦ σ. οὐχ ἥκιστα δέ.
ἀντὶ τοῦ λίαν καὶ πάνυ.
Ἠκέστας· ἀκεντήτους ἀδαμάστους. παρὰ
τὸ κεντῶ ἢ κένσω· κεστὸς· ἄκεστος· καὶ ἠκεστός.
ἠκεστή· καὶ ἠκέστας τοὺς ἀκεντήτους.
Ἠκέων· εἰς τὸ ἀκέων.
Ἠκηδίασε· παρὰ τὸ ἀκηδιῶ· τοῦτο παρὰ
τὸ ἀκηδιάζω· ἢ παρὰ τὸ κήδω ἀκηδιάζω.
καὶ ἀκηδιῶ.
Ἥκιστα· σημαίνει τὸ οὐδαμῶς. λέγει Ἡρό-
δοτος ὅτι παραλόγως δασύνεται Ἀττικῶς
ἐκ τοῦ ἥσσω· τὸ ἥττω· ἐκεῖνο γὰρ δα-
σύνεται· γίνεται δὲ ἐκ τοῦ ἦκα τοῦ
ἠρέμα· ἦκα μάλα ψύξασα. ἐκ τοῦ ἦκα.

ἥκιστα· καὶ μετὰ τῆς οὐ ἀρνήσεως· οὐχ ἥκιστα. ἀντὶ τοῦ μάλιστα. δείκνυται γὰρ ἐκ συναλοιφῆς.

Ἥκιστα· ἐλάχιστα· ἢ ἀντὶ τοῦ ἐπ' ὀλίγον. λαμβάνεται καὶ ἀντὶ τοῦ πολλά.

Ἤκουσα· παρ' ὁμήρῳ· ἄκουσα.

Ἥκιστος· ὁ ἐλάχιστος. καὶ ἥσυχος. παρὰ τὴν ἀκήν· ὃ δηλοῖ τὴν ἡσυχίαν. καὶ εἰς τὸ στάτα.

Ἠκροτηριασμένος· ἐκ τοῦ ἄκρον καὶ τοῦ πέω τὸ ἀποτέμνω. οἱ τὰ ἄκρα τῶν μερῶν ἀποβάλλοντες.

Ἤκουσμαι· εἰς τὸ ἀκουστικῆς.

Ἠκούτισας τὸ θέμα ἀκουτίζω· τὸ ἀκούειν ποιῶ· ἄλλον τινὰ κυρίως· πόθεν γίνεται· παρὰ τὸ ἀκουστός. τοῦτο παρὰ τὸ ἀκούω.

Ἠκονημένα· παρὰ τὸ ἀκονῶ. ἐπὶ δὲ συζυγίας δευτέρας· τῶν περισπωμένων. τοῦτο παρὰ τὸ ἀκόνη. ἔστι δὲ λίθος δι' οὗ ὀξύνεται ὁ σίδηρος. τοῦτο παρὰ τὸ κονῶ καὶ τὸ φθείρω καὶ λεπτύνω. τὸ φθείρω σημαίνει τὸ λεπτύνω τὸν σίδηρον.

Ἧκται· εἰς τὸν δυσκάθεκτον καὶ παρεκτικόν.

Ἥκω· εἰς τὸ ἄκρον· καὶ ἑκηβόλος· καὶ

ἱκέσθαι· καὶ ἱκέτης· καὶ προσῆκον.

Ἠλακάτη· τῶν γυναικῶν ἐργαλεῖον. εἰς

ὅπερ ἑλίσσουσι τὸ ἔριον· ἢ ἀπ' αὐτοῦ τοῦ

σκεύους· στρέφεται γάρ· ὅμηρος· ἐπὶ μὲν

τῶν ἐρίων ἠλακατρόφος·

——— ἁλιπόρφυρα θαῦμα ἰδέσθαι.

ἐπὶ δὲ τοῦ σκεύους

ἠλακάτη τετάνυστο· ἰοδνεφὲς εἶρος ἔχουσα.

ἡ δὲ Ἄρτεμις· χρυσηλάκατος. οὐκ ἀπὸ τοῦ

τύπου. ἀλλ' ἀπὸ τῶν βελῶν· καθ' ὁμοίωσιν

ὄντων ἠλακάτῃ· ἢ ὅτι τοῦτο ἠλάκατον

τῆς θεοῦ τὸ βέλος.

Ἠλεκάτη· ἐκτάσει τοῦ ε· εἰς η· ἔλω γὰρ

γὰρ ἔλας· καὶ ἤλακα.

Ἠλάξαντο· ἐκ τοῦ ἀλλάσσω· τοῦτο παρὰ

τὸ ἄλγος.

Ἠλασκάζω· παρὰ τὸ ἀλῶ· ἀλασκάζω καὶ

ἠλασκάζω· σημαίνει δὲ τὸ διατρίβω.

Ἠλάσκουσι· πλανῶνται· παρὰ τὸ εἴλω

ἐλάσκω· καὶ ἠλάσκω.

——— αἵ τε κατὰ σταθμὸν ποίμνιον ἠλάσκουσιν.

ἤγουν τὸ ἐπὶ τοῦ αὐτοῦ τόπου εἰλεῖσθαι.

Ἤλυθον· εἰς τὸ εἶμι.

Ἠλέκτωρ· ὁ ἥλιος· ὅτι ἄλυκτός ἐστι καὶ

ἀκάμας· ἔνιοι δὲ· ἀπὸ τῆς λαμπρότητος.

τοῦ ἠλέκτρου. δδο. σημαίνει. ζῶον ἀλέκτωρ
ἡμᾶς ἐγείρων. καὶ εἰς τὸ ἥλιος.

Ἠλέκτωρ. ὁ ἥλιος ἐπιθετικῶς. ὅτι ἀ-
λέκτους ἡμᾶς ποιεῖ, ἀνισταμένους ἐκ
τῆς κοίτης. ἢ ὅτι λαμπρός. παρὰ τὸ
ἤλεκτρον.

Ἠλεός. καὶ ἠλεύς. ὁ ἄφρων. καὶ εἰς τὸ
ἄλλως.

Ἤλυθα. εἰς τὸ εἰλήλουθας.

Ἤλθοσαν. παρὰ τὸ ἐλεύθω. ὁ μέλλων ἐ-
λεύσω. ὁ ἀόριστος ἤλευσα. ὁ δεύτερος
ἀόριστος ἤλυθον. καὶ ἐν συγκοπῇ ἦλθον.
καὶ πῶς γίνεται ἤλθοσα. οἱ γὰρ Βοιω-
τοὶ ἐπὶ τῶν μὴ ἐχόντων μετοχὴν εἰς
ων ὀξύτονον ποιοῦσιν ἔνδειαν. ἐκοσμή-
θημεν, ἐκόσμηθε. καὶ Ὅμηρος.

Αὐτὰρ ἐπεὶ κόσμηθεν.

Ἠλίας. ἡλίου. κοχλίας. κοχλίου. τὸ γὰρ ἠλί-
ου ἀπὸ ὠθείας ἀηλίτου. ἡλιῶς. ὡς
περιεστρωμένας.

Ἠλίβατος. ὑψηλή. παρὰ - - - - ἀπὸ
τοῦ ἐκεῖ πρῶτον ἐπιβαίνειν τὸν ἥλι-
ον. τινὲς δὲ ἀντὶ τοῦ β. τὸ φ. γρά-
φουσιν ἠλίφατος. ἀπὸ τοῦ φωτίζειν
τῆς ἑλλάδος τὰ ὑψηλά. Ἡλιόδωρος δὲ
ἀλίφατον. ἀφ' οὗ ἐστιν ἀλιτεῖν βαδίσας

διὰ τὸ ὕψος. ἢ διὰ ταχυτῆτα.

Ἠλεῖος. διὰ τῆς ει διφθόγγου γράφεται.
ἀπὸ τοῦ ἦλις. ἤλιδος. καὶ ἀποβολῇ
τοῦ δ. ἠλίειος. καὶ κράσει τοῦ ε. καὶ ει.
εἰς τὴν ει διφθογγον γίνεται ἠλεῖος.
ὁ κανὼν. τὰ ἀπὸ τῶν εἰς ει. διὰ
ειος. γινόμενα παράγωγα προ μιᾶς
ἔχοντα τὸν τόνον. διὰ τῆς ει διφθόγ-
γου γράφονται. οἷον δωρεὶς δωρεῖος.

Ἠλίβατος. ἔνθα ἥλιος μόνος ἐπεμβαίνει.

Ἤλιθα πάνυ ἄγαν πολύ. ἀπὸ τοῦ ἅλις
γέγονεν. ὅ ἐστι δαψιλῶς. ἠλίθιον δὲ τὸν
ἀλιταίνοντα. ὅ ἐστιν ἁμαρτάνοντα.

Ἠλίθιος. ὁ μάταιος. παρὰ τὴν ἅλα.
ταύτης γὰρ τὸ ὕδωρ ἀχρεῖον. οἷον ἀλά-
θιος.

Ἠλίθιος. σημαίνει τὸ ἀνόητον. γίνεται
παρὰ τὸ ἄλιος πλεονασμῷ τοῦ θ ἀλί-
θιος. καὶ ἠλίθιος κατὰ τροπήν. ἢ
παρὰ τὸ ἤλιθα. ὃ σημαίνει τὸ ἀθρόως
γινόμενον. ἠλίθιος. ὁ πάντα χύδην πο-
ιῶν.

Ἤλιθα. πολλήν. τὸ αὐτὸ ἐστὶ τὸ ἅλις.
πολλὴ γάρ. παρὰ τὸ ἅλις ἐπίρρημα
ἐξέπεσεν. ἄλιθα. τὸ ἄτερ. ἄτερθα.
ἄνευθεν. ἄνευθα. καὶ τροπῇ. τοσάκις ε

καλ.

ἄνωθεν· ἀπεθεν. ἀπὸ τούτου ὁ ἠλί-
-θιος· ἀλίθιος· τις ὢν καὶ κυδαῖος· ἐκ
τοῦ πλήθους τὶς ὢν. ἐξαλλαγμένος.

Ἤλιθα· πολλήν· παρὰ τὸ ἅλις ὅ ἐστι δαψ-
ιλῶς· ἢ ἀθρόως. ἠλίθιον δὲ τὸν ἀλιταί-
-νοντα· ὅ ἐστιν ἁμαρτάνοντα. παρὰ τὸ
ἅλις· ἄλιθι· καὶ ἤλιθα· ὡς ἄπειρος
ἤπειρος. καὶ ἀντὶ τοῦ ματαίως τάττε-
-ται. ἐπεὶ χυεά· ἤλιθα· ἤλιθα χεεδίν.
ἀντὶ τοῦ ματαίως.

Ἠλίβκοντο· ἐκ τοῦ ἀλίβκω· τὸ κρατῶ.

Ἡλικιῶτις· ἡ ἡλικία.

Ἡλικιώτης· ὁ τέλειος τῇ ἡλικίᾳ.

Ἠλιβυημένα. ἐκ τοῦ ἀλιβύω· ἀλιβύθω.
σημαίνει δὲ τὰ μαγειρευόμενα.

Ἤλιθα· ἐπίρρημα ἀθροϊστικῶς. σημαίνει
δὲ καὶ τὸ ἀθρόως.

Ἥλιος· διὰ τὸ ἱέναι λίαν. ἤτοι πορεύεσθαι.
οἱ γὰρ παλαιοὶ διὰ τὸ περιέρχεσθαι
θεὸν αὐτὸν ἐκάλουν. ἤγουν ὁ τρέχων.

Ἥλιος· ἄλιος· παρὰ τὸ ἀλίζειν εἰς ταυτὸν
τὰ μετέχοντα αὐτοῦ πάντα· ἄλιος. ἢ
παρὰ τὸ περὶ τὴν γῆν ἀεὶ ἐλαύνειν. ἴων.
ἢ ὅτι ποικίλλει ἴων τὰ γινόμενα ἐκ
τῆς γῆς. ἢ ὅτι ἀολλεῖ πάντα τὰ

ἐσκεδασμένως καὶ διαφόρως αὐτοῦ ἀπο-
λαύοντα· ἅπερ ἐστὶ συναθροισμένα.
ἡνωμένα· ἥλιος· ἅλιος· ἀόλιος.
Ἥλιος· παρὰ τὸ ἐν ἁλὶ διατρίβειν.
οἷον ἅλιος· ἢ παρὰ τὸ σέλας· ὃ σημαί-
νει τὴν λαμπηδόνα· σέλιος· καὶ ἀπο-
βολῇ τοῦ σ· καὶ κράσει τοῦ ε· εἰς
η· ἥλιος· ἢ παρὰ τὴν ἅλα ἀνιμᾶσθαι
ἥλιος· ἢ ἀπὸ τοῦ ἀολλίζεσθαι ἡμᾶς ἐν
ταῖς ἡμέραις· καὶ ἐν Ἀθήναις· ἡλιαία.
δικαστήριον ἐκ τῆς συναγωγῆς τῶν ἀν- β
θρώπων. οἱ δὲ ἀπὸ τοῦ ἀλεαίνειν· ὅ
ἐστι θερμαίνειν καὶ διαχεῖν· τινὲς δὲ
ἀπὸ τῆς γενομένης προσπτύξεως ἐκ
τοῦ στόματος ἡμῶν πρὸς τοὺς δακτύλους.
ὃ λέγεται αὔειν· καὶ ἄζειν κατὰ μίμη-
σιν τῆς φωνῆς τῆς θλίψεως τοῦ στό-
ματος ἐμπεδοκλῆσθαι· ἁ

Ἀλλ' ὁ μὲν ἀλεῖσθαι μέγαν οὐρανὸν ἀμφιπολεύει.
λέγεται δὲ καὶ ἠλέκτωρ· ὅτι ἄλεκτός ἐστι
καὶ ἀκάμας· ἄλλοι δὲ ἀπὸ τῆς λαμπρό-
τητος τοῦ ἠλέκτρου. οἱ δὲ ὅτι ἐκ
τῶν λέκτρων ἡμᾶς ἐγείρει.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς.
τὸ δὲ ζῷον ἀλέκτωρ ἐτυμολογεῖται· παρὰ

τὸ λῆκτρον. καὶ τὸ ᾱ τὸ ἐπιτατικόν.
πολυόχευτον γάρ· τοῦ ᾱ· τὸ ἐπὶ πολὺ
σημαίνοντος. ἀλλ' ἡ ἐτυμότης σφαιρική
ἐστιν.

Ἥλιος. οἱ μὲν δήλιος φασί. καὶ κατὰ ἀ-
ποβολὴν τοῦ δ· ἥλιος. ὁ αὐτὸς γὰρ
τῷ Ἀπόλλωνι. ἀποβολῇ δὲ τοῦ δ. ὡς
διωξίππος. ἰωξίππος. διωκή. ἰωκή.
οἱ δὲ ἅλιον λέγουσιν. εἰς ἀνάμνησιν
γὰρ τῆς θαλάσσης. καὶ τῷ ποσειδῶνι.
ὅτι τὴν πόσιν τῷ δάει ἀναπέμπει.
ὅ ἐστι τῷ παρὰ τῷ δαίω. ὅ ἐστι τὸ καίω
οἱ δὲ παρὰ τὴν ἕλην. ἕλιος. καὶ εἰς τὸ
ἠλέκτωρ. ὡς ἐγείρει.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς.
ὄρνυτ' ἄρ' ἐξ εὐνῆς ἱερὸν μένος Ἀλκινόοιο.

Ἠλίος. ἠέος λίαν διὰ τὸ ἵεσθαι τὸ ἕως.
ἤγουν φέρειν τὸ φῶς.

Ἥλιος. ἢ διὰ τὸ εἱλεῖσθαι τῷ δρόμῳ.
ἢ διὰ τὸ ἵεσθαι τὸ ἕως ἤγουν φέρεσθαι λίαν.
δασύνεται. τὸ η πρὸ τοῦ λ. ψιλοῦται.
πλὴν τοῦ ἥλιος.

Ἥλιος. οἱ μὲν λέγουσιν. ὥσπερ ἀπὸ τοῦ
διώκω. διωκή. ἰωκή. οὕτω καὶ ἀπὸ τοῦ
δῆλος. ὃ σημαίνει τὸ φανερόν γίνεται
δήλιος. καὶ ἀποβολῇ τοῦ δ. ἥλιος. ὡς

τὸ δεῖνος. ἢ πεδανός. δασύνεται. τὸ
η πρὸ τοῦ λ ψιλοῦται. ἠλιαία. ἡλι-
τόμηνος. πλὴν τοῦ ἥλιος. τὸ λι. ι.
τὰ διὰ τοῦ ιος. ὀνόματα τῇ λι. ἢ
τῇ ει. συλλαβῇ παραληγόμενα. καὶ
σημαίνοντα μέρος σωματικόν. εἴτε με-
τουσιαστικὸν καὶ κτητικὸν διὰ τοῦ
ι. ἄλιος. ἥλιος. πῆλιος. δόλιος. σημαί-
νει δὲ δύο. ὄνομα κύριον. βασιλεὺς
φευγῶν καὶ τὸ φῶς.

Ἥλιος. καὶ ὑπὸ τῶν ποιητῶν. ἠέλιος.
παρὰ τὴν ἄλα. ἄλιος καὶ ἥλιος ἐπεὶ
προσπάντων ἱκανῶς καὶ ἁρμοδίως ἔχει.
λέγει γὰρ Ἐμπεδοκλῆς. β.

Ἀλλ᾽ ὁ μὲν ἀλισθεὶς μέσον οὐρανὸν ἀμφιπολεύει.

ἤλεκτρον δέ. τὸ βρεονικὸν. ὅμηρος. μετὰ
δ᾽ ἠλέκτροισιν ἔερτο. εἴρηται διακεχυμέ-
νον καὶ ὑγρὸν ὄν. ὃ περὶ τὰς τοῦ
ἡλίου δυσμὰς πήγνυται. ἢ παρὰ τὸ
ἑλίσσω. ἔλεκτρον. καὶ ἤλεκτρον. κόσμῳ
γὰρ αὐτῷ εἰς περιδέρεα καὶ ὅρμους
ἐχρῶντο. περιελίσσοντες. ἢ παρὰ τὸ
ἕλκειν τὰ ἐκτός. ἢ παρὰ τὸν ἠλύσιον
κυρίου ὀνόματος ὠνομάσθησαν. λισσίων.
πεδίων ἐποχ. τὰ λεῖα. ἠλύσιον παρὰ
τὸ ἄλυτα τηρεῖν τὰ σώματα.

Ἠλίφατος· εἰς τὸ ἠλίβατος.

Ἠλλοιωμένος· παρὰ τὸ ἀλλοιῶ· τοῦτο παρὰ τὸ ἄλλος· καὶ τὸ λοῖος γίνεται ἀλλοῖος· καὶ ἐξ αὐτοῦ ἀλλοιῶ· ἀλλοιώσω. σημαίνει δὲ τὴν ἐναλλαγήν.

Ἧλος· παρὰ τὸ ἵημι· ἥσω· ἧλος· ὁ διαπειρόμενος.

Ἠλίσκοντο· τὸ ἐκ τοῦ ἁλίσκω τὸ κρατῶ.

Ἠλὸς ἐκ τοῦ ἄλλω.

Ἧλτο· εἰς τὸ ἆλτο.

Ἧλος· διὰ τὸ ἠλοῦσθαι καὶ περᾶσθαι.

Ἦλις· πόλις· ἐν Ἀρκαδίᾳ τῆς Πελοποννήσου· ---

Ἠλύσιον· τὸ καθαρὸν ἀπὸ ἁμαρτίας.

Ἠλύσιον· ἡ μακάρων νῆσος· εἴρηται δὲ ἐν ἴσω τὸ ἀλύσιον· ὅπου διαλύονται αἱ ψυχαὶ τῶν σωμάτων· ἢ ἀλύσιον· ὅθεν οὐκ ἀναλύει τις· ἢ ἀπόλυσιν κολάσεως· λέγει δὲ ἠλύσιον τὸ ἱερὸν πεδίον ἐρόδων· οἱ δὲ περὶ Αἴγυπτον· ἢ Λέσβον.

Ἠλιτόμηνος· ὀλιγόμηνος· σημαίνει τὸ ἑπταμήνιον γεννηθὲν παιδίον· Καλλίμαχος.

β τὸν οὐκ ἔπλησε μήτηρ φέρουσα· οὓς ὤδινε μῆνας.

Ὅμηρος.

ἐκ δ᾽ ἄγαγε καὶ πρὸς φῶς δὲ ἠλιτόμηνον ἐόντα.

παρὰ τὸ ἀλιτῆς ἀλιτόμηνος· ὡς παρὰ τὸ —

ποιητής ποιητοῦ. διδάσκαλος διδασκάλου
σημαίνει δὲ ἀντὶ τοῦ λύσιν τῶν κακῶν.
λύσιον πεδίον. ἐπλάσατο τοῦτο ὅμηρος.
μήποτε ἀθανατοποιόν ἐστιν. ἐπεὶ οὐ
διαλύει τὰ σώματα. ἐγὼ δὲ οὕτω νοῶ.
οὐκ οἶδεν ὅμηρος ἀθανατοποιόν. ἀλλ' ἡδεῖ-
αν παρέχον ζωήν. ὃ γὰρ λέγει ὁ πρωτεὺς
τῷ Μενελάῳ. ὅτι οὐχὶ ἥμαρται σοι ἀποθα-
νεῖν ἐν τῷ καθόλου. ἀλλ' ὅτι ἐν ἄργει
οὐ πέπρωται ἀποθανεῖν. ὁ δὲ τοῦτο
λέγων. ὃ λέγει ὅτι ἀθάνατος ἔσῃ. ἀλλ'
ὅτι ἐν ἑτέρῳ τόπῳ.

Σοὶ δ' οὐ θέσφατόν ἐστι διοτρεφὲς ὦ Μενέλαε,
Ἄργει ἐν ἱπποβότῳ θάνατον καὶ πότμον ἐπισπεῖν.
Ἀλλ' εἰς ἠλύσιον πεδίον καὶ πείρατα γαίης
Ἀθάνατοι πέμψουσιν ὅτι ξανθὸς Ῥαδάμανθυς.

ὅπου ἀποθάνῃ. ἔτι γὰρ Ῥαδαμάνθυν ἀθα-
νατον τίς ἡμῖν παραδέδωκεν. ἔτι τὸν τού-
του ἀδελφὸν Μίνωα.

Ἠλύσιον πεδίον. τὸ τῶν ἡρώων ἐνδιαίτη-
μα. κεκλημένον ἀπὸ ἠλυσίου τοῦ ἐλευθέρου
εὐσεβεστάτου γινομένου. ἢ παρὰ τὸ
ἄλυτα μένειν ἐν αὐτῷ τὰ σώματα. ὁ δὲ
τόπος ἐν ταῖς καλουμέναις μακάρων
νήσοις.

Ἤλως. εἰς τὸ ἄλλως.

Ἠμαθίων· υἱοῦ υἱός· μέμνονος ἀδελφός·
μήποτ' οὖν ὑποκοριστικῶς ἀπὸ τῆς ἡμέρας
ἠμάθιος εἰμήριος· ἠματίω.
Ἧμαι· εἰς τὸ καθῆσθαι.
Ἦμα· καὶ ἦμαρ ψιλοῦται· τὰ εἰς ος δισύλ-
λαβα· εἰ μὲν ἀπὸ φωνήεντος μακρᾶς ἄρχονται,
ψιλοῦται· οἷον αἶσχος· εὖρος· εὖχος· οὕτως
οὖν καὶ τὸ ἦμος· ἦμαρ.
Ἥμαρτον· ἀπέτυχον τῶν ἀγαθῶν· ἡμάρτο-
σαν· ἥμαρτον τὸ τρίτον τῶν πληθυντι-
κῶν· καὶ οἱ Βοιωτοὶ ἐπὶ τῶν μὴ ἐχόντων
τὴν μετοχὴν εἰς σαν ὀξύτονον.
Ἤμεν· εἰς τὸ ἔμμεναι.
Ἦμαρ εἰς τὸ ἡμέρα καὶ αὐτῆμαρ· ἱμάτιον.
Ἤμβροτες· παρὰ τὸ βροτοῦ ἀπέτυχες.
Ἡμέρα· παρὰ τὸ ἵημι· τὸ πέμπω.
ἡ ἐκπέμπουσα ἡμᾶς πρὸς πάντα· καὶ
δασύνεται. ἦμαρ ψιλοῦται· ἐπειδὴ τὰ
ἀπὸ δασέος μετασχηματιζόμενα ψιλοῦνται
οἷον· ἧλος. ἦμαρ· ἧμος· ἢ ἕτος· τὰ εἰς
ος λήγοντα δισύλλαβα, εἰ ἀπὸ φωνήεντος μα-
κρᾶς ἀρχόμενα ψιλοῦνται· οἷον αἶσχος·
εὖχος· εὖρος· οὕτως οὖν καὶ ἦλος καὶ
ἦμαρ.
Ἡμέρα διὰ τοῦ η· ἀμέρα· ἡμέρα [illegible]

ἠλέκτρου ἤλεκτρον· τριβόμενον γὰρ ἁρπά-
ζει τὰ πελάζοντα φρύγανα. ἢ παρὰ
τὸν ἥλιον· καὶ ἠλέκτωρ ὀνομάζεται τὸ
τοῦ ἡλίου· φασὶ γὰρ αὐτὸ δάκρυον εἶναι
τῶν ἡλιάδων· ὅπερ ἐπὶ τῷ Φαέθοντος
οἴκτῳ στάζουσιν. ἢ ὅτι ἡλιαυγές ἐστιν
ἡμέρα καὶ ἠὼς καλουμένη· παρὰ τὸ
ἥμερα ποιεῖν τὰ ζῶα· Δωριεῖς γὰρ
ἀμέρα φασί.

Ἡμέρα παρὰ τὸ αὔω τὸ λάμπω. ἢ
παρὰ τὸ μαρμαίρω τὸ λάμπω. ἐξ οὗ
καὶ μάργαρος καὶ μαργαρίτης.

Ἡμέρα καὶ ἠὼς διαφέρει. ἡμέρα μὲν
ἐστὶν ἡ πρὸ ἡλίου φαῦσις· ἠὼς δὲ ἡ
μετὰ τὸν ἥλιον.

Ἡμέρα· ὅτι πᾶν ἡμεροῖ.

Ἡμετέρῃσιν· ἡμετέραις.

Ἡμερινὸς πυρετός· ὁ καθ' ἡμέραν, ἐξ
οὗ καὶ ἐφημερινός.

Ἡμερίς. ἄμπελος ἀπὸ τοῦ ἐξημεροῦν
ἡμᾶς.

Ἡμέριοι· οἱ ἄνθρωποι.

Ἡμερίς· ἡ ἀναδενδράς. ὅτι ἄγει τις
αὐτὴν, ὅπῃ ἐλκύσει ἥμερον οὖσα. καὶ
οὐκ ἀντιστρέφουσα. μηδέπω γὰρ τὸ τῆς
ὠρειθείους αὐταῖς ἕρπυζον αἱ ἄμπελοι

ἀγρίους καρποὺς φέρουσαι· ὡς καὶ ὡρέ-
-θη· καὶ καθῆραν τὸ ἥμερον· καὶ τὸν
καρπὸν καὶ τὴν ὄψιν ἔχον.
Ἤμην· ὑπῆρχον· ἐκ τοῦ ἔω τὸ ὑπάρχω. τὸ παθητικὸν ἔσομαι μόνῃ τῇ φωνῇ. τῇ δὲ σημασίᾳ ἀπέλειψεν· ὁ παρατατικὸς ἠόμην· καὶ ἐν συγκοπῇ ἤμην.
Ἡμεῖς· διὰ τῆς ει διφθόγγου. ἄμες λέγουσιν οἱ Δωριεῖς. καὶ ἄμμες οἱ Αἰολεῖς.
Ἦ μήν· οὕτως δὴ ἀληθῶς. τὸ ἦ σύνδεσμος βεβαιωτικός. τὸ μὴν σύνδεσμος παραπληρωματικός. τί διαφέρει ὁ παραπληρωματικὸς τοῦ ἐναντιωματικοῦ. διαφέρει ὅτι ὁ μὲν παραπληρωματικὸς ἐπιφέρεται σύμφωνον καὶ φωνῆεν. ὁ δὲ ἐναντιωματικὸς οὐδέποτε ἐπιφέρεται φωνῆεν.
Ἠμί· εἰς τὸ εἰμί.
Ἡμῖν· τὸ τύποι αἱ ἀντωνυμίαι· ἡνίκα ἀριθμὸν δηλοῦσι, μένουσιν ἐν τῷ αὐτῷ τόνῳ. ἡμῖν δὲ τόδ' ἔφησε· καὶ ἡμῖν δὲ νεμεσσᾶσθαι περὶ κῆρι· ὅτε δὲ ἀπόλυτον ἔχουσι τὸ σημαινόμενον, ἐγκλίνονται. εἰ δ' ἥμιν δοκέει· τὸ δὲ λώϊτερον δ' ἥμιν δαῖτα ταράξῃ.
ὀφθ' ἥμιν ἑκάτερος.

Ἡμῖν· διὰ τοῦ ῑ· ἄμμιν γὰρ λέγουσιν οἱ
Αἰολεῖς βαρύνοντες καὶ συστέλλοντες
τὸ ῑ· καὶ ἦμιν λέγουσιν οἱ Ἴωνες προ-
περισπῶντες, καὶ ἅμιν λέγουσιν οἱ
Δωριεῖς· καὶ τροπῇ τοῦ ᾱ· εἰς η· ὡς
ἅλιος· ἥλιος· καὶ κᾶπος κῆπος·

Ἡμεῖς· ἡμῶν· ἡμῖν· ἡμᾶς· ἀσύναρθροι
ἀντωνυμίαι.

Ἡμῖν διὰ τοῦ ῑ· ἦμμιν γὰρ λέγουσιν. οἱ
Ἴωνες· προπερισπῶντες.

Ἡμῖν διὰ τοῦ ῑ· ἡ ἀντωνυμία· ἐστὶ δὲ
διαλέκτου ἴδιον Δωριέων· συστέλλουσι
γὰρ αὐτὸ καὶ ὀξύνουσιν· ἐστιν οὖν ἡμῖν
περισπωμένως μακρὸν ἔχον τὸ ῑ· διὰ
γὰρ τὸ ἡμεῖς καὶ ἡμῖν διὰ τοῦ ῑ· πρὸ
τοῦ ῑ· ἡ αι· δίφθογγος σπανίως εὑρίσ-
κεται· πλὴν τῶν παρὰ τὸ αἴσσω
γινομένων· αἰγιαλός· αἰγίλιψ· αἴγυπτος.
καὶ ἐπεὶ τὸ ἐγὼ ἀντωνυμία πρωτό-
τυπον γράφεται· διὰ τοῦ ε· ψιλοῦ·
συνεξηκολούθησε ταύτῃ καὶ ἡ ἐμὸς καὶ
ἡμεῖς πληθυντικὴ ἀντωνυμία· τὸ μεις
δίφθογγον· καὶ τὸ μι· ῑ διατί· τὸ μὲν
ἡμεῖς· ἐκ τοῦ ἡμέες· ἡμεῖς· τὸ δὲ ἡμῖν,
ἀπὸ τοῦ ἡμεῖ

Ἡμί· ἀντὶ τοῦ φημί· ἀντωνυμία Ἀττικῶς. εἰς τὸ ἡμὶ ὀπίσω καὶ ἡμί.

Ἡμῖν· ἤ τοις αὐτοῖς ἡμῖν· τὸ δὲ ἥμιν προμιᾶς τὸν τόνον. καὶ ἐγκλίνεται· ἡ γὰρ ἔγκλισις ἡ τῇ προηγουμένῃ λέξει καὶ τῇ προηγουμένῃ συλλαβῇ· ὅταν ἐστὶν ἡ λέξις ἡ μονοσύλλαβος ἢ δισύλλαβος βραχυκατάληκτος· οἷον εἰμὶ καὶ ἄνθρωπος. ἄνθρωπός ἐστι φημί· πεζὸς δ' ἐνδεκά φημι. μονοσύλλαβος δὲ ὡς τὸ ἤκουσέ μου. ὅταν δὲ ἡ λέξις σπονδιακῇ, τότε τῇ προηγουμένῃ συλλαβῇ ἕνα δίδωσι τὸν τόνον. ἐκάλυσέν ἡμῖν ἤκουσεν ἡμῶν. ἔτυψεν ἡμᾶς. ἐγκλινόμεναι δὲ λέξεις εὑρίσκονται ἐν μὲν ὀνόμασι τὸ τις· οὐ τὸ ἐρωματικόν. ἀλλὰ τὸ ἀνταποδοτικόν. οἷον ἄνθρωπός τις. καὶ τούτου πᾶσαι. καὶ ὅλα τὰ γένη. ἐν δὲ ῥήμασι. τὰ ὀξυνόμενα οἷον τὸ φημί. εἰμί. εἰσί. ἐστί. ἐσμὲν ἐστέ. φατέ. φασίν. ἐν δὲ ἀντωνυμίαις τὸ τοῦ πρώτου τοῦ πρωτοτύπου ἀποβάλλοντα τὸ κατ' ἀρχὴν ε

καὶ τοῦ δευτέρου καὶ τοῦ τρίτου. ἐν
δὲ ἐπιρρήμασι τὰ τῶν πυσματικῶν οἷον
πῶς ἦλθες. ἦλθές πως. πόθι ἥκεις ἰαϊκῆ
πόθι. πῃ ἀπέχει. ἐάν πη. πότε εἰς
πότε. ἐν δὲ συνδέσμοις. ὅτε καὶ κᾶν. συμ-
πλεκτικοί. καὶ ὁ ῥά. καὶ ὁ πη. καὶ ὁ τοί.
καὶ ὁ θην. καὶ ὁ ἄρ. καὶ ὁ πέρ. καὶ ὁ πῶ.
παραπληρωματικός. γίνεται δὲ ἡ κλίσις
οὕτως. ἐὰν μὲν προηγουμένη συλλαβὴ ἔστιν
ὀξύτονος. ἢ περισπώμενος. ὁ ὀξύτονος
καὶ ὁ περισπώμενος τόνος φυλάττεται.
μόνου τοῦ ἐγκλιτικοῦ μορίου μὴ ἐπιδεχο-
μένου τὸ ἴδιον. θεός μου. βασιλεύς μου
κοσμᾶς ἐστι. θωμᾶς ἐστι. καλός ἐστιν. εἰ
δὲ ἔστιν ἡ λέξις προπαροξύτονος. τότε
ἐμπίπτουσι δύο τόνοι εἰς τὴν λέξιν. εἷς
μὲν ὁ κύριος τόνος. ἕτερος δὲ ὁ τῆς ἐγ-
κλίσεως. τὸ πλεῖστον δὲ διάστασις τοῦ
τόνου εὑρίσκεται. οἷον γρηγόριός ἐστιν.
ἄνθρωπός ἐστιν. εἰ δὲ ἔστιν ἡ λέξις πρὸ
μιᾶς ἔχουσα τὸν τόνον. εἰ μὲν π[illegible]ρει-
χαϊκή. οὐκ ἐγείρει τὸν τόνον. ἀλλὰ
φυλάττονται ἰδίως ὁ τῆς προσηγουμέ-
νης λέξεως. καὶ ἰδίως τὸ τοῦ ἐγκλιτικοῦ
μορίου. οἷον τόνος ἐστι. κόπος φημί. ὅτε

δὲ ἐστὶ δισύλλαβον τὸ ἐγκλιτικὸν μόριον. εἰ δὲ μονοσύλλαβος μόνος· φυλάττεται ὁ κύριος τόνος· οἷον τόπος μου· εἰ δὲ ἐστὶ τροχαϊκὴ εἰ μὲν περισπᾶται ἡ λέξις. φυλάττεται ἡ περισπωμένη ἐν τῷ ἰδίῳ τόπῳ· καὶ ἐγκλίνει ἐν τῇ ἐπαγομένῃ συλλαβῇ ὀξεῖαν· οἷον κῆπος μου. δῆμός μοι· εἰ δὲ παροξύνονται γίνονται δύο ὀξεῖαι · Ἄνδρα μοι ἔννεπε. δόξα μου γενέσθαι τε τελ· εἰ δὲ σπονδιακὴ ἢ ἰαμβικὴ ἡ λέξις· οὐκ ἐγκλίνει ἐν τοῖς δισυλλάβοις· οἷον ἥρως ἐστί· σώζων εἰμί· ἐν δὲ τοῖς μονοσυλλάβοις φυλάττεται μόνον ὁ κύριος τόνος. οἷον λέξον μοι ἠλάλυσε· φύλλοις τε κατακόμος.

Ἡμίσεια· ὡς θήλεια· μισῶ παρὰ τὸ ἅμα ἶσον τοῦ ἄλλου.

Ἥμισυς· παρὰ τὸ ἅμα· καὶ τὸ ἶσος. ἁμαΐσος· καὶ ἐν συγκοπῇ ἅμισος· καὶ τροπῇ τοῦ α εἰς η ἥμισος· καὶ τὸ ι εἰς υ ἥμισυς· καὶ ἐτυμολογεῖται δὲ παρὰ τὸ μετέχειν τοῦ ἴσου.

Ἡμισεύω· ἐκ τοῦ ἥμισυς· τοῦτο ἐκ τοῦ ἅμα καὶ τοῦ ἶσος· γίνεται ἡμισεύω.

Ἥμονες· οἱ ἀκοντισταὶ καὶ εὔτορες καὶ ὀρχισταί. ἡμῶ τὸ ῥίπτω. παρὰ τὸν ἡμί:σω μέλλοντα. οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου.

Ἡμύω. ὃ σημαίνει τὸ ἐπικλίνω καὶ κα:ταπίπτω.

Ἡμιθνῆτες. παραπλῆγες. καὶ γυμνῆτες. ἐκ τοῦ ἡμι. καὶ τοῦ θνήσκω. καὶ ἡμί:θνητος ὁ γυμνός. καὶ ἡμιθανής.

Ἡμίονος. ἐκ τοῦ ἥμισυ καὶ τοῦ ὄνος. τὸ ἥμισυ παρὰ τὸ ἅμα ἴσος εἶναι. τὸ δὲ ὄνος παρὰ τὸ ὀνῶ τὸ ὠφελῶ.

Ἠμυνάμην αὐτούς. ἀντὶ τοῦ ἐτιμωρη:σάμην αὐτούς. γίνεται δὲ παρὰ τὸ ἀμύνω. πόσα σημαίνει. τρία. ἀμύνω τὸ βοηθῶ. καὶ ὅμηρος.

Αἰνεία πόσσε μάλα χρὴ γαμβρῷ ἀμῦναι. καὶ τὸ ἀπείργω καὶ ἀποσοβῶ. ὡς τὸ

——— αἰεὶ παραβέβλωκες.

καὶ ——— αὐτοῦ κῆρας ἀμύνειν.

καὶ τιμωρῶ. ὡς ἐν ὀδυσσείᾳ φησὶν ὅμη:ρος.

——— ἀμύνω αἷμα δ' ἥλλην τε πετραίων.

ὅμηρος.

Ἦμος. ὁπηνίκα. ὅτε. ἡνίκα. ἐπίρρημα χρονικόν.

Ἥμων· εἰς τὸ ἀμαζόνες·

Ἦν· καὶ ἔω· ῥῆμα ἀορίστου δευτέρου· ἐστὶν
ἕω· ὁ μέλλων ἔσω· ἦον· ὁ δεύτερος ἀό-
ριστος· ἦες· ἦε· καὶ κράσει ἦν· καὶ πλεο-
νασμῷ τοῦ ε ποιητικῶς ἔην· καὶ ἔστι
τρίτου προσώπου τῶν ἑνικῶν· καὶ πλεο-
νασμῷ τοῦ ι· εἴην· τρίτῳ
προσώπῳ·

ὡς δ' ὅτ' ἂν ἀΐξῃ νόος ἀνέρος· ὅστ' ἐπὶ πολλὴν
γαῖαν ἐληλουθὼς φρεσὶ πευκαλίμῃσι
νοήσει ἔνθ' εἴη· ἐνθάμενοι νήσει ἔτε πολλά.

Ἦν· πόθεν γίνεται· ἀπὸ τοῦ ἔω ἔεις· ἔει·
ἔστι καὶ εἰς τὸν παρατατικόν· ἦον· ἦες·
ἦε· καὶ τροπῇ τοῦ η· καὶ ε· εἰς ἐκεῖνο
αὐτὸ γέγονεν ἦν· ἐπειδὴ τὸ λόγον, τὸ
ἔλαττον ἀναλίσκει· καὶ ἄλλως· ἔστι ῥῆμα
ἔω· καὶ ὁ παρατατικὸς ἦον· ἢ τὸ
δεύτερον ἦες· ἦε· καὶ κατὰ κρᾶσιν τοῦ
η· καὶ ε· εἰς η· ὥσπερ τῇ ἐμῇ· τῇ μῇ.
ἀποτελεῖται τὸ ἦν.

Ἦν ἔστιν ἔω.

Ἦν· ἔστιν ἔω· ὁ μέλλος παρακείμενος εἶα.
τὸ τρίτον εἶε· καὶ ἐφελκύσει τοῦ ν εἶεν.
καὶ κράσει τῆς ει διφθόγγου καὶ τοῦ ε

εἰς η̄· ἦν. καὶ εἰς τὸ ἔμμεναι· καὶ ἔσω. καὶ ἦσα· καὶ οὐκ ἦν. ὅμηρος.

Ἥνδανεν· ἤρεσκεν· δασύνεται παρὰ τὸ ἥδω· τὸ ἀρέσκω· ἁνδάνω· ὡς πύθω· πυνθάνω· μήθω· μανθάνω· δήκω· δαγκάνω· λήβω· λαμβάνω· καὶ ἐγένετο ἡ φύσει μακρὰ· θέσει.

Ἥνδανον· ἤρεσκον· παρὰ τὸ ἥδω· ἡδάνω· καὶ ἁνδάνω· πόσα σημαίνει τὸ ἦν· ἦν ἀντὶ τοῦ ὑπῆρχεν· ἥν· ἀντὶ τοῦ ἥντινα. δασυνόμενον καὶ ἥμην· ἢν ἀντὶ τοῦ ἐάν.

Ἡνίσω· παρὰ τὸν ἥσω μέλλοντα· ἢ παρὰ τὸ ἄνω δασυνόμενον· ἄνουται γὰρ δι' αὐτῶν τὰ ὑποζύγια. τινὲς δὲ καὶ ἐκ τοῦ ἐνίεσθαι· καθ' ὑπέρθεσιν· πν̄ς.

Ἤνεγκεν· ἤγαγεν· ἐκ τοῦ ἐνέκω ἀνέξω· ἤνεκα· ὁ ἀόριστος· καὶ πλεονασμῷ τοῦ ν̄· καὶ τροπῇ πάλιν τοῦ ν̄ εἰς γ̄· ἤνεγκα· διὰ τὴν ἐπιφορὰν τοῦ ξ̄· καὶ ὤφειλεν εἶναι ἤνεγξα. ἀλλὰ σεσημείωται ὁ εἶπα καὶ ὁ ἤνεγκα· μὴ ἔχοντα χαρακτηριστικὸν σύμφωνον τοῦ μέλλοντος. καὶ ἴσως· κατὰ ἀπάθειαν ἔπεσον· καὶ ἔχεον· ἔχοντα χαρακτηριστικὸν τὸ σ̄ τοῦ ἀορίστου.

Ἠνεχέθην. πόθεν λέγομεν. ἐν συνηθείας φαμέν. ἀπὸ τοῦ χῶ. χήσω. ἔχηκα. ἔχησμαι. ἐχέθην. εἶτα προσῆλθεν ἡ ἀνα πρόθεσις. καὶ ἐγένετο ἀνεχέθην. καὶ ἐν ἐκτάσει κατὰ Ἀθηναίους ἠνεχέθην. καὶ οὐδὲν ξένον εἰ ἦν.

Ἠνήνατο· εἰς τὸ ἀπηνήνατο.

Ἠνία. εἰς τὸ ἐξήνιον. καὶ ἴνιον. καὶ πηθήνιος.

Ἡνίαι. τὰ λῶρα. οἱ χαλινοί. παρὰ τὸ ἐνιεῖσθαι ἐπὶ ἑνώσει τῶν ὑποζυγίων καὶ εἰς τὸ ἀπηνὸς καὶ ἀφηνιῶ.

Ἡνίκα. ἐπίρρημα ἀναφορικόν. καὶ εἰς τὸ τηνίκα.

Ἠνιξάμην. αἰνιγματωδῶς εἶπον. ἐκ τοῦ αἰνίσσω, αἰνίξω. ἤνοιξα. καὶ ἠνοιξάμην.

Ἡνίον τὸ λώριον. ὁ χαλινὸς γίνεται ἐκ ἄνυδον. καὶ τροπῇ ἤνυδον. διὰ τῶν λώρων τῶν ἵππων ἀνύομεν τὰς ὁδούς.

Ἡνίοχος. ὁ ἐπιβάτης. τοῦ ἅρματος ἢ τοῦ ἵππου. καὶ ὁ δεσπότης παρὰ τὸ τὰ ἡνία ἔχειν. ἤγουν λῶρα κρατεῖν.

Ἤνιπα πρεὶ ὑβρείδως π - - - - - .
ἔστι γὰρ ὁ ἐνεστὼς ἐνίπω. τὸ δὲ ἐπιπλήσσω.

τοῦτο ἐκ τοῦ ἐνέπω· ἐκ τούτου οὖν γίνεται τὸ ἐνίπτω· τὸ γὰρ ε̄· ἡνίκα πλεονάζει σύμφωνον· τρέπεται εἰς ῑ· ὁ μέλλων ἐνίψω· ἤνιψα· ὁ μέσος ἤνιπα· καὶ ἐπεκτάσει τῆς πα συλλαβῆς· ἠνίπαπα. καὶ ἔχει τὸ φ̄· εἰ δὲ σύμφωνα δύο εἴη ὁ ἐνεστώς. δι' οὗ τὸ ῥηματικὸν ὄνομα ἐκφέρεται. διὰ τοῦτο καὶ ὁ μέσος παρακείμενος· ἐνιπὴ μᾶλα τιὼς μενα - - - θυμὸν ἐνίπτει.

Ἡνίοχος κυρίως ὁ ἔχων τὰς ἡνίας. εἴρηται δὲ καὶ ἐπὶ τοῦ ἐπιβάτου. ὡς ἐπὶ τοῦ ἕκτορος. πίλλος ὁ ἐνιαυτὸς παρὰ τὸ ἔνος ἠνίς.

Ἤδη καταγίνωσκε.

Ἦνις· ὅμηρος· ἦνις ἠκέστης· ἱερεῦσέμεν καὶ βοῦς ἦνιν· εὐρυμέτωπον. παρὰ τὸ ἔνον τὸν ἐνιαυτόν· ἔνθεν τετραώνον δαμάζουσι παῖδες. παρὰ τὸ ἔνος· ἔνις καὶ ἦνις· ὁ ἕνα κύκλον ἔχων. ἦνις· ἤνιος· καὶ πλεονασμῷ ἤνιες. καὶ συναλοιφῇ ἦνις· ὡς πόλιες. ἔνιες ἦνις. ἐπὶ ἡλικίας βοὸς τάττεται· ὡς τὸ μόσχος· καὶ ὑπάρτης. καὶ ἡ δάμαλις. καὶ γὰρ ὁ ποιητής. ἐπὶ βοῶν μόνον τάττει τὴν λέξιν.

ἢ κατ᾽ ἔλλειψιν τοῦ α στερητικοῦ. ἦν
ἡ ἀδμῆτις. ὁ μηδέπω ζευχθεὶς καὶ
ἡνία δεξάμενος.

Ἦνις. ὁ ἐνιαυτὸς παρὰ τὸ ἕνος. ἦνις.

Ἦνις δὲ τὰς ἤνεις. ἡ ἐνιαυσία καὶ
τῇ ἡλικίᾳ ἀδάμαστος. καὶ ἔστι παρώνυ-
μος. ἀπὸ τοῦ ἕνος. ὅ ἐστιν ὁ ἐνιαυτός.

Ἠνορέην. εἰς τὸ εὐήνορα. ἥξουσιν. ἐκ
τοῦ ἥκω τὸ ἔρχομαι. ὁ μέλλων ἥξω.
τὸ τρίτον τῶν πληθυντικῶν ἥξουσιν.

Ἤνυχος. εἰς τὸ μυχός.

Ἦουν. εἰς τὸ οὐκ ἦν.

Ἠοῖαι. ἔστι κατάλογος Ἡσιόδου. ἠοίην
ὁμοίως. ὀρθρείαν. ἢ τὴν πρὸς ἀνατολήν.
ἢ τὸν ἀπὸ πρωΐας μέχρι ἕκτης ὥρας
χρόνον.

Ἧπαρ. παρὰ τὸ ἥδω. ἧδαρ καὶ ἧπαρ
δι᾽ αὐτοῦ γὰρ εὐφραινόμεθα. ἢ παρὰ
τὸ ἄρδειν τῷ σώματι αἷμα. ἢ παρὰ
τὸ ἤπιον καὶ δεκτικὸν ἡδονῆς εἶναι.
ὁ δὲ Χρύσιππος παρὰ τὸ ἡδὺ φύσει
εἶναι. πεπηγὸς γὰρ αἷμα. τὸ δὲ αἷμα
φυσικῶς γλυκύ.

Ἠνώχλησε δοτικῇ συντάσσεται. αὐξά-
νει γὰρ ἔσωθεν. καὶ ἔξωθεν. τὸ ἐνοχλῶ.

παρὰ τὸ ὀχλῶ· τοῦτο παρὰ τὸ ὄχλος. τοῦτο παρὰ τὸ ἄχλυς· ἄχλος· καὶ τροπῇ τοῦ α εἰς ο· ὄχλος.

Ἠπεδανὸς ὁ ἀσθενής· παρὰ τὸ ἀπεδανός· ὁ ἐκ τοῦ πέδου μὴ ἀνιστάμενος. ὡς ἀδύνατος.

Ἠπεδανός· ἀσθενής· ὁ ἄτεχνος· οἱονεὶ ἀπεδανός· ὁ μὴ δυνάμενος δι' ὑπερβολὴν· ἀσθενείας ἐν τῷ πέδῳ· ὅ ἐστιν ἐν τῷ ἐδάφει στῆναι· ἔμπεδος γὰρ λέγεται ὁ ἐν τῷ πέδῳ δι' ἰσχὺν ἑστὼς βιαίως.

Ἠπειγμένως· ἐπείγω· τὸ σπουδάζω καὶ κατεπείγω ὁ παθητικὸς τοῦ παρακειμένου ἤπειγμαι ἡ μετοχὴ ἠπειγμένος· τὸ γὰρ ἐπείγω γίνεται ἐκ τοῦ οἴγω· τὸ ἀνοίγω· καὶ τροπῇ τοῦ ο εἰς ε· εἴγω· καὶ ἐπείγω.

Ἤπειρος· διὰ τῆς ει διφθόγγου· ἄπειρος γὰρ οἱ Αἰολεῖς λέγουσι· καὶ ἄπειρος πάλιν οἱ Δωριεῖς· τρέποντες τὴν ει δίφθογγον· εἰς η· καὶ ἐκ τῆς ἐτυμολογίας φαίη ἠπειρώτων ἐκ τοῦ ἤπειρος· οἱ κατοικοῦντες τὴν ἤπειρον· ἤτοι τὴν γῆν· φαίνεται διὰ τῆς ει διφθόγγου γραφόμενον· ἤπειρος γὰρ λέγεται ἡ γῆ· οἱονεὶ ἄπερος· τὶς οὖσα· τουτέστιν

ἢ ἀπλήρωτος, καὶ μὴ ἔχουσα πέρας· ὡς δηλοῖ Εὐριπίδης λέγων· ἰστέον ὅτι κυρί:ως λέγεται ἤπειρος πᾶσα ἡ γῆ· εἰσὶ δέ τινες τόποι· οἵτινες καλοῦνται ἤπειροι· ἀλλ' οἱ Δωριεῖς ἄπειρος λέγουσιν. ἀπέραντος γάρ· καὶ Εὐριπίδης φησίν.

β

Ἤπειρον ἐς ἄπειρον ἐξεπλώσαμεν. ἤπειρος γάρ λέγεται ἡ ξηρά γῆ· τριχῶς δέ τό τῆς ἠπείρου ὄνομα· ἤπειρος κυρί:ως ἡ πᾶσα γῆ· πρός ἀντιδιαστολήν τῆς θαλάσσης· ἤπειρος καί ἡ ἀσία· πρός ἀν:τιδιαστολήν τῆς Εὐρώπης. ἤπειρος καί ἡ θεσ —

Ἦπερ δῆ· ὥσπερ δή ὅπερ ἄν· καθ' ὃν τρό:πον· ἦπερ· καθάπερ.

Ἠπεροπευτής· ὁ ἀπατέων· ἐκ τοῦ ἥμερος. καί τοῦ ὄψ· ὃ σημαίνει τήν φωνήν· ὁ ἡμέρω ὀπῆ χρᾶσθαι.

Ἤπειρος· σύνθετον ἐστι· παρά τό ἀ στε:ρητικόν· καί τό πέρας· ἄπερος καί κατά πλεονασμόν τοῦ ι· ἄπειρος· καί κατά τροπήν τοῦ α· εἰς η· ἤπει:ρος· ἄπερος γάρ οἱ Αἰολεῖς λέγουσιν· οἱονεί ἄπειρός τις οὖσα.

Ἠπιότατος· ὁ ἐν λόγοις πραότατος.

ἔπω οἷον τὸ λέγω. ἔπιος καὶ τροπῇ τοῦ
ε. εἰς η. ἤπιος.
Ἧπται. εἰς τὸ ἐφῆπται.
Ἠπύω. τὸ κηρύσσω. ὅπερ γέγονεν ἀπὸ
τοῦ ἔπω. τὸ λέγω. ἐπύω. καὶ ἠπύω.
Ἦρα. ὄνομα. θηλ. ἐκ τοῦ ἀήρ. ἀέρος.
ἀέρα. καὶ κράσει τοῦ α. εἰς η. ἦρα. ὡς
πυλέα. πυλῆ. ἡ αὐτὴ γὰρ ἐστὶ καὶ ἀήρ.
ἢ παρὰ τὸ αὐτὴν ἀὴρ εἶναι. τὴν αὐτὴν γὰρ
λέγει ἀέρα. καὶ εἰς τὸ ἐρίηρας.
Ἥρα. ὅτι ἱερὰ αὐτὴν ἐκάλεσεν. ἀναγραμ-
ματιζομένη ἀήρ. καὶ Ἐμπεδοκλῆς. Ζεὺς
γὰρ εἴρηται φερέσβιος.
Ἠπίαλος. ὁ ῥιγοπύρετος. σημαίνει δὲ καὶ
δαίμονα τοῖς κοιμωμένοις ἐπερχόμενον.
Ἦρα καὶ ἦρας καὶ ἦρα ἡ γῆ. ἡ ἐξ ἐναντίας
τῆς ἰθάκης. ἐστὶ δέ. ἦρα εἴρηται ὁ ἀήρ.
μετατεθέντος τοῦ α πρὸ τοῦ η.
Ἡρακλῆς. παρὰ τὸ ὀνομάζεσθαι αὐτὸν
πρῶτον Ἀλκείδην. Ἡρακλῆς δὲ ἐκλήθη
παράδοξον ἀπὸ τῆς ἥρας ἐδέξατο. ἢ ἀφη-
βίωτο κλέος ἔσχε. τινὲς μὲν γὰρ αὐτὸν
Ἀλκαῖον ἐκάλουν. ὁμώνυμον τοῦ πάπ-
πω. οἱ δὲ ἐπεὶ ἄλκιμος ἦν. κυριολογίᾳ
χρώμενοι. πάλιν δέ τινες ὅτι διὰ τὴν

Ἡρακλέος ἔχων. οἱ δὲ τὸν ἀέρα. οἱονεὶ
ἀέριον κλέος ἐχηκώς. τουτέστι μέγα
καὶ περιβόητον. Ἡρακλείδης. πρότερον
ἀλκαίδης ἐλέγετο. ἀπὸ Ἀλκαίου. ὕστε-
-ρον δὲ ἡ πυθία. αὐτὸν ἡρακλέα ἐκά-
-λεσε. παρόσον ἐξ ὅτου ἥρας ἔμελλον
ἔχειν κλέος. Ἀστυάγης δέ φησιν. ὁ δὲ ἥρων
ἀνακλεὴς γενόμενος. διὰ τὸ μὴ βασιλεῦ-
-σαι, ἀλλὰ δουλεῦσαι τῷ εὐρυσθεῖ. καὶ ἡ
σύνθεσις τοῦ ὀνόματος. τοῦτο ἀπαιτεῖ.
τὰ γὰρ παρὰ τὴν ἥραν ὀνόματα σύνθε-
-τα διὰ τοῦ ολε . . . . ἡρόδοτος
ἡρόδικος. ἔστιν οὖν Ἡρακλῆς. ὁ τῇ ἥρα.
ἡρακλῆς. καὶ ἡρακλῆς.

Ἠπύη φωνή.

Ἦρα. παρὰ τὸ αἴρω. ἄρω. ἦρα.

Ἡράκλειος. καὶ τὸ κύριον. καὶ τὸ κτη-
-τικόν. ἐκ τοῦ ἡρακλῆς. ἡραῖον τῷ
ἡρακλεῖ. καὶ πάντα τὰ παρώνυμα
προπαροξύνεσθαι. ὀκύλλαιον. μείλαιον,
ἔναιον. Ἀθήναιον τὸ τέμενος. κίρκαιον.
οὔραιον ἔρμαιον. λέχαιον. τρόπαιον.
ἔλαιον. νυμφαῖον. περιβόλαιον.

Ἦρας. ἐκ τοῦ ἄρω τὸ εὔχομαι. ὁ παλαι-
-τικός. παρατατικός. ἠράομην—

ἠρώμην· ἠράω· ἠρῶ· ἠράαται· ἠρᾶται.
τὸ ἀρῶ δύο σημαίνει· τὸ εὔχομαι καὶ
τὸ καταρῶ παρ' ὁμήρῳ.

Ἠράασθην. πόθεν γίνεται. ἢ γὰρ ἀπὸ
τοῦ αἰρῶ. αἰρᾶς. αἰράασθην. ἔδει εἶναι
ὡς φυρῶ. φυρᾶς. φυρᾷ ἐφυράασθην. τοῦ
πρώτου τῆς δευτέρας συζυγίας τῶν
περισπωμένων μετὰ τοῦ ρα ὑπάρχον-
τος. ἢ μετὰ φωνήεντος ἐκτεινομένου.
περάσω. ἐάσω. εἰ δὲ μετὰ τοῦ λ συσ-
τέλλεται. γελάσω. ὅταν δὲ ὁ παρα-
κείμενος ἀπὸ περισπωμένου μακροῦ
παραλήγεται. οὐ λαμβάνει τὸ σ. ἐν
τῷ παθητικῷ. νενόηκα. νενόημαι.
κεχρύσωκα. κεχρύσωμαι. πεφώρακα.
πεφώραμαι. ἐφωράασθην. κεκονίακα
κεκονίαμαι. πῶς οὖν τὸ ἠράασθην ἔλα-
βε τὸ σ. εἴπομεν. ὡς τὸ πρώτου τῆς
συζυγίας τῶν περισπωμένων μετὰ τοῦ
ρ μακροῦ ὑπάρχον οὐ γέγονε δὲ ἐκ τοῦ
αἰρῶ. αἰρᾶς. ἀλλ' ἀπὸ τοῦ ἐράζω τῆς
τετάρτης συζυγίας τῶν βαρυτόνων
καὶ πελάζω. ἐπελάασθην. οὕτως ἐράζω
ἐράασθην.

Ἠροφοῖτις. αἱ ἠροφοιτίδες ἐρινύς. ἐκ-

τοῦ ἀὴρ καὶ τοῦ φοιτῶ τὸ παραγίνομαι.

Ἠρέμα· εἰς τὸ ἀτρέμας· καὶ ὑπόδρα.

Ἤρεσμαι· καὶ ἠρέσμην· ἤρεισο· καὶ ἠρεί-ειστο· καὶ ἠρείειστο· Ἀττικῶς· ἤρωμαι δὲ ἐκ τοῦ ἐρῶ.

Ἠρεμία· ἡ ἡσυχία· ἀπὸ τοῦ ἤρεμος. ἠρεμία· ὡς ἔρημος ἐρημία· ἀτρεμία τις οὖσα· καὶ ἡσυχία· κατὰ στέρησιν τοῦ τρέμειν· οἱονεὶ ἀκινησία.

Ἠρετίσατο· ἐπελέξατο· ἐκ τοῦ αἱρετίζω. τοῦτο παρὰ τὸ αἱρετῶ· τοῦτο παρὰ τὸ αἱρῶ· τὸ προκρίνω· αἱρετός ἐστιν ὁ ἐκλελεγμένος· καὶ πρόκριτος.

Ἠρετισάμην· παρὰ τὸ αἱρετίζω· τοῦτο παρὰ τὸ αἱρετός· τοῦτο παρὰ τὸ αἱρῶ· τὸ προαιροῦμαι.

Ἤπειρος· διὰ τῆς ει διφθόγγου· ἡ παραλήγουσα· ἄπειρος γὰρ λέγουσιν οἱ Αἰολεῖς· ὥσπερ κείρω· κερῶ· σπείρω· σπερῶ· ἄπειρος πάλιν φασὶν οἱ Δωριεῖς· τρέποντες τὴν ει δίφθογγον εἰς τὸ η· καὶ τὸ η εἰς τὸ α· ὥσπερ πλείων πλήων· ἡ ἐτυμολογία δῆλον· διὰ τῆς ει διφθόγγου γράφεται. ἤπειρος γὰρ λέγεται ἡ γῆ· οἱονεὶ ἄπειρός τις οὖσα.

τουτέστιν ἀπέρατος· ἡ μὴ ἔχουσα πέρας.
ὥς φησὶν Εὐριπίδης.
Ἤρειστο· ἀπὸ τοῦ ἐρείδω· ἐρείδω· ἐρείδ-
:μαι· ἠρείδμην· ἤρειστο· καὶ ἠρήρειστο
Ἀττικῶς· ἤρειμην δὲ ἀπὸ τοῦ ἐρῶ.
Ἤρεψεν· ἐστέγασεν· ἐσκέπασεν· ἀπὸ
τοῦ ἐρέφω· τὸ στεγάζω· τοῦτο παρὰ τὸ
ὄροφος· οἱ γὰρ ἀρχαῖοι· ὀρόφωτας οἰκίας.
ἐστέγαζον.
Ἠρεμεῖν· ἐκ τοῦ ἔρημος· τοῦτο παρὰ
τὸ ἔραν μόνην ἔχειν.
Ἠρημένην· ἀπὸ τοῦ αἱρῶ· ὃ σημαίνει
τὸ βάλλω· ὁ παρακείμενος ἥρηκα· ὁ
παθητικὸς παρακείμενος ἥρημαι· καὶ
ἡ μετοχὴ ἀρσενικὴ ἡρημένος καὶ τὸ θη-
:λυκὸν ἡρημένη· καὶ ἡ αἰτιατικὴ ἡρη-
:μένην.
Ἦρι· ἕωθεν ἀπὸ τοῦ ὄρθρου· ἀπὸ τοῦ
αἴρεσθαι ἡμᾶς· ἀπὸ τῆς κοίτης περὶ
τὸν καιρόν.
Ἤρυγεν τὸ ἤξαιτο.
Ἠρινὸν ἦρος· καὶ ἠρινός· τὸ ρι· ι διὰ
τί· τὰ εἰς νος ἐπὶ καιροῦ λαμβανόμενα·
διὰ τοῦ ι γράφεται· οἷον μετοπωρινός·
ἐκ τοῦ ὀπώρα· θερινός· καὶ τὰ λοιπά.
Ἠροφοίτης· ἐκ τοῦ ἀὴρ καὶ τοῦ φοιτῶ
τὸ παραγίνομαι.

Ἠρίον· ὁ τάφος· παρὰ τὴν ἔραν τὴν γῆν. τροπῇ τοῦ ε· εἰς· η· ἠρίους δὲ καὶ τοὺς λουτῆρας· ἔλεγον οἱ παλαιοί.

Ἤρισμαι· εἰς τὸ ἀμφήριστον.

Ἠριτά· ὅ ἐστιν ἐραστά

Ἠρώω· ἐκ τοῦ ἔρως· ὃ σημαίνει τὸν ἀκμαῖον. εἰρηκέναι τὸ ὕδωρ. ἐκ τοῦ ἄρδω· τὸ ἀντλῶ· ὅμηρος.

Ἥρωες· πλάτων ἔρωες· διὰ τὸ ἔρας θεῶν θνητοῖς ἐξ ὧν ἐγεννήθησαν οἱ ἥρωες. Ἀρισονικὸς ὅτι γηγενεῖς ἦσαν οἱ πρῶτοι περὶ τὴν ἔραν· ἤγουν· ἔρωες· τινὲς

β. δὲ ὅτι ἡ πανδώρα ἐκ πηλοῦ ἐγένετο. ἧς πανδώρας καὶ ἐπιμηθέως οἱ ἄνθρωποι.

Ἥρωες· ἐκλήθη ἀπὸ τοῦ ἀρετῆς ἢ ἀπὸ τοῦ ἀέρος ὥς φησὶν ἡσίοδος·

ἠέρα ἑσσάμενοι —

ἢ ἀπὸ τῆς ἐράσεως· τουτέστι τῆς μίξεως τῶν θεῶν. ἢ ἀπὸ τῆς ἔρας· ἔρα δὲ ἡ γῆ, κατὰ διάλεκτον· ἥρως γὰρ λέγονται παρὰ τὸ κουφίζω· ἢ παρὰ τὸ ἀείρω· ὃ σημαίνει τὸ ἁρμόζω· τὸ δὲ αἴρω σημαίνει ὀκτώ· ἐγράφη.

Ἦρος· ἐκ τοῦ ἔαρ κατὰ τροπὴν τῆς ει διφθόγγου.

Ἥρωες· ἡμίθεοι. δυνατοί· οἱ γίγαντες.
οἱ πάλαι πρωτογενεῖς ἄνθρωποι. ἢ
ἀπὸ τῆς ἐρωτήσεως· διαλεκτικοὶ γάρ
τινὲς δέ· ὅτι ἡ Πανδώρας καὶ Ἐπιμη-
θέως οἱ ἄνθρωποι.
Ἠριγένεια. διὰ τῆς ει διφθόγγου ἡ πα-
ραλήγουσα. καὶ γὰρ διὰ τοῦ εια ὃ πόθεν.
τὸ ἤσθετο. ἐκ τοῦ ὄου εἶναι. ἦσθα ἐκ
τοῦ εἰμί τὸ ὑπάρχω. ἦς καὶ ἦσθα.
διαφέρει ὅτι ὁ μὲν ἦσθα παρῳχημέ-
νον χρόνον δηλοῖ. ὡς τὸ
Δηΐφοβος πολὺ φίλτατος ἦσθα γνωτῶν.
ὁ δὲ ἦς. τὸν μέλλοντα. δὲ . εἰς τὸ
καθεστάναι.
Ἦσε. ἀορίστου τρίτου προσώπου. τὸ θέμα.
ἄδω. ἄσω. ὁ ἀόριστος ἦσα. καὶ τὸ τρίτον
ἦσεν. ἤγουν ἔψαλλε
Ἦσθα. εἰς τὸ ἦς.
Ἥσθην. ἐχάρην. ἡδύνθην. ἡδέως ἔχω.
ἀπὸ τοῦ ἥδω ῥήματος. ὁ παθητικὸς
παρακείμενος ἧσμαι. ὁ ἀόριστος ἥσθην.
ἤστην. ἤστην ὑπῆρχον δυϊκῶς. πόθεν
τὸ ἦσθα. παρὰ τὸ εἰμί τὸ ὑπάρχω.
ὁ παρατατικὸς εἶν διὰ διφθόγγου
καὶ οἱ Ἀττικοὶ τὸ ε τῶν παρῳχημένων
εἰς η τρέπουσι, καὶ γίνεται ἦν διὰ τοῦ

η· καὶ τὸ δεύτερον ἦς· καὶ ἐπεκτάσει τῆς σθα ἦσθα.

Ἠσθῆσθαι. νοεῖσθαι. αἰσθάνεσθαι. ἀπὸ τοῦ αἰσθῶ· ὃ δηλοῖ τὸ αἰσθάνομαι. ὁ μέλλων αἰσθήσω· ὁ παρακείμενος ᾔσθηκα. ὁ μέσος ᾖσθα. ὁ δεύτερος ἀόριστος ᾖσθον. ὁ μέσος ἀόριστος δεύτερος παθητικὸς ᾐσθόμην. . . . . τὸ τρίτον ᾔσθετο. καὶ τὸ ἀπαρέμφατον ᾐσθῆσθαι.

Ἠσθημένος. ἐλαίῳ καὶ ἄλλα τι· εἴσι ἐν τῷ ἐσθοῦ σῆσι:

Ἧσις. ἡ τέρψις.

Ἧς ἡ μετοχή. ἄρθρον θηλυκὸν τὸ ἧς μετοχικὸν ὄνομα. παρὰ τὸ μετέχω.

Ἧσιν. αὐταῖς. καὶ τρέπει τὸ α. εἰς η. ὥσπερ παλάμαις παλάμῃς. καὶ ἔστιν ὁ κανὼν. αἱ τοιαῦται δοτικαί. εἴτε ἐπεκταμέναι εἴτε ἀνεπέκτατοι. τρέπουσι τὸ η. εἰς α. παρὰ τοῖς Ἴωσι καὶ τοῖς ποιηταῖς. οἷον παλάμαις. παλάμῃς. αἱ παλάμῃς φορέουσι. θοαῖς θοῇσι. σεσημείωται δύο. τὸ λιμαίσι τὶ καὶ ἀκταῖς. μὴ τρέψαντες τὸ α. εἰς η. ταῦτα δὲ ἐκτείνονται διὰ τοῦ ι. καὶ εἴτε θοαῖς ἀγάασθαι. παρὰ ἄνδρας εὑρεθῆναι.

Ἡσίοδος· αἰολικῶς· ὁ τὴν αἰσίαν ὁδὸν ποιούμενος· ἔργα γὰρ καὶ ἡμέρας ἔγραψε. πρὸς τὴν τοῦ βίου ἐργασίαν καὶ νομοθεσίαν· ἢ ὅτι αἰσίως ἐβάδιζε· συνέτυχε γὰρ ταῖς μούσαις· καὶ οὐχ᾽ ὡς Θάμυρις διετέθη· ὅθεν καὶ ποιητὴς ἄριστος.

Ἤσκειν· ἐπιμελῶς ἐργάζεσθαι· τὸ θέμα ἀσκῶ· σημαίνει δὲ τὸ μετὰ πολλοῦ πόνου καὶ κόπου εἰργασμένα· ἐκ τοῦ ἀσκός· ἀσκῶ· ὁ παρατατικός· ἤσκεον ἤσκουν· ἤσκεε· ἤσκει· καὶ τὸ ν ἐφελκυστικόν ἐστιν ἐν τοῖς τρίτοις προσώποις ἔτυπτεν· ἔλεγεν· οὕτως ἤσκεεν. καὶ κατὰ συναίρεσιν ἤσκειν.

Ἥττω· παρὰ τὸ ἥσσω· τοῦτο παρὰ τὸ ἥδω· τοῦτο παρὰ τὸ ἡδύ· ἡδύτερος. ἡδίων· ἥσσων· ἀπὸ γὰρ τοῦ ἡδέος ἡττώμεθα· ὁ γὰρ πορνεύων, διὰ τὴν ἡδύτητα τοῦ πάθους νικᾶται ἀπὸ τοῦ διαβόλου.

Ἧσμος· ἐστὶν ἥδω τὸ εὐφραίνομαι· ὁ μέλλων ἥσω· ὁ παρακείμενος ἧκα. ὁ παθητικὸς παρακείμενος ἧσμαι. καὶ ἡ μετοχὴ ἡσμένος.

Ἧσο· καθέζου· διάτριβε· προστακτικὸν ἐκ τοῦ ἧμαι· χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. ἢ παρὰ ἀντὶ τῆς πρός. ἢ παρὰ σημαίνει τὸ πλησίον· καὶ τὸ ἐγγύς.

Ἡ συκάμινος· τῆς συκαμίνου· τὸ δένδρον. τὸ συκάμινον· τοῦ συκαμίνου δὲ ὁ καρπός. ἔστι δὲ πρωτότυπον.

Ἡσυλλα· εἰς τὸ ἄσυλα.

Ἡσίοδος· ὄνομα κύριον· παρὰ τὸ ἥσω μέλλοντα. καὶ τὴν ὁδόν· τὰ γὰρ παρὰ μέλλοντα συντιθέμενα τρέπει τὸ ω εἰς ι· στήσω· στησίχορος. μνήσω· μνησίθεος. πράξω πραξιτέλης. ἥσω· ἡσίοδος.

Ἦτορ· φιλόξενος· ἐν τῷ περὶ τῆς ἰάδος διαλέκτῳ· οὕτως ἐτυμολογεῖ τὸ ἦτορ. ἄτορ ἐστὶ φησί· τὸ ὂν ἄτρεπτον. παρὰ γὰρ τὸν τείρω ἐνεστῶτα μέλλοντα γίνεται τερῶ. ὡς κείρω κερῶ· τοῦ δὲ ω διχηθέντος· ῥηματικὸν ὄνομα γίνεται τέρω· καὶ τορ· μονοσύλλαβον. καὶ ὥσπερ τὸ φέρω· φερ· καὶ φορ ἐκτείνει τοῦ ο εἰς ω· φωρ ὁ λῃστής· ὁ τὰ ἀλλότρια φέρων. τερ ὦω καὶ τορ· καὶ μετὰ τοῦ στερητικοῦ

ᾱ ἄτορ. καὶ ἦτορ. ὡς κυρίως ἐπὶ τῆς
ἀφόβου ψυχῆς. καταχρηστικῶς δὲ ἐπὶ
πάσης ψυχῆς.

Ἡσυχάζειν. καὶ σιγᾶν διαφέρει. ἡσυχάζειν
μὲν ἐστιν ἠρεμεῖν. καὶ ἀτρεμεῖν δι' ὅλου
τοῦ σώματος. σιγᾶν δὲ. τὸ μηδὲν λαλεῖν.

Ἥσυχος. ὁ πρᾶος. παρὰ τὸ ἥδω. τὸ εὐ-
φραίνομαι. ὁ μέλλων ἥσω. ἥσυχος.
ὁ μόναχος. ἥδονται γὰρ μεγάλως τῇ
ἡσυχίᾳ οἱ ἀσκηταί.

Ἧσω. ἀφύσω. ἀκοντίσω. καὶ εἰς τὸ
αἴσυλα. καὶ πρόσου. καὶ προσήκατο.

Ἧσαι. εἰς τὸ καθῆσθαι.

Ἤχαλλον. ἐλυπούμην. ἠνιώμην. ἀπὸ τοῦ
ἀχάλλω.

Ἑταιρικῶς. ἐπὶ πορνείας. ἑταιρικῶς ἐπὶ
ἑταίρου.

Ἤτοι σύνδεσμος συμπλεκτικός. τοι ἀπὸ τοῦ
ἢ διαζευκτικοῦ καὶ τοῦ τοὶ παραπληρω-
ματικοῦ, καὶ εἰς τὸ καί.

Ἤτοι ὁ δὲ ἐών. ὁ ἢ σύνδεσμος διαζευκτικὸς
μὲν ἐστι. παρελήφθη δὲ παρὰ τῷ ποιη-
τῇ, ἀντὶ συναπτικοῦ. οἷον ἤ καὶ ἄλλο.
ἐπεὶ οὐ πολύμυθος ἔην. οὐδ' ἁμαρτοεπής. ἢ συγγενὴς ὕστερος ἦεν.
ἀντὶ τοῦ ἐάν. καὶ τοῦ γένῃ. οὕτω καί

ἢ τοιόσδε ἐών. ἀντὶ τοιοῦτος ὑπάρχων.
ἢ σύνδεσμος αἰτιολογικός. ἀντὶ τοῦ καθά-
-περ παραλαμβανόμενος.

Ἤτις καὶ ἤτειος. τὸ ἤτις ὄνομα πόλεως.
τὸ δὲ ἤτειος σημαίνει τὸν πολίτην. καὶ ἤ-
-τις μάντιος ὁ Ἀπόλλων. ὁ ἐφορῶν τὰς
μαντείας. πρόσκειται πρὸ μιᾶς ἔχοντα
τὸν τόνον. ἐπειδὴ ἀπὸ τοῦ μάντις γέγονεν
ὄνομα κύριον διὰ τοῦ ι. ὅμηρος.

Ἠτίμασε. δευτέρα συζυγία τῶν περισ-
-πωμένων. ἀτιμῶ. ἀτιμᾷς. ἀτιμᾷ.
ἐπὶ δὲ τρίτης διαφέρει τῆδε. ἀτιμά-
-ται δὲ ἁπλῶς ὑβριζόμενος ἔν τινι πράγ-
-ματι.

Ἦτορ. ψυχή. θυμός. ἴωνες δὲ ἄτορ φα-
-σίν. ἦτορ ἡ ψυχή. παρὰ τὸ ἄητης ὃ
σημαίνει τὸν ἄνεμον. γίνεται ἄητορ.
καὶ κατὰ ἀφαίρεσιν τοῦ α λέγεται ἦτορ.
πνεῦμα γὰρ λέγεται ὁ θεός. καὶ ἡ ψυχή.
ὡς ἐν τοῖς θείοις εὐαγγελίοις. πνεῦμα ὁ
θεός. καὶ τοὺς προσκυνοῦντας αὐτὸν
ἐν πνεύματι καὶ ἀληθείᾳ. δεῖ προσ-
-κυνεῖν. τουτέστιν ἀσώματόν ἐστι τὸ
θεῖον. καὶ τοιαύτην θέλει καὶ τὴν θυ-
-σίαν αὐτοῦ. διὰ τοῦ ἐν ἡμῖν ἀσωμάτου

προφέρεσθαι. τουτέστι διά τῆς ψυχῆς καί τῆς τοῦ νοῦ καθαρότητος.

Ἦτορ. παρά τό ἄω τό πνέω. πνεῦμα γάρ ἐστιν ἡ ψυχή.

Ἦτορ καί ἄτορ. παρά τό τρέω. τό φοβοῦμαι. ὁ ἄφοβος. τῇ ψυχῇ. ἴωνες γάρ ἄτορ λέγουσι.

Ἦτρον. σημαίνει τό ὑπό τῶν ὀφθαλμῶν μέρος. ὑπογάστειον. ὅπερ Νίκανδρος ἐπί τῆς ἐντερειώνης τίθησιν. ὅ ἐστι τό ὕφασμα. παρά τό συναφθῆναι. ὅσον τήν σάρκα τῷ λείπει ἄτρον. καί ἦτρον καί ἤτειον.

Ἦτλον. τό ὀλίγον. τό μικρόν. ἔστι ταὐ μεταλαμβάνω. ἐξ τό δεύτερον τᾶς τό τρίτον τᾶ. καί ἐξ αὐτοῦ τόν. καί μετά τοῦ ὑστερητικοῦ α ἄτλον. ὅ οὐδείς θέλει λαβεῖν. καί τροπῇ τοῦ ᾱ εἰς η. γίνεται ἦτλον.

Ἥττω. νικῶ παρά τό ἥσσω. τοῦτο παρά τό ἥσσων. τοῦτο παρά τό ἡδύ. ἡδίστερος. ἡδίων. ἡδίσσων. τοῦτο παρά τό ἡδύς. ὑπό γάρ τῶν ἡδέων νικώμεθα. ὁ γάρ πορνεύσας διά τήν ἡδύτητα τῆς πάθους νικᾶται ὑπό τοῦ διαβόλου.

Ἤτωρ· ῥῆμα προστακτικόν. πόθεν ἐστὶ τὸ ῥῆμα. εἰμὶ τὸ ὑπάρχω. εἴσω ὁ μέλλων. ὁ δεύτερος ἀόριστος ἦν. ὁ παρατατικὸς ἦν. τὸ προστακτικὸν ἤ. τὸ τρίτον ἤτω. ὥσπερ ἵστημι. ἵστη. καὶ τὸ προστακτικὸν ἵστη· ἵστημι ὄμμα. μιμοῦνται πολλάκις τὰ εἰς μι τοῖς εἰς ω.

Ἤτω· ἡ δόξα. πόθεν γίνεται ἐκ τοῦ εἰμὶ ὑπάρχω. ὁ παρατατικὸς ἦν. ἡ μετοχὴ εἷς. ἕντος. τὸ προΐω. τὸ τρίτον ὡς τὸ τιθέτω. καὶ τροπῇ τοῦ ε εἰς η ἤτω. οὐκ ἐτράπη δὲ εἰς ῑ. ἵνα μὴ συμπέσῃ τῷ ἴτω τῷ σημαίνοντι τὸ πορευέσθω.

Ἦτα. τὸ δὲ η ὅτι καὶ Γ. καὶ τοῦν ἔχει ὁ χαρακτὴρ τοῦ στοιχείου. ἡνίκα γὰρ τὸ η πλάγιον τεθῇ. Ι ὀρθοῖς μακρὰν καὶ ἀπ' αὐτῆς τὸ Γ. ὅπερ σημαίνει τὸ Ͳ. ἄλφα δὲ ὀρθοὶ ἡ ἀπὸ τῆς πρώτης γραμμῆς τοῦ η βαρεῖα. καὶ τῆς ἐν τῷ μέσῳ μακρᾶς. ὥστε ἀπὸ τοῦ τούτου τύπου τὸ η ὀνόματος. ὅμηρος.

Ηὔδα· εἶπεν. ἔλεγε. δευτέρα συζυγία τῶν περισπωμένων παρατατικοῦ χρόνου. ἀπὸ τοῦ αὐδῶ. αὐδᾶς. τοῦτο —

παρὰ τὸ ἀοιδή. τοῦτο παρὰ τὸ ἄδω τὸ
φωνῶ. ἢ παρὰ τὸ ἄω τὸ πνέω.
Ἠΰκόμος. ἐκ τοῦ κόσμος. κόσμη. καὶ κό=
=μη. ἢ κόσμον ἑαυτὴν ἔχουσα.
Ἤϋμαι. εἰς τὸ ἠϋκτιῶς. ἠμοίρησεν. ἔλαβεν
ἐπέτυχε. τὸ θέμα ἠμοιρῶ. τοῦτο παρὰ
τὸ ἠῶ μόριον καὶ τὸ μοῖρα. τὸ μοῖρα
παρὰ τὸ μερίζω.
Ἤϋξα. ἐς τὸ ἐϋκτ(ικόν).
Ἤϋρα. τὸ θέμα ἀυρῶ. ὃ σημαίνει τὸ ἀπο=
=λαύω πρώτης συζυγίας τῶν περισπω=
=μένων. ὁ μέλλων ἀυρήσω. ὁ ἀόριστος
ἠύρησα. καὶ συγκοπῇ ἤυρα.
Ἠυλίαζω. ἐκ τοῦ αὐλίζω. τοῦτο ἐκ
τοῦ αὐλή. τοῦτο ἐκ τοῦ ἄω τὸ λάμ=
=πω
Ἠὺς. ὁ πρᾶος.

Τίς γάρ τοι ὅ δ' ἄλλος Ἀχαιῶν ἠΰς τε μέγας τε.
ἢ παρὰ τὸ ἤω. ἵν' ᾖ ἥμερος. ἢ παρὰ
τὸ ἔυς. ἠΰς. ἢ παρὰ τὸ εὖ, καὶ γὰρ
διὰ τοῦ ε. λέγεται ἐΰς ὁ διαβόητος.
παρὰ τὸ ἠῦ σε διαπρέσιον ἢ καλός.
Ἠΰς. σημαίνει δύο. τὸν γενναῖον καὶ
ἰσχυρὸν. καὶ τὸν ἀγαθόν. καὶ ὁ μὲν γεν=
=ναῖος. παρὰ τὸ ἕω τὸ ὑπάρχω. ὁ
δὲ ἀγαθὸς ἐκ τοῦ ἥδος. καὶ ἀποβολῇ

τοῦ δ. ἠύς. ἐξ οὗ καὶ τὸ θηλυκὸν ἠεῖα.
καὶ ὅμηρος.

—— νῦν τις ἐνηείης πατρόκλοιο.

καὶ τὸ οὐδέτερον ἠύ τό. καὶ ἐξ αὐτοῦ ἐπίρρημα ἀντὶ τοῦ καθό.

ἠύτε ἔθνεα εἶσι ——

Ἠΰδε θεὰ μεγάλη.

Ἠΰ. καθάπερ. ὁ τρόπον παραβολικὸν τὸ σχῆμα. ἐκ τοῦ ὡς. καὶ πῶς γίνεται. κανὼν γάρ ἐστιν ὁ λέγων. τὰ εἰς ὡς λήγοντα. ἐπιρρήματα δισυπάρχοντα τινὰ εἰς η λήγοντα καὶ ὁμοτονούμενα αὐτοῖς. οἷον πάντως πάντη. ἄλλως. ἄλλη. οὐδαμῶς. οὐδαμῆ. διχῶς διχῆ. ὀξυνουμένου ἄρα τοῦ ὡς ἀντίκειται τὸ ῆ. ὡς ἐν τῷ ἦ τε ξείνων θέμις ἐστί. τοῦτο ἐν πλεονασμῷ τοῦ υ ἠύτε, ἀναγκαίως τοῦ η ψιλωθέντος. τὸ γὰρ υ πλεονάζει. ψιλοῖ τὰ πρὸ ἑαυτοῦ. πῶς δεῖ ἀναγινώσκειν. ἠύτε ἢ ἠΰτε. ἐν διαστάσει δεῖ ἀναγινώσκειν. ἐπειδὴ κανών ἐστιν ὁ λέγων. ὅτι οὐκ ἔστιν ἐπινοῆσαι τὸ η καὶ τὸ υ ἐν μιᾷ συλλαβῇ. χωρὶς εἰ μὴ ἐγκλίνει ῥήματος. ὡς τὸ αὔδω ηὔδον. αὐχῶ ηὔχουν. ἀναγκαίως ἄρα

ἡ διάστασις· τοῦ ἤυτε· ὁμοίως τοῦ χειλῦς.
ἐνηύς· καὶ τὰ λοιπά.

Ἠφάνισθη· ἐπορθήθη· ἀφανὴς ἐποιήθη.

Ἦυφρανε· τὸ θέμα φραίνω· καὶ παρὰ μὲν τῇ κοινῇ διαλέκτῳ· ἐτρέπεται· παρὰ δὲ τοῖς Ἀττικοῖς τρέπεται. τὸ δὲ ὦφραινω· ἐπὶ φρῶ· τὸ προΐω· ἐξ οὗ καὶ φρῆν· καὶ ἐξ αὐτοῦ φραίνω· καὶ μετὰ τοῦ εὖ μορίου· εὐφραίνω· τὸ καλῶς προΐω.

Ἥφαιστος ὄνομα κύριον· ὁ ἥφαιστος θεός. παρὰ τὸ ἄφαιστος· τὸ δὲ ἄφαιστος· ἀπὸ τοῦ ἅπτω ἐστί· τῷ γὰρ πυρὶ οὐδεὶς δύναται ἅψασθαι· ἢ ἀπὸ τῆς τοῦ πυρὸς ἐμφάσεως· πάντων δὲ ἀπὸ τῆς τοῦ φάους ἱστορίας.

Ἥφαιστος· Αἰολικῶς ἄφαιστος ὤν· οἱονεὶ ἄψαστος· τουτέστι τὸ φῶς ἢ τὸ πῦρ· τοῦ γὰρ πυρὸς ἅψασθαι οὐκ ἔνι· ἢ παρὰ τὸ ἧφα παρακείμενον.

Ἦχα· οὗ τὸ θέμα ἔχω· ὁ μέλλων ἕξω· ὁ παρακείμενος ἦχα.

Ἠχῆ· τῷ ἤχῳ· ἐπίρρημα μεσότητος. ὅμοιον ἐστι τὸ σιγῇ· τριπλῇ καί—

τετραπλῆ· καὶ κλαγγή· ἐνοπή· ἔχουσι
τὸ ῑ προσγεγραμμένον·

Ἠχή· ἦχος· φωνή· καὶ εἰς τὸ χ.

Ἦχι· ἀντὶ τοῦ ὅπου· ἐκ τοῦ ῆ ἦχι.

Ἧχι· ὅπου· ἐπίρρημα τοπικόν· τὰ
εἰς ῑ λήγοντα ἐπιρρήματα· ἔχουσι
καὶ τὸ ῑ προσγεγραμμένον· οἷον· ἄλλῃ.
τριπλῆ· κομιδῆ· σεσημείωται ἔνῃ.
δή· μή· δηλαδή· ἤδη διά τι βαρύνεται.
ἔστιν εἰς τὸ ὀψιτέλεστον·

Ἧχμαι· τὸ θέμα ἔχω· ὁ μέλλων ἕξω.
ὁ παρακείμενος ἦχα· ὁ παθητικὸς
ἦχμαι.

Ἠχήεις· ὁ ἦχον ἀποτελῶν.

Ἦχος· ἐκφώνησις· ψόφος· παρὰ τὸ ἄζον.
ὃ σημαίνει τὸ ξηρόν· τὰ γὰρ ξηρὰ ἠχεῖ.
Ἦχος παρὰ τὸ χέω· καὶ μετὰ τοῦ ε̄ ἐπι=
=τατικοῦ ᾱ ἀχέω· ἄχος· καὶ ἦχος· ἢ παρὰ
τὸ ἄχος· ὃ σημαίνει τὸν ψόφον· τροπῇ
τοῦ ᾱ εἰς ῆ· ἦχος· καὶ εἰς τὸ πυρῶδες.

Ἠχὼ ἡ κραυγή.

Ἠῶθεν· ἕωθεν· εἰς τὸ ὠϊδι.

Ἠωρῆσθαι· ἠρτῆσθαι· κρεμᾶσθαι ἀπὸ τοῦ ἀωρῶ.
ὁ μέλλων ἀωρήσω· ὁ παρακείμενος ἠώρηκα.
ὁ παθητικὸς ἠώρημαι· τὸ ἀπαρέμφατον

ἠωρεῖσθαι. τοῦτο παρὰ τὸ ἀήρ ἀέρω. καὶ τροπῇ
τοῦ ᾱ εἰς ῑ. καὶ τοῦ ῡ εἰς ω̄. ἠωρῶ καὶ ἀπηωρῶ.
συντάσσεται μετὰ αἰτιατικῆς.

Ἠώς. ἀπὸ ὥρας ὄρθρου. ἕως ὥρας ἕκτης.

Ἠώς. διάφορα σημαίνει . . . . τὸν γὰρ
σωματοειδῆ θεὸν διὰ τὸ φάναι τὸν ποιητὴν

Ἠὼς δ᾽ ἐκ λεχέων παρ . . . ονοῖο
ὄρνυθ᾽ ἵν᾽ ἀθανάτοισι φόως φέρῃ. ἠδὲ βροτοῖσι.
καὶ τὸν ὄρθρον φερωνύμως κληθέντα. ἀπὸ
τοῦ ὀρθοῦσθαι ἡμᾶς ἀπὸ τῆς κοίτης. καὶ πρὸς
τὰ οἰκεῖα τρέπεσθαι τὰ ἔργα. ὅταν φησίν.
ἠὼς κροκόπεπλος. ἐκίδνατο πᾶσαν ἐπ᾽ αἶαν.
καὶ τὸ ἀπὸ πρωΐας. μέχρι ὥρας ἕκτης διάστημα.

ὄφρα μὲν ἠὼς ἦν. καὶ ἀέξετο ἱερὸν ἦμαρ.
καὶ τὴν ὅλην ἡμέραν. καθὸ σημαινόμενον
ἡμέρα νοεῖται. ὁ ἀπὸ ἀνατολῆς ἡλίου δρό-
μος μέχρι δύσεως, ὁπότε τὴν ἐφ᾽ ἡμᾶς
διεξίων .

οἱ ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοί.
ἠοῖ τῇ προτέρῃ. τότε Ζεὺς ὦρσε μάχεσθαι.
καὶ ἤματι τῷ προτέρῳ ὅτε μαίνετο φαίδιμος Ἕκτωρ.
καὶ τὸ νῦν ἀμφότερα ἡμέραν τε καὶ νύκτα.
καθ᾽ ὃ σημαινόμενον. καὶ παρὰ μαθηματικοῖς
νοεῖται. ἠὼς δέ μοι ἐστιν. ἠδὲ δυοδεκά. . .
ὅτε ἐς Ἴλιον εἰλήλουθα. καὶ τὴν ἡλίου πά-
ροδον. καὶ τὸν τόπον. ὅθεν ἀνατέλλει ὁ ἥλιος.
κατὰ Ἀρίσταρχον.

ὦ φίλοι. οὐ γάρ πω ἴδμεν ὅπῃ ζόφος. οὐδ᾽ ὅπῃ ἀν

νοεῖται, νῦν γὰρ καθά φησιν ὁ - - - τῶν τεσσάρων τοῦ κόσμου μέμνηται μερῶν. ἄρκτου. μεσημβρίας. ἀνατολῆς. δύσεως. ἅπερ ἀλλήλοις ἐξ ἀντιθέτου ἀντίκειται. ἡ μὲν γὰρ ἄρκτος. τῇ μεσημβρίᾳ. ἡ δὲ ἀνατολὴ τῇ δύσει.

Ἠώς. ὀρθρινός. καὶ ἕως. ἡ ἀνατολὴ Ἀττικῶς. παρὰ τὸ ἐξισοῦσθαι κατὰ τὴν αὐτὴν ὥραν. τοῖς κοίτης. ἢ Αἰολικῶς αὔω. ὡς παρὰ τὸ αὔειν πάντα τὰ ζῶα. μετὰ τὴν ὥραν. ἤγουν φωνεῖν.

Ἠώς τὸ πρωϊνὸν τῆς ἡμέρας. ἤτοι ἕως ταύτης. ἡ νύξ. ἢ ἀπὸ τοῦ ἐξιέναι τοὺς ἀνθρώπους. Σαπφώ.

—— ὅσα φαινόλις ἐσκέδασεν - - -

. . . ἕωλα γὰρ λέγονται τὰ εἰς τὴν ἐπερχομένην ἠῶ λειπόμενα. καὶ εἰς τὸ ἡμέρα. καὶ ὀψίδι. ——

## Ἀρχὴ τοῦ θ̄ στοιχείου

### τὸ θ. μετὰ τοῦ ᾱ.

Θαιρός σημαίνει τὸν στρόφιγγα. παρὰ τὸ δι' αὐτοῦ ἐν ἄλλῳ θέειν στρέφεσθαι τὰς θύρας.

Θαιρούς. τοὺς στρόφιγγας. δι' ὧν θέει καὶ τρέχει ἡ θύρα.

Θαιροί. οἱ στροφεῖς τῆς θύρας. παρὰ τὸ δι' αὐτῶν ἡ θεῖν τὰς θύρας.

Θαλάμας καὶ θαλαμᾶς διαφέρει. ἐὰν μὲν ὀξύνηται. δηλοῖ τὸ τῶν διοσκού-ρων ἱερόν. ἐὰν δὲ βαρύνηται. τὰς κατα-δύσεις καὶ μυχώσεις.

Θάλαμος. ὁ κοιτών. ὁ οἶκος. παρὰ τὸ θάλπω. ἐξ οὗ καὶ θαλάμη πόλις. ἡ περὶ τὸν οἶκον. ἤγουν τὸν θάλαμον ἀναστρεφομένη.

Θάλαμος. ἐν ᾧ τρεφόμεναι θάλπουσιν αἱ παρθένοι.

Θᾶκος. θρόνος. παρὰ τὸ θάσσω. καὶ θω-
- - - αιμαν ἡ ἀνατολή. τὸ θαι δίφθογγον.

Θάλαμος. σημαίνει δύο. καὶ τὸ μὲν —

σημαίνει ἐν ᾧ εἰσέρχονται ἥ τε νύμφη καὶ ὁ νυμφίος· γίνεται παρὰ τὸ θάλλος. δεῖ γὰρ ἐν αὐτῷ θάλλοντα εἰσιέναι τὰ σώματα. τουτέστιν ἀκμάζοντα. εἰ δὲ σημαίνει τὴν οἰκίαν· γίνεται παρὰ τὸ θάλλω· καὶ θάλπω τὸ θερμαίνω.

Θάλαμος· παρὰ τὸ θαλλοῦν τῶν σωμάτων οἶκον εἶναι.

Θάλαμος· οἱονεὶ θάλαμός τις ὤν· παρὰ τὸ θάλπειν· διότι δεῖ θάλπειν. διότι δεῖ θάλλοντα τὰ σώματα εἰσιέναι. καὶ μὴ ἀπεσβηκότας. Ἡσίοδος· ὡραῖος γυναῖκα μὴ ἀπεσβηκέναι. ἀντὶ τοῦ μὴ γεγηρακέναι.

Θαβὼρ καὶ ἑρμῶν· ὄνομα ὀρέων· ἀλλεῖα διὰ τῆς ει διφθόγγου· πρῶτον μὲν τῷ λόγῳ τῶν διὰ τοῦ εια προ . . . -αλαμήπολος· κοιτωνῖτις. ἡ περὶ τὸν οἶκον ἀναστρεφομένη· θεράπαινα.

Θάλασσα· παρὰ τὸ σάλασσα. ἢ θάνασσα. ὁ δὲ Ἀριστόνικος· δύναται ἀπὸ τοῦ σάλου· καὶ γὰρ οἱ Δωριεῖς σάλασσα λέγουσιν.

Θάλασσα· τινὲς θασσαλασσομένη. ἢ σαλευομένη.

Θάλασσα· παρὰ τὸ εἴλη φέναι τὴν ὀνο:
:μασίαν ἐκ τοῦ θα̃· τοῦ σημαίνοντος τὸ
τρέχω· καὶ τοῦ α̃λ̃α· τὸ ἁλμυρὸν· ἤγουν
τὸ ἅλα· ἐκ τῆς ἄσσα τῆς τινάσσεσθαι·
τουτέστιν θεῖν ἅλα τινασσόμενον· συναφ:
:θέντων οὖν τῶν κατὰ ἰδιώματα λέξ:
:ων αὐτῆς ἐκλήθη θάλασσα·
Θάλασσα· παρὰ τὸ σάλον· σάλασσα· καὶ
θάνασσα· παρὰ τὸ ἄσσον εἶναι θάλασσα.
Θάλασσα· θεόσα λεγομένη·
Θάλασσα· θάλαττα· ἀττικοὶ λέγουσι· θρᾳ
ταρμττομένη.
Θαλέθοντες· εἰς τὸ θέω·
Θαλερός· νέος· παρὰ τὸ ἐν ἀκμῇ εἶναι·
τοῦ θάλλειν· ἢ παρὰ τὸ θάλλω· τὸ αὔξω.
τοῦτο παρὰ τὸ θῶ· τὸ τρέφω· ἀπὸ
μεταφορᾶς τῆς ἀνθρώπων ζωῆς· ἤγουν
φύσεως· ὁ γὰρ θαλῆς καὶ μασοῦ μετέ:
:χων· ἀνεισιν εἰς αὔξησιν·
Θάλλω· βλαστάνω· παρὰ τὸ θεῖν ἅλ:
:λοις·
Θαλπωρή· ἡ παραμυθία.
Θαμὰ τὸ συνεχὲς καὶ πυκνόν· παρὰ
τὸ ἕμα· καὶ εἰς τὸ θαμειαί·

Θαμά· παρὰ τὸ ἅμα. πλεονασμῷ τοῦ
θ. ἅμα γὰρ τὸ πυκνῶς γινόμενον.
εἰς ἕνα καιρὸν γίνεται.
Θαμωχωλωπ῀· οἱ ἡμίφλεκτοι ἄνθρα-
κες. θαμάψαι γὰρ τὸ καῦσαι.
Θάμβος· σημαίνει τὴν ἔκπληξιν. ποίου
εἴδους. τῶν ὑποπεπτωκότων τῷ ὀνόματι.
ἰδικοῦ γίνεται θάμβος παρὰ τὸ θάπος.
πλεονασμῷ τοῦ β. καὶ τροπῇ τοῦ π
εἰς μ. διὰ τὴν ἀσυνταξίαν. τὸ δὲ θάπος.
παρὰ τὸ θήπω τὸ ἐκπλήττομαι. ὅμηρος.
Θαμεῖαι. παρὰ τὸ θαμὰ ἐπίρρημα.
γίνεται οὖν θαμός. θαμειός. καὶ θαμειαί.
τὸ θαμὰ ἐκ τοῦ ἅμα πλεονασμῷ τοῦ
θ. σεσημείωται κατὰ τόνον οὕτως ὠρίων.
καὶ ὁ χάραξ. μᾶλλον τὸ ἅμα ἐκ τοῦ
θαμὰ παράγει. ἀποβολῇ τοῦ θ. καὶ
βαρύνεται. τὸ δὲ θαμὰ. ἐκ τοῦ θαμός.
θαμή. θαμόν. καὶ θαμὰ ἐπίρρημα.
γράφεται δὲ διὰ τῆς ει διφθόγγου. ση-
μαίνει δὲ τὸ συνεχῆ. θαμεῖος καὶ τὸ
θηλυκὸν θαμεῖα. τὸ α ἀπὸ τῶν εἰς
ος διὰ τοῦ εια γινόμενα ἡνίκα προ-
παροξύνονται καὶ εἰς τὸ τέλειος.

θαμεῖαι. ἡ θαμεῖα. καὶ κατεβιβάζει τὸν τόνον ἐπὶ τῶν πληθυντικῶν. ὥσπερ ὀργυία. ὀργυῖαι. πλατεῖα. πλατεῖαι. καὶ ἐκ τοῦ θαμὰ γίνεται θαμινὰ καὶ ῥῆμα θαμίζω καὶ θαμὺς ὄνομα καὶ τὸ θηλυκὸν θαμεῖα. θαμίζειν ἀντὶ τοῦ ὁμιλεῖν. καὶ θαμίζει πυκνῶς ἔρχεται. ἐνδελεχία. ἀπὸ τοῦ θαμὰ ἐπίρρημα τοῦτο παρὰ τὸ ἅμα. πλεονασμῷ τοῦ θ θαμὰ καὶ ἐξ αὐτοῦ θαμίζω.

θάμνος. ὁ κλάδος.

θάμνος. ἡ ῥίζα τῶν δένδρων. ὅτι καὶ αὐτὴ ἐγκεῖται τῇ γῇ ἀπὸ τῆς θέσεως. τὸ δὲ θαμνίσαι ἀπὸ αὐτῆς τὸ κατορρίζιμον. ὁ δὲ ὅμηρος καὶ τὴν πολυπληθίαν τῶν φύλλων δέξασθαι. ἀπὸ τούτου ἔφη

ἐκβὰς ἐν θάμνοις κατέδραθεν

θάνατος παρὰ τὸ τάνατος. τείνει γὰρ τὸ σῶμα τῇ ψυχῇ. ἢ διὰ τὸ θανάσιμον. ἢ τάναος τί ἐστιν. ὡς ἐπὶ πάντας διατεῖναι. ἢ θείνωτος διὰ τὸ τίθεσθαι κατὰ νώτου τὸν ἀποθνήσκοντα.

θάνατος τάνατος τί ἐστι. θάνατος θέσις

τοῦ νοῦ τοῦ. ὡς ἂν εἴποι τις διάζευξις τῆς ψυχῆς. ὅθεν καὶ μνήμη.

Θάνατος ἀπὸ τοῦ θεῖν ἄνω τὰς ψυχάς.

Θανατῶ. ὅτι μὲν ἐστιν ἁπλοῦν τρίτης συζυγίας τῶν περισπωμένων. οἷον. θανατῶ. θανατοῖς. ὅτε δὲ ἐστι σύνθετον δευτέρας συζυγίας τῶν περισπωμένων. οἷον δυσθανατῶ. δυσθανατᾷς. ὥσπερ καὶ τὸ δοκῶ. ἁπλοῦν μὲν πρώτης συζυγίας τῶν περισπωμένων. οἷον δοκῶ. δοκεῖς. σύνθετον δὲ δευτέρας συζυγίας. τῶν περισπωμένων. οἷον προσδοκῶ. προσδοκᾷς. ὅτε δὲ τὸ θανατῶ δευτέρας συζυγίας ἐστι. σημαίνει τὸ ἀποθάνω. ἀποθανεῖν μὴ προσβάλλεσθαι πρὸς μάχην. ὅτε δὲ τρίτης συζυγίας ἐστι. σημαίνει τὸ φονεύω.

Θανατοῦν. καὶ θανατᾶν διαφέρει. θανατοῦν μὲν τὸ ἄλλον φονεύειν. θανατᾶν δὲ τὸ ἐφίεσθαι θανεῖν αὐτὸν ἐκεῖνον.

Θάπτω. ὥσπερ παρὰ τὸ βῶ γίνεται βάπτω. οὕτω καὶ παρὰ τὸ θῶ γίνεται θάπτω.

Θάπτειν. παρὰ τὸ θῶ ῥῆμα. καὶ τιθῶ καὶ ὡς βῶ. βάπτω. καὶ θάπτω. ἀΐδιον γὰρ ἔχουσι τὴν ἀπόθεσιν οἱ θαπτόμενοι.

Θάτερον· ἢ παρὰ τὸ ἕτερον. θοὔτερον γὰρ ἦν· ὡς γίνεται ἔλαιον τοὔλαιον. ἀλλὰ τὸ ἕτερον παρὰ Δωριεῦσιν· ἐγένετο ἅτερον θάτερον. τὸ δὲ ἅτερον δασύνεται. διὸ γὰρ λέγουσι θάτερον· καὶ ἐπάγεται ἀρσενικὸν ὄνομα. οὐ γὰρ λέγουσι τὸ ἅτερος. ἀλλὰ ὁ ἅτερος. ἐπεὶ ἔμεινε τὸ τ ἄτρεπτον· ὡς τὸ ἀγαθόν· τἀγαθόν. τὸ δὲ ἅτερον δασύνεται καὶ ἐκεῖθεν θάτερος ὅμηρος.

Θαρσῆσαι θαρρῆσαι· τὸ θαρσῶ ἐκ τοῦ θάρσος· ἔστι δὲ ψυχικὸν τὸ πάθος. τὸ δὲ θάρσος· ἐκ τοῦ θάρρος. ὁπηνίκα εὕρωσι τὸ ρ μετὰ τοῦ σ. οἱ Ἀττικοὶ μετὰ τῶν δύο ρρ προσθέρουσιν. οἷον τὸ θάρσος· θάρρος λέγουσι καὶ τὴν κόρσην κόρρην· καὶ τὴν μυρσίνην μυρρίνην.

Θάρσος· ἀνδρεία. παρὰ τὸ θέρω· τὸ θερμαίνω. θερμός. ὁ μέλλων θέρσω.

Θᾶσσον· πόθεν ἐγένετο. ἀπὸ τοῦ ταχὺς παρήχθη· καὶ ἐγένετο ὁ πρῶτος τρόπος· τῶν συγκριτικῶν ταχύτερος. ὁ δεύτερος ταχίων· καὶ ὁ τρίτος τάσσων. καὶ ἀντιστοιχεῖ τὰ δασέα τοῖς ψιλοῖς· καὶ ἐτράπη τὸ τ ψιλὸν εἰς τὸ θ. τὸ δασὺ καὶ ἐγένετο θάσσων.

Θάρσος καὶ θράσος διαφέρει· ὡς ἀρετὴ κακίας· τὸ μὲν γὰρ ἐπὶ ἀρετῇ τάσσεται· τὸ δὲ ἐπὶ κακίᾳ· ὅθεν οἱ παλαιοὶ ὡρίσαντο οὕτω· θάρσος ἐστὶ ψυχῆς παράστημα μετὰ λογισμοῦ· θράσος δὲ ἡ ἀλογιστία· ὅθεν Εὐριπίδης ἁμαρτάνει

β λέγων·

οὐ θράσος τόδε· ἐπεὶ οὐδὲ τόλμη
κακῶς φίλους δράσαντας ἐναντίους βλέπειν.

Θάσια· τὰ ἀμύγδαλα· ἀπὸ τοῦ θάσσον καρποφορεῖν· πρόϊμα γὰρ τὰ λοιπὰ δένδρα· θάσσον γὰρ θάσσιον κατὰ ἀποβολὴν· τοῦ σ·

Θάσσω· τάχει· παρὰ τὸ τάχος· θάσσων· καὶ θάσσονας·

θάσσονας ἱρηκῶν ἔμμεναι καλλίτριχας ἵππους.

ἐκ πόδων μέρων γίνεται τὰ κριτικά·
ἐκ τριῶν.

Θάσια τὰ ἀμύγδαλα· διὰ τὸ πρὸ πάντων θάλλειν καὶ ἀνθεῖν.

Θάτερος· σημαίνει τὸ ἕτερον· καὶ γίνεται παρὰ τὸ ἕτερος· οἱ γὰρ Βοιωτοὶ τὸν ἕτερον θάτερον λέγουσι.

Θᾶττον· ἐκ τοῦ ταχύς· ταχύτερος· ταχίων
καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ θάσσων.
καὶ ἀττικὸν θᾶττον καὶ περισπᾶται·
Θαυμάζειν· ἀπὸ τοῦ γινομένου κατὰ τὴν
θέαν θάμβους.
Θαυμάζω· γενικῇ μὲν συντασσόμενον
σημαίνει τὸ καταγινώσκω· οἷον θαυμάζω
τὸν ταύτην ἔχοντα γνώμην. αἰτιατικῇ
δὲ τὸ ἐπαινῶ· οἷον θαυμάζω δὲ τοὺς
οὕτω φρονοῦντας.
Θαυματουργός· ἐκ τοῦ θαυματουργῶ.
τοῦτο παρὰ τὸ θαῦμα καὶ τὸ ἔργος.
θαυματουργός καὶ ἐν συνθέσει θαυμα-
τουργός· ὀξύνεται· τὰ παρὰ τὸ ἔργον
συντιθέμενα· εἰ μὲν ἀπὸ πτωτικῶν
συντεθέντα· ὀξύνεται· οἷον δημιουργός
τελεσιουργός· θαυματουργός· πλὴν τριῶν
λυκοῦργος· πανοῦργος· κακοῦργος· εἰ δὲ
ἀπὸ ἀπτώτων προπαροξύνεται· οἷον
ἑκάτεργος· σεσημείωται τὸ συνεργός.
Θέα· ἡ θεωρία· παρὰ τὸ θέω καὶ τὸ
παθητικὸν θεῶμαι βαρύνεται δὲ καὶ γρά-
φεται κατὰ συστολὴν τοῦ θεά· ἐπὶ
τῆς θεοῦ· καὶ θόλος τὸ οἰκοδόμημα. θολὸς
δὲ τὸ μέλαν τῆς σηπίας· τά· ἡ μοῦσα
τὰ εἰς α θηλυκὰ ἔχοντα ἐπὶ τέλους τὸν

τόνον. προσθέσει τοῦ σ. κλίνεται θεά. θεᾶς. δεξιά. δεξιᾶς. γενεά. γενεᾶς.

Θεαρχικωτάτη. ἔστι θεός καί ἄρχων. ἐκ τούτου γίνεται θέαρχος καί τό κτη:τικόν θεαρχικός. καί τό ὑπερθετικόν θεαρχικώτατος. καί θεαρχικωτάτη.

Θαῦμα. παρά τό θαυμάζω. θαῦμα. καί κατ' ἔνδειαν τοῦ σ καί κατά ἀ:ποβολήν θαῦμα. οἱ δέ παρά τό θεῶμαι θέαμα. καί κρᾶσει θᾶμα. καί θαῦμα. οὕτως Ἡρωδιανός. ἐν ἐπιμερισμοῖς.

Θεατής. εἰς τό θεωρός.

Θεημαχία. θεομαχίας διαφέρει. θεομα:χία ἐστιν ἡ πρός θεόν γινομένη μάχη. θεημαχία δέ. ἡ αὐτῶν τῶν θεῶν πρός ἀλλήλους μάχη.

Θιάβας καί εἰς τό ἐπιθιάβας.

Θειλόπεδον. διά τῆς ει διφθόγγου πε:ρισσοῦ τοῦ θ. εἰλόπεδον γάρ παρά τήν ἡλίου αὐγήν. εἴωθασι γάρ καί τήν ἕλην σύν τῷ ε λέγειν. εἵλην. τήν μέν γάρ τῶν συκῶν ψῦξιν τρασίην. λέγει τρασίης φρουρούμενον φύλακα.

Θειλόπεδον. σημαίνει τόν τόπον —

ἔνθα τίθενται αἱ σταφυλαὶ ξηρανθη-
σόμεναι· ὥς φησιν Ἀλεξίων· ἢ ὅπου
ἀπολαύεται ἡ σταφυλή· παρὰ τὸ εἵλη
τὸ σημαῖνον τὴν θερμασίαν· γέγονεν
εἵλη· κατὰ πλεονασμὸν τοῦ ι· καὶ
τὸ πέδον τὸ σημαῖνον τὸ χαμαί· εἱ-
λόπεδον πλεονασμῷ τοῦ θ· θειλόπε-
δον.

Θειλόπεδον· ἔνθα θηλὸς γίνεται βο-
τρύων· καὶ ἡλιοῦται καὶ ψύχονται.
ἐκ τριῶν δὲ λέξεων σύγκειται ἀπὸ
τοῦ θεῖναι καὶ εἵλη· καὶ πέδον· τὸ
σημαῖνον τὸν ψυκτῆρα τῶν σταφυλῶν.
τινὲς δὲ πλεονασμῷ τοῦ θ· φασὶν
ἵν' ᾖ εἱλόπεδον τὸ ἔχον εἵλην ἡλίου.
θειλόπεδον ἔνθα θηλὸς γίνεται βοτρύ-
ων· καὶ ἡλιοῦται καὶ ψύχονται.

Θεῖν· εἰς τὸ διατλεῖν καὶ μεθύω.

Θείνω τὸ τύπτω· ἀφ' οὗ τὸ θενάριον
τὸ κοῖλον τῆς χειρός· καὶ εἰς τὸ
παρθένος

Θεῖον· ἐκ τοῦ θεῶν τὸ γένος ἔχειν.
ἢ θαυμαστόν.

Θεῖος· παρὰ τὸ θεός· θέϊος· καὶ κα-
τὰ συναίρεσιν τοῦ ε καὶ ι· εἰς τὴν δί-
φθογγον θεῖος.

Θεῖον τὸ ἐπιθυόμενον· εἰς κάθαρσιν. καὶ ἀβλαβεῖς ποιοῦν· ἔνθα τὸ
πᾶσαι δ' ἀλὸς θείοιο. — καὶ θεείου
καὶ ὀδμὴ ὄφισι τοῦ κεραυνοῦ. διὰ τοῦ-
-το . . . τὸ οὐράνιον πῦρ
τὸ τοῦ κεραυνοῦ. θεῖα δὲ τὰ ὅσια.
ὁ δὲ Εὐδαίμων ἐν τῇ ὀρθογραφίᾳ λέγει
κτητικὸν ἐπὶ τοῦ θεὸς θεῖος. ἐκβολῇ
δὲ, ἐποίησε τὸ θεῖος. καὶ ὁ πατράδελ-
-φος. οὕτω δὲ πηλικὸς ὢν. ὅτι καὶ γονεῖς
θεῖοι ἡμῶν εἰσίν.

Θεία· ἡ θαυμαστὴ· καὶ ἀδελφὴ πατρός.
καὶ ἡ ἀκτὶς τοῦ ἡλίου. ὁ παρὰ τὴν
θέσιν εἴρηται. τὸ θεῖ δίφθογγον καὶ
τὸ ᾱ μακρόν.

Θεῖοι οἱ θαυμαστοὶ καὶ ἀδελφοὶ τοῦ
πατρός· παρὰ τὸ θεῖον. ὃ σημαίνει
τὸ μέγα· καὶ θείου τὸ ἐπὶ θεοῦ θείου
καὶ θαυμαστοῦ· καὶ θεαφίου. λέγεται γὰρ
τὸ θεάφιον. θεῖον ἄπυρον.

Θεία. διὰ τῆς ει διφθόγγου δὲ τὴν
μητέρα τοῦ ἡλίου καὶ τῆς σελήνης.
παρὰ τὸ θεᾷ γέγονε θεΐα· καὶ κατὰ
συναίρεσιν θεία. καὶ γὰρ αὐτὴ αἰτία
τοῦ φωτός.

Θειάζω τὸ θαυμάζω· διφθόγγου. θεί=
=ασος καὶ θεία.
Θεικέλ· κειθ μοΔ τε· ὁ καλεῖται
ἐπαρκή.
Θέλγει κυρίως μὲν ἐστίν· εἰς ὃ θέλει
τὶς ἄγειν τινά· ὅθεν καὶ θελκτήρια
πολλαχῶς τὰ ἄσματα ἀπὸ τῶν ᾠ=
=δῶν· ἃ τοὺς ἀκούοντας θέλγει. καὶ
εἰς τέρψιν τῶν ᾠδῶν. διὸ καὶ ἡ Πη=
=νελόπη ᾠδὰς θελκτήρια ὑπέφηνε.

πολλὰ δὲ ἄλλα ~~βροτῶν~~ θελκτήρια ἀοιδὰς
οἶδας. καὶ ἡ Κίρκη· οὐδ' ἔτι μὴ
φαρμαχθέντι θαῦμα ἔχει ὥς οὔτι
ποιῶν· τὰ δὲ φάρμακ' ἐθελχθείς.
Εὐμήδης ἐτυμολογεῖ ὁ τὰ θεῖα γράφ=
=ας· παρὰ φύσιν καὶ τοὺς τελχῖνας, ὥσ=
=τε θελγῖνες ἦσαν. τὰ γὰρ θέλγοντα
φύσιν ἔνον τοῖς ὕδασι τῆς φύσεως.
καὶ αὖα ἐποίουν ἕως φυτῶν βασκαί=
=νοντες.
Θέλγειν· τὸ ἀπατᾶν
Θέλυμος. εἰς τὸ προθέλυμνος.
Θέλγουσι τῷ εὐφραίνουσι ἢ τῷ ἀπα=
=τῶσι παρ' ὁμήρῳ. καὶ τὸ σκοτίζον=
=τι οἷον.

—— αὐτὰρ ἀχαιῶν ὄμματα θέλγε.
καὶ εἰς τὸ τελχὶν.

Θέλγειν καταβολὴν ποιεῖσθαι τῆς ψυ-
χῆς. εἰς τὸ θέλειν ἄγειν.

Θέλημα. καὶ θελητικόν. οὐ ταυτόν
ἐστιν θέλημα μὲν ἐστιν. οὐσίας ποιᾶς
ποιὰ ὄρεξις. θελητικὸν δὲ ἐστιν.
αὐτὸ τὸ θέλησιν ἔχον. θελητικὸν δὲ
τὸ ἀγαπώμενον ἐστιν.

Θέλημα εἴρηται διὰ τὸ θέλειν λίαν
ἅμα τὴν φύσιν. παρὰ τὴν αὐτὴν λή-
ψιν. ἢ τοῦ θελητοῦ λῆμμα ἤγουν
κράτημα.

Θελημός. θελήσω μέλλοντα. ὡς ἀπὸ
περισπωμένου τοῦ θελῶ θελησμός.
ὡς μελῶ μελήσω. μελησμός. καὶ ἀποβο-
λῇ τοῦ σ θελημός. ἡσίοδος.

οἱ δὲ θελημοὶ
ἔργα νέμοντο ἥσυχοι

Θεῖον. ὅθεν αἱ ἐξάψεις γίνονται ἀπὸ
τοῦ θέω ῥήματος. τὴν ἀρχὴν ἔλαβεν.
ὥστε τὴν γενικὴν τοῦ πυρὸς οὐσίαν ἀπὸ
τοῦ θέω ῥήματος ὀνομακέναι τοὺς ἀρχαί-
ους. ταύτῃ μὲν τοὺς ὀξὺ ταχεῖς θερ-
μοὺς λέγομεν. τοὺς δὲ βραχεῖς ψυχρούς.

Θελκτήρια. εἰς τὸ θηρίκλειον.

Θέλημα παρὰ τὸ θέλειν λίαν ἢ τοῦ

θελητοῦ λῆμμα· ἤγουν κράτημα.

Θέλω λέγεται καὶ ἐθέλω· ποίας διαθέσεως· ἔστιν οὐδετέρου. τὸ γὰρ ἐθέλω· καὶ ζῶ καὶ πλουτῶ καὶ ὑπάρχω οὐδετέρας ἐστὶ διαθέσεως· διότι οὔτε ἐνέργειαν οὔτε πάθος δηλοῦσι.

Θεμέλιος· παρὰ τὸ δέμω· τὸ οἰκοδομῶ δεμέλιον καὶ θεμέλιον· πόθεν τὸ θεμελιῶ. ἀπὸ τοῦ θεμέλιος. τὸ δὲ θεμέλιος ἀπὸ τοῦ δέμω τὸ οἰκοδομῶ δεμελιῶ καὶ τροπῇ τοῦ δ. εἰς θ. θεμέλιος.

Θεμείλια· ἰωνικὴ ἡ διάλεκτος· καὶ θεμέλια κοινῶς.

Θεμέλη· ἡ θέρμη.

Θέμεναι θεῖναι· ποιῆσαι. ὁ κανών. ἐπὶ τῶν εἰς ναι ἀπαρεμφάτων. εἰώθασιν οἱ Δωριεῖς ἐπεντιθέναι τὴν με συλλαβήν. καὶ εἰ μὲν ἔχωσι δύο φωνήεντα, τὸ ἓν ἀποβάλλουσιν. οἷον θεῖναι θέμεναι· δοῦναι δόμεναι. εἰ δὲ ἓν φυλάττουσιν. οἷον γνῶναι γνώμεναι.

Θέμις· τὸ δίκαιον· καὶ πρέπον ἐκ τοῦ θεσμός. ὃ σημαίνει τὸν νόμον· γίνεται θέσμις. καὶ ἀποβολῇ τοῦ σ θέμις.

Θέμιστος· ἡ δίκη· καὶ κλίνεται θέμιστος· θεμίστου.

Θέμιστας· δίκας· νόμους καὶ κριτάς· παρὰ τὸ τίθημι, θεμός· καὶ κατὰ τοῦ σ θεσμός. καὶ θεσμίς· καὶ θέμις· κατ' ἀποβολὴν τοῦ πρωτοτύπου θέμιδος· καὶ θέμιτα· καὶ θέμιστας κατὰ πλεονασμόν.

Θέναρ· τὸ κοῖλον τῆς χειρός· διὰ τὸ θένειν· δι' αὐτοῦ γὰρ πάντα γίνονται. ἢ παρὰ τὸ θένειν αὐτὸν ἐν γυμνασίοις. καὶ εἰς τὸ θείνω καὶ ὕπαρ.

Θεόγραφος· παρὰ τὸ θεός καὶ τὸ γράφω. γίνεται θεόγραφος· ὁ ὑπὸ θεοῦ γραφείς. θεογράφος δὲ ὁ τὸν θεὸν γράφων.

Θεοείκελος· παρὰ τὸ θεός καὶ τὸ εἴκελος· ὃ δηλοῖ τὸ ὅμοιος· ὁ θεοῖς ὅμοιος. τὸ δὲ εἴκελος· ἐκ τοῦ εἴκω τὸ ὁμοιῶ· ὡς παρὰ τὸ πέμπω πέμπελος.

Θεόδμητον· παρὰ τὸ θεός καὶ τὸ δομῶ ὃ σημαίνει τὸ κτίζω· θεοδόμητον. καὶ κατὰ συγκοπὴν καὶ ἀναβιβασμῷ τοῦ τόνου θεόδμητον ὃ σημαίνει τὸ θεόκτιστον.

Θεοείκελος· εἰς τὸ ὕστατος.

Θεοκλυτοῦσιν· ὡς θεοὺς ἐπικαλοῦνται. παρὰ τὸ θεός καὶ τὸ κλύω· ὃ σημαίνει τὸ καλῶ.

Θεομαχία. εἰς τὸ θεημαχία.
Θεόπιν. θέσπιν. ἐκ τοῦ θεός. καὶ τοῦ
ὢψ ὠπός. καὶ εἰς τὸ νοσφιζοίμεθα.
Θεοπρέπτος. ὁ ἐκ θεοῦ μαντευόμενος.
μετοχή. πρώτης τῶν περισπωμένων.
ὥσπερ καὶ τὸ κοιρανέων. ἐκ τοῦ θεοπρό-
που τὸ θεοπροπῶ. ἔστι δὲ παρασυνθε-
τον ἐκ τοῦ θεόπροπος. τοῦτο συνθε-
τον ἐκ τοῦ θεός. καὶ τοῦ προέπω τὸ
προλέγω. ὅταν ἐκ θεοῦ προλέγων. ὅτι
τὰ εἰς πις λήγοντα δισύλλαβα φύσει
μακρὰ παραληγόμενα. εἰ μὲν ἀπὸ συμ-
φώνου ἄρχονται. βαρύνονται. οἷον πέμ-
πις. ἔστι δὲ βαρβαρικὴ ναῦς. κάλπις.
κάλπιδος. θέσπις θέσπιδος. εἰ δὲ ἀπὸ
φωνήεντος ἄρχονται. ὀξύνονται. ἐλπὶς
ἐλπίδος. ἐμπὶς ὁ κώνωψ ἐμπίδος,
ἀσπὶς ἀσπίδος. ὅμηρος.

Θεοῖο. γενική. κατὰ θετταλούς. γέγο-
νε δὲ παρὰ τὸ θέω τὸ τρέχω. ἢ πα-
ρὰ τὸ αἴθω. τὸ καίω. ἢ παρὰ τὸ θοῦ
τὸ ταχὺ ἀκούω. ὁ τοῖς κράζουσι ταχύς.

Θεοπρόπιον. τὸ ἐκ θεοῦ μάντευμα.
παρὰ τὸ ἔπω ἔπιον τὸ λόγιον. ὡς
λέγω λόγιον. καὶ μετὰ τῆς προ πρό-
θέσεως. προέπιον καὶ συγκοπῇ πρόπιον.

καὶ μετὰ τοῦ θεοῦ θεοπρόπιον. ἤ ποι γὰρ
ὡς πάντα ἐπιστάμενοι, λέγουσι τὰ
τοῖς ἀνθρώποις ἠγνοημένα. οἱονεὶ θεο-
:πρόπιον τὸ ἐκ θεοῦ προλεγόμενον.

Θεουδής. ὁ θεῖος. ὅμοιος. ἢ θεοαδής.
ὁ θεῖος ἀρέσκων. ἢ θεοῦ ἔχων ἀοδήν.
ὅ ἐστι πρεσβυκής. καὶ μειλίχιος.
—— θεοῦ ὡς τετιμημένα ἀνδρός.
ἢ θεοὺς δεδοικώς.

Θέους ὁ Ἀπολλόδωρος. ἀπὸ τοῦ θεῖν.
τινὲς ἀπὸ τῆς θερμότητος. ὁ δὲ Ἀπολ-
:λόδωρος καὶ ἀπὸ τοῦ αἴτιον εἶναι
τοῦ θεάσασθαι τὴν ἀκτῖνα τοῦ ἡλίου
καὶ τῆς σελήνης. οἱ δὲ ἀπὸ τῆς θερ-
:μότητος λέγουσιν. ἀπὸ τοῦ θεοῦ ἄρ-
:χοντα τὸν θάνατον χρ΄΄. ὄντα κατὰ
ἀντίφρασιν. ὡς καὶ θερμοσθεν τὸ
ἱερὸν Αἰγυπτίων. ψυχροποιὸν γάρ ἐστι.

Θεός. διὰ τὸ θέειν. ἤγουν καὶ προφ-
:θάνειν τὰ πάντα. ἢ διὰ τὸ αἴθειν
ἤγουν φλογίζειν. ἢ διὰ τὸ θεωρεῖν
τὰ πάντα. ὅθεν καὶ οἱ τοῖς ὀφθαλ-
:μοῖς τῆς καρδίας θεωροῦντες αὐτὸν
θεοὶ ἐκλήθησαν. ἐγὼ εἶπα. θεοί
ἐστε

Θεράποντες. εἰς τὸ δοῦλος.

Θεουδής. θεοειδής. παρὰ τὸ θεάδης ὁ θεάρεστος. ἢ θεαιδής. ὁ τὸν θεὸν σεβόμενος.

Θεουδής. οὐκ ἔστιν ὥς τινες θεοαδής. παρὰ τὸ ἅδειν καὶ ἀρέσκειν τῷ θεῷ. ἔστιν οὖν θεεδής ὁ τὰ ἔδη τουτέστι τὰ ἐδάφη τῶν θεῶν σεβόμενος. θεὸς λέγεται διὰ τὸ θέειν τὰ πάντα. ἤτοι θεᾶσθαι.

Θεουργίας. θεοῦ ἔργον.

Θεός. παρὰ τὸ θέω καὶ θείω. θεός. ὡς φολκῶ. φολκός. οἱ γὰρ ἀρχαῖοι ὡς ἐπὶ τὸ πλεῖστον. ὡς ἐπὶ ἡλίου καὶ σελήνης ἔταττον τὸ ὄνομα. παρὰ τὸ ἀεὶ θέειν καὶ κινεῖσθαι καὶ ἐπὶ τοῦ χωριστοῦ τοῦ λεγομένου θεοῦ. λέγοιτο ἂν παρὰ τὸ πανταχοῦ εἶναι περιθεῖν.

Θεράποντες. θεράπων. παρὰ τὸ θείνω τὸ τύπτω γίνεται θεράπων. ἢ παρὰ τὸ θεραπεύω. θεραπῶν. θερα-πεία.

Θερίβοτον. τόπον. πεδίον. τὸ ἔχον δόσιν ἐν τῷ θέρει.

Θερείβοτον. παρὰ γὰρ τὴν θέρει δοτικὴν καὶ τὸ βοτὸν τὸ σημαῖνον τὴν βοσκήν. γέγονεν θερείβοτον. σημαίνει δὲ τὸν τόπον

τῶν χόρτων· τὸν ἔχοντα ἐν τόπῳ βοσ-
κήν· ἤγουν ἐν θέρει.

Θέρεια· ὁ καιρὸς τοῦ θέρους· διὰ τῆς
ει διφθόγγου γράφεται· πρῶτον τῶν
διὰ τοῦ εια προπαροξυτόνων· δεύτερον,
δὲ ὥσπερ τὸ θάλλω θάλεια· οὕτω καὶ
παρὰ τὸ θέρω τὸ σημαίνον τὸ θεοφάνης.
θερίζω θέρεια.

Θεωρεῖον· καὶ στάδιον τὸ ἱπποδρομεῖον.

Θέρμος· τινὲς θέρμιον· ὅτι τῶν ἄλ-
λων ὀσπρείων θερμότερόν ἐστι· τι-
νὲς δὲ κατ᾽ ἀντίφρασιν, μόνος γὰρ οὐκ
ἐσθίεται θερμός· ἀλλὰ ψυχριζόμενος.
ἢ ὅτι θερμοῦται πρότερον.

Θερμός· ὥσπερ παρὰ τὸ εἴρω τὸ λέγω
εἶρος καὶ εἱρμός· οὕτω καὶ παρὰ τὸ
θέρω τὸ θερμαίνω· θερὸς καὶ θερμός.

Θέρος παρὰ τὸ θέρω· ὁ θερματι-
κὸς ὢν τῷ λέγειν. τὸ σι· τ· τὰ διὰ
τοῦ ιτης παρώνυμα, καὶ παρώνυμον
ἐστι ναι. ἔστι δὲ θέρετος· ὡς παρὰ τὸ
βάθος· βένθος. καὶ πάθος· πένθος.
οὕτω καὶ θάρσος· καὶ θέρσος· προπῦ
τοῦ ᾱ· εἰς ῑ. καὶ τὸ σι μακρόν.
καὶ ἅπαντα τὰ διὰ τῆς ῖτης μακρὰ
εἰσίν.

Θερσίτης· παρὰ τὸ θέρω τὸ σημαῖνον τὸ θερμαίνω· θερμὸς γὰρ καὶ προπετὴς ἦν· ἢ ἀπὸ τοῦ θέρσος Αἰολικῶς γέγονε θερσίτης·

Θερσίτης· τὸ σι. τ. τῷ λόγῳ τοῦ Ἀσκαλωνίτης· ἔστι δὲ παρὰ τὸ θέρω. τὸ θερμαίνω· θερμὸς γὰρ καὶ προπετὴς ἦν· καὶ μάρτυς ὀδυσσεύς· ὁ ἄλλω[?] καταπαύσας τοῦ φρονεῖν ὑπερόρια. ἢ παρὰ τὸ θάρσος· θέρσος γὰρ λέγουσιν οἱ Αἰολεῖς· καὶ ἐκλήθη θερσίτης. οἱονεὶ ὁ εὔτολμος· κατὰ ἀντίφρασιν ὁ δειλὸς ὁ ἄθαρσος· ἢ ὁ θάρσος ἔχων ἐν τῷ ὑβρίζειν.

Θερῶ· τὸ καίω· παρὰ τὸ θέω, τὸ γὰρ ταχὺ καὶ θερμόν· φαμὲν δὲ θερῶ περισπώμενον.

Θέρω· τὸ θερμαίνω· θέρων ὄντως ὁ θερμαίνων ἥλιος· ἐξ οὗ θέρος καὶ τὸ ἀθέρι· καὶ ἐθεροῦσε[?]· καὶ θάρσος· καὶ θερμὸς καὶ θέρος· καὶ θεῦρος[?] καὶ θέρος.

Θεόεικελος· καὶ ἐν συγκοπῇ θεόκελος. καὶ ὥσπερ θέσφατος. οὕτω καὶ θεόκελος· καὶ θέσκελος· καὶ εἰς τὸ ὕστατος.

Θεοείκελος· ἐκ τοῦ θεοῦ καὶ τοῦ εἴκω. τὸ ὁμοιῶ. θεοείκελος ὁ δίκαιος..

Θές· ἀπὸ τοῦ τιθῶ γέγονε τίθημι. ἀνατεθεῖναι καὶ ἀνατεθειμένος· προστιθῶν· προστιθείς· ζήτει.

Θεσμὸς ὁ νόμος· ἀπὸ τῆς θέσεως. ἕκαστος γὰρ ὁ νομοθέτης. ὡς ἐβούλετο ἐτίθει τοὺς νόμους. καὶ εἰς τὸ θεὶς καὶ πρόθεσμα.

Θεσπεσία· ἡ θεία. ἐκ τούτου θέσπις ὁ λέγων. ὅτι τὰ εἰς ις λήγοντα δισύλλαβα· φύσει μακρὰ φυλάσσει· εἰ μὲν ἀπὸ συμφώνου ἄρχονται. οἷον πράμπις. ἔστι δὲ βαρβαρικὴ ναῦς. ὡς κάλπιδος. θέσπιδος. εἰ δὲ ἀπὸ φωνήεντος ἄρχονται. ὀξύνονται οἷον ἐλπίς. ἀσπίς. ἐμπίς. ὁ κώνωψ. καὶ εἴ τι ὅμοιον. πῶς θέλει λέγεσθαι θέσπις. ἢ θεσπίς, θεσπίς. ὡς ἐλπίς, ἐμπίς. παροξύτονον. ὁ κανὼν εἴρηται.

Θεσπέσιος· θεῖος. θαυμαστός. οἷον θεοέπιος. ὁ ἀκολουθῶν καὶ ἕπων τοῖς θεοῖς.

Θεσπέσιος ὁ θαυμαστός· παρὰ τὸ θεὸς καὶ τὸ πέσω τὸ σημαῖνον τὸ πίπτω·

ἢ ὁ μέλλων πέσω· ἐκ τοῦ πέσω· πέσιος.
καὶ μετὰ τοῦ θεὸς θεοπέσιος· καὶ γὰρ
συγκοπῇ θεσπέσιος· ὁ ἐκ θεοῦ πέσων.

Θεσπίζω· σημαίνει τὸ ὁρίζω· καὶ νο-
-μοθετῶ· ἀφ' οὗ καὶ θέσπισμα τὸ θεῖον
δόγμα.

Θέσπιν· θείαν· ὄνομα θηλυκόν· καὶ
γίνεται οὕτως. ἔστι θεὸς καὶ ὄψ ἡ φωνή.
καὶ γίνεται θεόσπις· καὶ κατὰ συγκο-
-πὴν θέσπις· καὶ ἡ αἰτιατικὴ θέσπι-
-δα· καὶ θέσπιν· σημαίνει δὲ τὴν θείαν
δύναμιν.

Θέσπις· θέσπιδος· ὁ κανών· τὰ εἰς
ις θηλυκὰ διὰ τοῦ π ἐκφερόμενα· εἴ-
-τε ἁπλᾶ· εἴτε σύνθετα· διὰ τοῦ δος
κλίνεται.

Θεσσαλονίκη· ἐτυμολογεῖται παρὰ
τὸ θὲς ἄλλω τὴν νίκην.

Θέσφατος· ὁ ἐκ θεοῦ πεφημισμένος.
καὶ εἰς τὸ ἀθέσφατος· καὶ νοσφισο-
-μεθα.

Θεωρία· παρὰ τὸ τὰ θεῖα ὁρᾶν.

Θετταλικός· ὄνομα ἐκ τοῦ θετταλοῦ.
τοῦτο δ' ἐστὶ πόλις θεσσαλίας· καὶ θεσ-
-σαλος.

Θέω· τὸ τρέχω· ἐξ οὗ καὶ θέω· ὡς

φωλεύω· φωλιός· παρὰ τὸ ἀπολελωκέ-
ναι τὸ φῶς.

Θέω τὸ θάλλω· καὶ ἀνθῶ· ἐξ οὗ καὶ
τὸ τηλεθόωντες καὶ θαλέθοντες· καὶ εἰς
τὸ ἀνήνοθεν· καὶ διάττειν καὶ ἀνθός·
καὶ θόρυβον· καὶ νυχάτεον καὶ ὀρθός·
καὶ πολίπορθον· καὶ θοή.

Θεωρός· παρὰ τὸ θεὸς καὶ τὸ ὁρῶ· ἢ
παρὰ τὸ θεῖον ὁρᾶν· τὰ παρὰ τὸ θεῶ
γινόμενα ὀνόματα διὰ τοῦ ω μεγάλα
γράφονται.

Θέμεις· θέμις θέμιος· καὶ θέμεως· ἢ
ὡς θέμα τῶν πληθυντικῶν αἱ θέμεες·
αἱ θέμεις· ὡς πόλεες· πόλεις· καὶ
ὄφεες· ὄφεις. εἰ δὲ ἀπὸ τοῦ θέμιος
γενικὴ ἰωνικὴ γέγονεν· διὰ τοῦ ι ἐγρά-
φη ἄν· οἷον θέμιες· καὶ κράσει τοῦ ι
καὶ ε· εἰς ι μακρὸν θέμῖς· καὶ γὰρ
τὸ ε· εἰ μὲν ἐπιφέρεται τὸ ι μόνον,
ἐπικρατεῖ καὶ εἰς αὐτὸ γίνεται ἡ κρά-
σις· οἷον ἱερόν ἱρόν· ἱρεως· ἱερεύς.
ἱέραξ ἵραξ· εἰ δὲ ἐπιφέρεται τὸ
ε ἐν διφθόγγῳ· ἡ δίφθογγος ἐπικρατεῖ.
οἷον ὑγίεια· ὑγεία· ἀπολλωνίεια·
ἀπολλωνία.

Θεωρὸς καὶ θεατὴς διαφέρει· ὁ μὲν

γὰρ εἰς θεοὺς πεμπόμενος ἤγουν φρον-
-τίζων.

Θεωρὸς λέγεται. ὁ δὲ ἀγώνων καὶ θεά-
-τρων θεατής διὸ ἁμαρτάνουσιν οἱ
λέγοντες· θεωρῆσαι μὲν δεῖ τὸν ἀγῶνα.
ἐπεὶ δέον εἰπεῖν θεάσασθαι.

Θεωρητικὸς. μὲν γάρ ἐστιν. ὁ περὶ θεά-
-ματα τινὰ καὶ σημειώσεις ἀσχολούμενος.
θεατὴς· θεωρητικὸς δὲ ὁ δι᾽ ὑπερβολὴν
φρονήσεως καλῶς δυνάμενος θεωρῆσαι
λογικὰ θεωρήματα.

Θημωνία. τὸ θη· η· τὸ μω· μέγα.
τὸ νι· ι· παρὰ τὸ θήμονα γάρ. ἦν καὶ
παρὰ τὸ θεῖναι.

Θημών. παρὰ τὸν θήσω μέλλοντα. ἐκ
τοῦ τιθῶ

——— ἠϊὼν θημῶνα τινάζει.

Θηλαμὼν. ὁ τροφός. παρὰ τὸ θηλάζω
ῥῆμα.

Θηλή. μαστὸς ὁ γαλουχῶν:

Θηεῦντο. σημαίνει τὸ ἐθεάσαντο. ἔστιν
οὖν θεάω θεάσω. τὸ παθητικὸν θεά-
-ομαι θεῶμαι. ὁ παρατατικὸς ἐθεαό-
-μην. τὸ τρίτον τῶν πληθυντικῶν
ἐθεάοντο. ἐθεῶντο. καὶ οἱ Δωριεῖς
τρέπουσι τὸ ω μέγα. εἰς τὴν ου δίφ-
-θογγον. καὶ γίνεται ἐθεοῦντο. συστολῇ

τῆς ἀρχούσης· καὶ τροπῇ τοῦ ε εἰς η· θηητόν.

Θνησιμαῖος· ἐκ τοῦ θνήσιμος· τὸ μαι δίφθογγον· τὰ διὰ τοῦ αιος καθαρὰ ἀπὸ πρωτοτύπων τῶν εἰς ος γίνεται διὰ τῆς αι διφθόγγου· λίνος λιναῖος. δρόμος δρομαῖος.

Θηλεῖα· παρὰ τὸ θάλλειν καὶ γεννᾶν. ὅθεν καὶ ἔμβρυον τὸ ~~τικ~~τόμενον διὰ τὸ βρύειν. καὶ ὑπόμβρεος δένδρ. θηλεῖα καλεῖται παρὰ Σοφοκλεῖ· παρὰ τὸ θάλλειν ἐν αὐτῇ τοὺς καρπούς.

Θῆλυς· καὶ θήλεια. θῶ ἐστι ῥῆμα· καὶ δηλοῖ τὸ τρέφω. ὁ μέλλων θήσω. παρ' ὃ θηλὴ ὄνομα ῥηματικὸν καὶ τροπῇ τοῦ α εἰς υ· θῆλυς. οὗ γένος θηλικὸν θήλη. οὕτω Φιλόξενος. θηλὴ καὶ θῆλυς· ὡς καρύ· καρύς· καὶ ἀρίς. εἴρηται δὲ καὶ καρύ· φησὶν ὁ Καλλίμαχος.

Θηκάρεω· θήκη· ἄρεος. ἄρης γὰρ ὁ πόλεμος λέγεται. ἢ ὁ σίδηρος.

Θηλάμων ὁ τροφὸς παρὰ τὸ θῶ ὃ δηλοῖ τὸ τρέφω. οὗ ὁ μέλλων θήσω.

Θηλὴ ἀπὸ τῆς θηλῆς. τινὲς δὲ ἀπὸ

τοῦ ἐντίθεσθαι. διό καί τιθός καί τιθηνή ἀπό τοῦ θίων.

Θῆλυς. ἡ θήλεια. παρά τό θῶ. τό τρέφω. θήσω. καί θηλή. καί θῆλυς.

Θῆλυ θήλεος. γίνεται ἐκ τοῦ θάλλω.

Θηριωδία. ἡ πικρεία. ἐκ τοῦ θηριώδης. ἐξ οὗ καί ἐκθηριοῦται.

Θημωνία. ὁ σωρός. τό θῆμα ἤ. ἐκ τοῦ τίθημι. θήσω γίνεται. θημών. ἐξ αὐτοῦ θημωνία. τό μῶ. μέγα διατί. τά εἰς ων περιεκτικά. καί τά ἑξῆς.

Θήπει. ψεύδεται. ἐκ τοῦ θωπεύω.

Θήπω. τό ἐκπλήττομαι. ἀφ' οὗ καί τάφος. ἀφ' οὗ καί ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς. καί τεθηπότες ἦντε νεβροί ἀντί τοῦ ἐκπλαγέντες. καί εἰς τό θάμβος.

Θήρα. ἡ παγίς. καί ἡ ἄγρα. ἤτοι τό κυνήγιον.

Θηρεύω. καί θηρῶ τό συλλαμβάνω καί κρατῶ. καί κυνηγῶ. ἐξ αὐτοῦ θηρεύουσιν ἐπί ψυχήν. καί θηρῶ. θηρεῖς. θηρεῖ. ἐξ οὗ καί θηρῶμαι δόξαν. καί θηρῶνται. ὅ ἐστι ζητοῦντες.

Θηρίκλειον. σημαίνει τοῦ Θηρικλέους ποτήριον. ὥς φησιν Εὔβουλος. ὅθεν καί θελκτήρια πολλαχῶς τά ἄσματα ἀπό

τῶν ᾠδῶν ἃ τοὺς ἀκούοντας θέλγει καὶ ἄγει εἰς τέρψιν.

Θηρίκλειον εἶδος ποτηρίου ἀπὸ τοῦ ποιήσαντος Θηρικλέους. ὥς φησιν Εὔβουλος ὁ τῆς μέθης κωμι… ποιητής.

Θηρίκλειον τὸ τοῦ Θηρικλέους ποτήριον.

Θήσω. θῶ ἐστι ῥῆμα δηλοῦν τὸ τρέφω· οὗ ὁ μέλλω. θήσω. θήσεις. θήσει.

Θηλὴ παρὰ τὸν θήσω μέλλοντα. δηλοῖ τὸ θηλάζω.

Θηρίον παρὰ τὸ θὴρ. τοῦτο παρὰ τὸ φηρίω φηρῶ. φηρὶς καὶ θήρ. παροξύτονον τὸ ει. ι. τὰ διὰ τοῦ ι. οὐδετέρου μονογενῆ διὰ ι γράφεται εἰς τὸν κανόνα.

Θηρίον διὰ τὸ θέειν ῥᾶον. ἢ τρέχειν. ἢ διὰ τὸ θηρεύειν τὴν θήραν. τὴν κυνηγετικὴν ἐπιστήμην. παρὰ τὸ θήρ. θηρός. τοῦτο παρὰ τὸ θηρεύω ἀποβολῇ τοῦ ω θῆρ. ἢ διὰ τὸ θεωρεῖν.

Θηρός. ἡ εὐθεῖα. ὁ θήρ. τοῦ θήρος. γέγονε παρὰ τὸ θέρω τὸ θερμαίνω. κυρίως δὲ λέγεται θὴρ ὁ λέων ὁ θερμός. ἐπειδὴ καὶ πάντα τὰ θηρία θερμά εἰσι.

Θηρίον. διὰ τὴν θήρευσιν. ἢ διὰ τὸ θέειν. ἤγουν τρέχειν.

Θήγη ἡ ἀκόνη· καὶ θήγω τὸ ἀκονῶ. ἔλλειψις τοῦ σ̄· παρὰ τὸ θοῶ· θοή... ... ἔστι ῥῆμα μαθύσω· καὶ σημαίνει τὸ ἀκονῶ.

Θὴς καὶ λάτρις διαφέρει· καὶ ἀμφίπολος καὶ ἄτμος. θὴς μὲν γὰρ ὁ ὑπὸ μισθῷ δουλεύων· λάτρις δὲ ὁ κατὰ πολεμικὴν περίστασιν ἁλοὺς· καὶ εἰς δουλείαν ἀχθείς. ἀμφίπολος δὲ κοινὸν ἄρρενος καὶ θηλείας ὄνομα δούλου. ἄτμενος δὲ ὁ οὐ μόνον ὁ δοῦλος ἀλλὰ καὶ ὁ τεταγμένος καὶ ἐλεύθερος.

Θησαυρός. ἐκ τοῦ τίθημι· θήσω· θησαυρός· ταμεῖον· κελλάριον· φυλακτήριον.

Θήσειν ἀφορίζειν ποιήσειν.

Θήσεις· σημαίνει δύο τὸ ποιῶ καὶ τὸ θηλάζω.

Θῆτες οἱ μίσθιοι παρὰ τὸ τιτᾶν, ὅ ἐστι σπανίζεσθαι τροφῆς· καὶ διὰ τοῦτο δουλεύειν ἐλευθέρους ὄντας· οἱονεὶ εἰς τιτᾶσθαι· οἷον τῆτες· καὶ θῆτες.

Θητικόν· θεραπευτικόν· ὑποχείριον. ἐργαστικὸν τῶν δεόντων· μισθαρικόν. σημαίνει δὲ τὸ ἐπ' ἔσχατον τίμημα

παρ' Ἀθηναίοις. εἰς τέσσαρα τοῦ πολιτεύματος διῃρημένου τέλη. γέγονε δὲ ἀπὸ τοῦ θὴς θητός. θητικὸς κτητικοῦ τύπου. τὸ δὲ θὴς παρὰ τὸ τῶ ὃ σημαίνει τὸ λαμβάνω. ὅπερ κατὰ τῆς τῆ στερήσεως γίνεται τητῶ τὸ οὐ λαμβάνω. θῆτες οὖν καὶ οἱ μισθῷ διὰ πενίαν ἐργαζόμενοι διὰ τὸ τητᾶσθαι· ὅ ἐστι στερεῖσθαι· ὡς τῆτες καὶ θῆτες κατὰ τροπὴν τοῦ τ εἰς θ.

Θητός· εἰς τὸ σέσηπεν.

Θῆτα λέγεται. ὅτι τὴν τοῦ παντὸς θέσιν μιμεῖται. ἡ δὲ τοῦ παντὸς θέσις· ὁποία ἐστίν· ὁ τό τε κύκλῳ τερὲς ἔχον καὶ τὸν διὰ μέσου ἄξονα. τῇ κατὰ τὴν μέσην οὐσίᾳ μακρὰ χαρακτηρισθὲν οὖν οὕτως· καὶ ἐοικυῖαν ἔλαβε ὀνομασίαν.

Θησεῖον· διὰ τῆς ει διφθόγγου ἡ παραλήγουσα· τὰ ἀπὸ τῶν εἰς εὺς διὰ τὸ εῖον παρακείμενα διὰ τῆς ει διφθόγγου γράφονται. οἷον κουρεύς· κουρεῖον. βαφεύς· βαφεῖον· βαλανεὺς βαλανεῖον· οὕτως οὖν καὶ θησεὺς θησεῖον· ταῦτα δὲ προπερισπῶνται πλὴν τὸ θήσειον. ἔστι δὲ ὄνομα πόλεως. ἀπὸ Φεύγεως κτίσαντος·

τὸ δὲ θήσειον ἐστὶ ναὸς Θησέως. ἐν ᾧ οἱ δοῦλοι προσέφευγον.

Θοίνη. ἡ εὐωχία. ὡς παρὰ τὸ ἀγκῶ ἀγκόνη καὶ ἀκόνη.

Θὶς ἐπὶ τοῦ σωροῦ σημαίνεται. παρὰ τὸ θῶ. ἀφ' οὗ θεῖναι καὶ ἐπιθεῖναι. θὶς διὰ τοῦ ι. τὰ γὰρ εἰς ις δικατάληκτα. διὰ τοῦ ι γράφεται. οἷον δελφὶς. σαλαμὶς. τελπὶς. οὕτως οὖν καὶ θὶς. διότι καὶ θῖν. ἰστέον ὅτι τὸ θὶς σημαίνει τὸν αἰγιαλόν. οἷον θῖνος ἐφ' ἁλός. σημαίνει δὲ καὶ τὸν σωρόν. πολλὸς δ' ἀμφ' ὀστεόφιν θίς. ἀντὶ τοῦ σωρός. παρὰ τὸ εἰς ὕψος ἀναθεῖναι. ἢ θὶς. θολυκοῦ ὁ αἰγιαλός.

Θίασος. ἀπὸ τοῦ θεῖν ὅ ἐστι θέειν. τοῦτο παρὰ τὸ ἐνθουσιᾶν. ὅθεν θιασώτας λέγουσι τοὺς περὶ Διόνυσον. ὤφειλε δὲ διὰ διφθόγγου γράφεσθαι. ἐτυμολογεῖται δὲ παρὰ τὸ θεῖον ᾄδειν. ἀλλ' ἡ παράδοσις παρέλαβεν αὐτὸ γράφεσθαι διὰ τοῦ ι. θίασος δὲ λέγεται ὁ χορός. ἐξ οὗ καὶ θιασώτης ὁ χορευτής. τὸ θει. ι. καὶ τὸ σῶ μέγα ἀπὸ παραδόσεως.

Θιασῶται. τοὺς τὰ θεῖα ᾄδοντες ἐκ τοῦ ᾄδω. θειάζω δὲ θαυμάζω διὰ τῆς ει διφθόγγου.

Θιγγάνω εἰς τὸ ἐπιγγάνω.

Θίγω. εἰς τὸ ἐπιγγάνω.

Θιασῶται. ἐκ τοῦ θιάζω. πολλὰ γὰρ ὀνό-
ματα.

Θίν. θίς. ὁ αἰγιαλὸς ἀπὸ τοῦ θένεσθαι
λέγεται. καὶ ἀκτὴ ἀπὸ τοῦ κατάγνυσθαι.
τὰ κύματα ἐν αὐτῷ. καὶ εἰς τὸ ἀκροθίνια.
καὶ εἰς τὸ ἀκτίς. καὶ παραλείς. καὶ παρὰ
θῖνα.

Θῖνα τὸν ἔσω ὄντα καὶ ἥσυχον αἰγιαλὸν ση-
μαίνει παρὰ τὸ τύπτω. εἰς ὃν ἀκρού-
ουσι τὰ κύματα. καὶ σημαίνει τοῦτο τὸ
τύπτω καὶ τὸ φονεύω. καὶ θλίβω. παρὰ
τὸ θλῶ. θλίβω. ἢ παρὰ τὸ θερίβω καὶ
ἐξ αὐτοῦ γίνεται θρίβω. καὶ τροπῇ τοῦ
ψιλοῦ εἰς τ. σημαίνει δὲ τὸ θλίβω δύο.
τὸ τὴν ψυχὴν σωτρίβω. καὶ τὸ τὴν σα-
φυλὴν πατῶ.

Θνήσκω. παρὰ τὸ θνῶ. θνήσω. θνήσκω.
ὡς τρῶ. τρώσω. τρώσκω. καὶ τιτρώσ-
κω. καὶ βρῶ. βρώσω. βρώσκω. δηλοῦσιν
οἱ Δωριεῖς θνάσκω λέγοντες.

Θνητός. παρὰ τὸν θνήσω μέλλοντα. θνη-
τὸς ὁ θάνατος. παρὰ τὸ ἀντιδιαστέλλεσθαι
ἀθανάτῳ. ἢ παρὰ τὸ θανῶ. θνήσω. θνατὸς
καὶ θνητός.

Θνῶ· εἰς τὸ θνήσκω καὶ τεθναίη.
Θοὴ ἡ ὀξεῖα· καὶ ταχεῖα· παρὰ τὸ θέω.
τὸ θεῖν ψιλόν· τὰ διὰ τοῦ εω λήγοντα ῥή-
ματα· δισύλλαβα συναιρούμενα κατὰ τὸ
δεύτερον καὶ τρίτον πρόσωπον διὰ τὸ ε
ψιλοῦ γράφεται. οἷον ζέω· πλέω. θέω.
θέεις. θεῖς.
Θοίνη· ἡ εὐωχία· παρὰ τὸ θῶ. τὸ τρέφω.
ἐξ οὗ καὶ ἡ θόνη· καὶ θοίνη. καὶ εἰς τὸ
θορῆξαι.
Θοινώμενος· πανθοινεί.
Θοινηθῆναι· τὸ φαγεῖν μὲν σημαίνει.
γίνεται δὲ ἐκ τοῦ θοίνη ὃ σημαίνει τὴν
εὐωχίαν· καὶ ἐξ αὐτοῦ θοινῶ. τὸ δὲ θοίνη,
παρὰ τὸ θῶ· τὸ ἀπολαύω. ὁ μέλλων θέσω.
καὶ θώνη· καὶ οἱ Δωριεῖς τὸ ω εἰς οι τρέ-
πουσι. τὸ γὰρ χελώνη χελοίνη λέγουσιν.
οὕτω καὶ τὸ θώνη· θοίνη· καὶ ἐξ αὐτοῦ
θοινῶ· τὸ εὐωχοῦμαι.
——— τοὺς δὲ προτέρω ἄγε θοινηθῆναι.
ὅμηρος.
Θοὴν· νύκτα· ταχέως δοκοῦσα παρεῖναι.
διὰ τὸ ἡδέως ἡμᾶς ἐν αὐτῇ ~~ανα~~ παύεσθαι.
Θωρός· ἡ ἔγκρισις τοῦ σώματος· παρὰ
τὸ μετὰ ὁρμῆς πέμπεσθαι.
Θορουσης· πηδώσης κραδίας.
Θορὸς ὁ σπόρος ὁ ἀνθρώπινος· ἀπὸ τοῦ

θορεῖν· ὁ μετὰ ὁρμῆς πεμπόμενος· θῶρος
δὲ ἡ τροφή· καὶ ἡ μέθη· παρώνυμον θώ-
ραξ· ὡς λίθος λίθαξ· θώραξ οὖν ὁ δεκτι-
κὸς τῆς τροφῆς τόπος· εἴρηται ζήτει·

Θόρυβος· παρὰ τὸ θέω τὸ τρέχω· γέγο-
νε θέρυβος· καὶ θόρυβος.

Θρῶ· τὸ πηδῶ· ἐξ οὗ καὶ θρίξ· εἰς τὸ
δόρυ καὶ ἐθρόησε· καὶ ἔχλισο· καὶ ἐχθρός.
καὶ θρόνος· καὶ τρανὸς ὅμηρος.

Θόλος· κυκλοτερὲς οἴκημα· ἀπὸ τοῦ περι-
θεῖν εἰς ὃ τὰ καθ' ἑκάστην εἰς χεῖρας
πίπτοντα ἀπετίθεντο· οἷον κεράμια·
καὶ ἐκπώματα καὶ τὰ ὅμοια.

Θούριος· ὁ πηδητικός· παρὰ τὸ ἐνθου-
βιᾶν.

Θυρεός· ἡ ἀσπὶς ἀπὸ τῶν περιεχομένων
τὸ περιέχον.

Θρᾶξ· εἰς αἴξ.

Θοῦρος ὁ πολεμικὸς παρὰ τὸ θόως ὀρού-
σαι ἤγουν ὁρμᾶν· καὶ εἰς τὸ θορῆξαι.

Θρῆσκος· ἑτερόδοξος· αἱρετικός.

Θρήνην ἀρρενικῶς· θήλην καὶ πῶλην
ἐπιχωρίως· ἦγαρ οὐδέτερον εἰς τὸν λό-
γον·

Θρασύς· ὀργή· πληγή· εἴρηται δὲ

ἀπὸ τοῦ κατακόπτοντος· καὶ λεπτύνοντος
ἢ θραῦσις

Θρῆνυν· ὑποπόδιον. βέλτιον δὲ θρῆνυν
καλεῖσθαι ὑπὸ Ὁμ.. τὰς καθέδρας τῶν
ἐρετῶν· ἀναχωρέων γὰρ ἀπὸ τῆς νεὼς
καὶ τῶν στρωμάτων ἐπὶ πάντας ἀφικ-
-νεῖται. τινὲς δὲ τόπον τῆς νεὸς βάσιν
ἔχοντα τὸν κυβερνήτην τοὺς πόδας τιθέ-
-ναι· ὃ καὶ εἰδώλιον φασίν. ἄλλοι δὲ τὴν
ὑποδεχομένην τράπεζαν εἶπον

Θρασκίας· ὅτι ἀπὸ τῆς Θρᾴκης πνεῖ·

Θριάσιον διὰ τοῦ ι. ἔστι δὲ πεδίον· ἢ
γὰρ παρὰ τὸ θρῖα γέγονεν. ἐκεῖ γὰρ εὑρεῖ-
-τεν ἡ Ἀθηνᾶ τὰς μαντικὰς ψήφους. αἵτινες
θρῖαι λέγονται· ἢ ἀπὸ τοῦ Θριασίου τινὸς
λεγομένου· ἐκλήθη Θριάσιον.

Θρασκίας· ὅτι ἀπὸ τῆς Θρᾴκης.

Θρασύς· τολμηρός· ἰσχυρός· παρὰ τὸ θέρω· θέρ-
-σω· θρασύς· ὡς θερμός.

Θρῆνος· ὁ ὀδυρμός· Θρίανος φασὶ κατὰ διαί-
-ρεσιν ὁ ἐπὶ θάνατον αἶνος· ἢ παρὰ τὸ θράσσειν
τὸν νοῦν. ἢ παρὰ τὸ θέρειν τὸν νοῦν ἤγουν
θερμαίνειν τὸν νοῦν· καὶ εἰς τὸ ἐπικήδ(ειον):

Θρῶ· εἰς τὸ ἀθροίζω· καὶ ἐπιθρύλλω.

Θρησκεία· θεάρεστα τοῖς θεοῖς.

Θριγκίον. ὁ περίβολος τῆς οἰκίας. καὶ τὸ ἐπίκομμα τοῦ τοίχου περιτείχου κύκλῳ παρὰ τὸ θρίξαι θρίδαξ, διὰ τὸ τρίχεσθαι καὶ ἵστασθαι.

Θρηνυκεία. τὸ θρῆ η. τὸ καὶ δίφθογγον. τὸ ᾱ μακρόν. ἀπὸ τοῦ θρηνυκέω.

Θρηνυκέω. θρηνυκῶσιν. παρὰ τὸ τοὺς θεράπας τῶν ἐπιμελεία σέβειν τὸ θεῖον . . . . . καὶ θρήνους. ἢ τῶν ἀργῶν θρανίς. ὅ ἐστιν ὑποπόδιον. καὶ ἐν τῷ μέσῳ τοῦ πλοίου θρανίς. κατὰ τοῖχον. εἰς τοῖχον.

Θρῖαι. σημαίνει τὰς μαντικὰς ψήφους. γίνεται δὲ παρὰ τὸ τρία.

Θρίαμβος. ἔνδοξοι πόλεμοι. ὅταν ἥλωσιν αἱ πόλεις. πα . . . . περιαιροῦντες σὺν αὐτοῖς τοῖς θυρεοῖς ἐπ . . ζου προφερόμενοι ἰαμβεῖα ἐν τετραμέτρῳ. καὶ ἔτι νῦν φασίν. ἐν δήμῳ τοῦτο γίνεσθαι. λέγεται δὲ θρίαμβος καὶ ὁ Διόνυσος, ἐπειδὴ ἐποίησε στέφανον ἀπὸ δοκοῦ καὶ οὕτως ἐθριαμβεύθη. οἷον ἐπὶ μέσης διέβη ἐπὶ τῶν θηρῶν. τουτέστιν ἐπὶ τῶν λεόντων βέβηκεν. οἷον θρίαμβος. τοῦ γὰρ ἅρματι αὐτοῦ λέοντας ὑποζευγνύειν. φασίν. ἐτυμολογεῖται δὲ παρὰ τὸ

ἐν αἰθρία βάζεσθαι· γίνεται ἐκ τοῦ
τρία· κατὰ μετάθεσιν τοῦ τ. εἰς θ θρία.
καὶ σημαίνει τὰ φύλλα τῆς συκῆς· καὶ
ἐκ τούτου γίνεται θρίαμβος. ἐπειδὴ γὰρ
λέγει ὁ Διόνυσος στεφάνην ἀπὸ τῆς συ=
=κῆς· καὶ οὕτως ἐθριαμβεύθην ἤγουν
ἐπὶ νίκης διέβαινε· καὶ ἐκ τούτο γίνε=
=ται θρίαμβος καὶ θριαμβεύω. ἢ ὅτι
συκῆς ἐστὶν ἑορτῆς.

Θρίαμβος. ὀνομάσθη· διὰ τὴν τῶν πο=
=ιητῶν λεγομένην θρίασιν, ἤγουν μὴ θορεῖν.
ποιητικὸς γάρ. λέγεται δὲ καὶ θυσήριος.
ἀπὸ τοῦ θύειν ὅ ἐστιν ὁρμᾶν ἀφ' οὗ
καὶ τὸ αἰωρούμενον θύσανον.

Θρίαμβος. ἔστι ρίαμβος. καὶ πλεονασ=
=μῷ τοῦ τ τρίαμβος. καὶ τροπῇ τοῦ
τ εἰς θ θρίαμβος.

Θριγκοί. ἐπὶ τοξικῆς τῶν οἰκείων
τὰ ἀνώμαλα· μεταφορικῶς ἀπὸ ἡμῶν.
ὅτι τὰ ἀνώτατω τῶν σωμάτων θριξὶ
περιπέφρακται

Θρισκῶ. τῷ τροχώματι. παρὰ τὸ θρέξ=
=σαι ὁ περιτρέχων κύκλος. οἷον καὶ στέφα=
=νος.

Θρίδαξ. τὸ μαρούλιον. ὅτι ἀπὸ τριῶν
φύλλων συγκεῖται. τρίφυλλος γὰρ κατ'
ἀρχάς. ὡς καὶ θρίναξ. καὶ τὰ φύλλα
τῆς συκῆς. θρῖα λέγουσιν οἱ Ἀττικοί. τὰ
εἰς τρία διῃρημένα. τινὲς δέ. ὅτι τρί-
ζει δακνομένη. ἢ ὅτι τῷ θέρει γίνεται
οἱονεὶ θερειδακίνη τις οὖσα. κατὰ συγ-
κοπήν. ἢ διὰ τὸ τείνεσθαι ἐν τῇ δρακὶ
τῆς χειρός. ἤγουν φυλλίζεσθαι.
Θρήσκω. τὸ θρησκεύω. καὶ θρίσκω.
θρίζω. ὁ κόπτων τὰς τρίχας. ἀφ' οὗ
ἀπεθρίξατο θρίαξ. πλὴν τοῦ μείραξ.
σημαίνει δὲ ἴλιγγαι καὶ θρίξ. τὸ θρίξ
γέγονεν ἀπὸ τοῦ θρίζω. δωρικῶς θρίξ.
καὶ ἐν συγκοπῇ τρίξ. καὶ ἀποβολῇ τοῦ
τ θρίξ. τὰ γὰρ παρόντως συγκείμενα
διὰ τοῦ τ γράφεται. οἷον θρίναξ. θρίδαξ.
θρίξ. οὕτω Καλλίμαχος.
Θρινακία. σημαίνει τὴν Σικελίαν.
παρὰ τὸ ἐκ τριῶν συγκεῖσθαι ἄκρων.
λέγεται θρινακία τις οὖσα. καὶ γὰρ
τρία ἀκρωτήρια ἔχει ἡ Σικελία.
Λιλύβαιον. πάχυνον. πέλωρον
Θρινακία ἡ Σικελία τρινακία τις
οὖσα. ὁμοίως. ὅτι τρεῖς ἄκρας εἶχεν

ἢ ὅτι Τρίνακος πρῶτος βασιλεὺς Σικελίας.

Θρίνακες· τὰ τριαινώδη ξύλα τῶν γεωργῶν· οἷς λικμῶσι τὸν σῖτον.

Θρίναξ· ἔστι τριονοειδὲς· ἐργαλεῖον. ἐργατικόν· διὰ τοῦ ι γὰρ γράφεται.

Θρίναξ· σημαίνει τὸ τριονοειδὲς ἐργαλεῖον ἐργατικόν παρὰ τὸ τρία γὰρ τρίναξ· γέγονε δὲ κατὰ μετάθεσιν τοῦ δασέος εἰς ψιλόν.

Θρίξ· ἀπὸ τοῦ θρίζεσθαι· οἱονεὶ θρίξ· ἢ παρὰ τὸ θόρειν· διὰ τὸ αὔξειν. καὶ εἰς τὸ θρίσσω.

Θρίξ· ἡ τρίχα· οἱονεὶ θέριξ· ὅτι θερίζεται ἢ ἀπὸ τοῦ θρεῖν· ὅ ἐστι κηλοῦν καὶ εἰς τὸ τρίχα καὶ θρίξ· καὶ μαλλίον. θρὶξ ἐπὶ ἀνθρώπων· μαλλίον ἐπὶ κτηνῶν.

Θρίπες· εἰς τὸ ἶψ.

Θροῦς· εἰς τὸ θρυλλοῦντες.

Θρόνος· ἡ καθέδρα· παρὰ τὸ θρομβός ὃ σημαίνει τὸν ψηλὸν τόπον· ὑφ' ὑψηλοῦ ποτ' ἡμᾶς. ἢ παρὰ τὸ θορῶ τὸ πηδῶ. θόρος· ἡ ἐπηρμένη καθέδρα. ἢ παρὰ τὸ θῶ· γίνεται θόος· καὶ θόνος. καὶ πλεονασμῷ τοῦ ρ θρόνος.

Θρόος· εἰς τὸ ἀθροίζω καὶ ἐπιθρυλ-
-λοῦντες καὶ τὸ θορύζω·
Θρομός· εἰς τὸ θρόνος·
Θροῦ· εἰς τὸ ἐθρόησε·
Θρυλίζει· παρὰ τὸ θρυαλλίς· λέγεται
δὲ ὁ σπινθὴρ ὁ τῆς περονίξεως· καὶ
γίνεται παρὰ τὸ θέρω τὸ θερμαίνω·
καὶ τὸ ἄλλω· τὸ πηδῶ·
Θρυλλοῦντες ἀπὸ τοῦ ... ἀπὸ τοῦ
θρόος· καὶ τοῦ ἕλω· ὃ σημαίνει τὸ
ἐλαύνω· οἱονεὶ θρόον ἐλοῦντες τουτέστι
θόρυβον ἐγείροντες·
Θρυλλῶ· εἰς τὸ ἐπιθρυλλοῦντες·
Θρύμπος· θέδου εἶδος πόας·
Θριαί· αἱ μαντικαὶ ψῆφοι· τρεῖς τινες
οὖσαι· τρεῖς γὰρ εἶναι τὸν ἀριθμόν·
νύμφαι δὲ ἦσαν ταύτας ἐπὶ τιμῇ τοῦ
θῦ καὶ τὸ μαντεύεσθαι ἐπὶ τιμῇ·
Θρύπτω· τὸ κλάνω· θρύψαι γὰρ τὸ
κλάσαι· καὶ εἰς τὸ θρύψαι καὶ τεθρυμ-
-μένον· καὶ τρυφή·
Θρώσκω· τὸ πηδῶ· παρὰ τὸ θορῶ
θορίσκω· καὶ θρώσκω· ἐξ οὗ καὶ τὸ
θρωσκμόν· τινὲς δὲ κατὰ κῦμα ἔλεγον
αὐτό

Θυΐα ὁ λάκκος· ἀφ' ἧς τὰ μιάσματα· καταχευστικῶς δὲ αἱ λοιπαὶ θυΐαι·

Θυγάτηρ· ἐκ τοῦ θύω καὶ τοῦ γαστρὸς θυγάτηρ·

Θυγάτηρ· παρὰ τὸ θύειν κατὰ γαστέρα· τάχιον δὲ κινοῦνται τῶν ἀρρένων.

Θυγάτηρ· ἀπὸ τοῦ θύειν· ἐκτρέχει γὰρ τὸ θῆλυ τὴν ἡλικίαν ῥαδίως· ὅθεν παραθέει παρθένος τῆς τῶν ἀρρένων ἡλικίας· γυνὴ δὲ γινομένη ταχὺ μαραίνεται· πάλιν οὖν ταχέως αὔξει· ταχέως ἀναλύει τὴν ἀκμήν·

Θύγατρα· ἐκ τοῦ θυγατέρα· κατὰ συγκοπὴν ἀναδοθέντος τοῦ τόνου· αἱ γὰρ συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους.

ἀρμόσαντες ἁρσαντες· ὁμόπατρος· ὁ πατρὸς· γέγονε τὸ θυγάτηρ παρὰ τὸ θύω τὸ ὁρμῶ· καὶ τὸ γαστὴρ· λέγεται γὰρ τὰ θήλεα τάχιον κινεῖσθαι ἐν τῇ μήτρᾳ·

Θύεσθαι τὸ σφάττεσθαι διαφέρει· ὅτι τὸ μὲν θύεσθαι διὰ σπλάγχνων θύεσθαι φασί. τὸ δὲ σφάττεσθαι τὸ φονεύεσθαι καθ' ὄντινα τρόπον· καὶ τὸ μὲν ἐπ' ἀλόγων· τὸ δὲ ἐπ' ἀνθρώπους τάττεται.

Θύεσθαι· τοῦ σφάττεσθαι διαφέρει·

θύεσθαι μὲν γάρ ἐστιν ἐπὶ θεοῦ τιμῇ· καὶ
τὸ μαντεύεσθαι ἐπὶ τιμῇ διὰ σπλάγχνων.
θύεσθαι φαμέν· τὸ δὲ σφάττεσθαι τὸ δι' ἥν
τινα αἰτίαν φονεύεσθαι· καὶ τὸ μὲν ἐπὶ
ἀνθρώπων τὸ δὲ ἐπὶ ἀλόγων τάσσεται.
τὸ δὲ θῦσαι τοῦ σφάξαι διαφέρει. σφάξαι
ἐπί τι ζῶον. θῦσαι δὲ τὸ θυμιᾶσαι.
Θυηλαί. θυσίαι. ἀπαρχαί. Φιλόχορος
γῆς παῖδας εἶναι θυηλάς. ἃς πρώτας
θῦσαι τοῖς θεοῖς.
Θυοσκόοι. οἱ ἀπὸ τῶν θυομένων διὰ
τοῦ πυρὸς μαντευόμενοι, ἱερεῖς δὲ τοὺς
ἀπὸ σπλάγχνων μαντευομένους. κυρίως
μέντοι θυηλὰς τοὺς θυλάκους λέγουσιν.
εἰς οὓς τὰ θυμιάματα ἐμβάλλεται, τὸ
τῶν θεῶν ἕνεκα ἄλιτμον ἠνωμένον. κα-
ταχρηστικῶς δὲ λέγεται πᾶσα θυσία.
Θύραξ. κόρυδος.
Θυηπόλος. εἰς τὸ ὀνειροπόλος
Θυΐδες. θυσίαι. καὶ θυῒς. καὶ ἀΐδεις.
παρὰ τὸ θύω. τὸ ὁρμῶ.
Θύελλα. λαῖλαψ. ἄνεμος. εἰλούμενος.
παρὰ τὸ θύω. τὸ ὁρμῶ.
Θύελλα. παρὰ τὸ θύω τὸ ὁρμῶ. ἀφ'
οὗ παράγωγον θυώω. ὡς πλήθω. πλη-
θώω. ἀντὶ τοῦ α προσελθόντος τοῦ ε

μορίου· ὡς παρὰ τὸ ἄω τὸ πνέω. ἄελλα.

Θύλακος κυρίως· εἰς ὃν ἐμβάλλομεν τὰ θυ-
-μιάματα.

Θύμα· καὶ θυσία. ἐκ τοῦ τιθέναι

Θυμέλη· ἡ τράπεζα.

Θυμέλαι· τράπεζαι· ὀρχήστρις· Αἴσχυλος
τοὺς βωμοὺς ἀπὸ τοῦ θύεσθαι. ἢ ἀπὸ τοῦ
τίθεσθαι

Θυμίαμα. ἀπὸ τῆς συστάσεως τοῦ καπνοῦ.
ἀφ' οὗ θύμα. τὸ δὲ αὐτὸ καὶ ὁμοχῆτον ἐλέ-
-γετο. ὡς ὁ ποιητής. κατὰ τὲ κνίσαι
περὶ νῆσα. ἑλίξαι γὰρ τὸ καπνιζόμενον
ξύλον. τινὲς θυμίαμα θυμοῦ ἴαμα.

Θυμιατήριον. διὰ τὸ τὰ θυμιάματα τηρεῖν.

Θυμιῶ. ἐκ τοῦ θύειν. ὅπερ ἐστὶν εἶδος
πάσης μυστικῆς. θυμίαμα εἴρηται παρὰ
τὸ θυμὸν ἰᾶσθαι. οἷον θυμοῦ ἴαμα. θυμί-
-αμα δὲ ἐκ τοῦ θυμιῶ. τοῦτο ἐκ τοῦ θύμα.
διὰ γὰρ τῶν καιομένων ὀσφραινόμεθα.
καὶ γὰρ οἱ παλαιοὶ ἔκαιον ἐπὶ ψυχῇ
θυμιάματα.

Θύννος· παρὰ τὸ θύω. τὸ ὁρμῶ θύνος.

Θυμὸς παρὰ τὸ θύειν τὸ αἷμα. οἷον
θύσιμος. ποίου εἴδους τῶν ὑποπεπτωκό-
-των τῷ ὀνόματι. εἰ μὲν λυμαίνει τὴν

ψυχὴν γεννικῶς· εἰ δὲ θυμαίνει τὴν ὀργὴν
εἰδικῶς· τί διαφέρει μῆνις· ὀργή· χό-
λος· κότος· καὶ θυμός· μῆνις μὲν ἐστὶν
ἡ ἐπίμονος ὀργή· ἀπὸ τοῦ μένειν· ὀργὴ
δὲ ἡ ἐπ' ὀλίγον χρόνου παρὰ τὸ ὀργᾶν,
χόλος δὲ οἱονεὶ κίνησις χολῆς ἀπὸ τοῦ
χεῖσθαι· κότος δὲ ἡ πολυχρόνιος μνη-
σικακία· θυμὸς δὲ ζέσις τοῦ περὶ καρδίαν
αἵματος· ἀπὸ τοῦ θύειν· τουτέστι μα-
νικῶς ὁρμᾶν· καὶ εἰς τὸ ἀποθυμία.
Θυμός· ἀπὸ τοῦ θεῖν καὶ ὁρμᾶν τὸ
αἷμα ἀπ' αὐτοῦ· θυαιμός τις ὤν.
Θυμιδία· παρὰ τὸ θυμὸς ὁ θυμαίνει
τὴν ψυχήν· καὶ τὸ ἥδω τὸ θυμαίνον τὸ
εὐφραίνομαι γίνεται θυμιδία· καὶ θυμαί-
νει τὴν κακοψυχίαν καὶ τέρψιν· καὶ
χαράν.
Θυμὸς παρὰ τὸ θύω τὸ ὁρμῶ· ἡ τοῦ
αἵματος κίνησις καὶ ζέσις· ἢ παρὰ τὸ
θυαιμός τις ὤν· παρὰ τοῦ θύειν καὶ
τὸ αἷμα· τὸ δὲ αἷμα παρὰ τὸ αἴθω
τὸ καίω.
Θύνον· ὅρμημα· προστακτικὸν παρατα-
τικοῦ πρώτου προσώπου ἐστὶ γὰρ
ἔθυνον· ὁ ἑνικὸς ἐνεστὼς θύνω· τὸ —

ὁρμῶ· καὶ ὄνομα ῥηματικὸν θύνος. καὶ πλεονασμῷ ἑτέρου ν· θύννος. ὅπερ ἐν τῇ κοινῇ συνηθείᾳ καλεῖται θύννα. κλίνεται δὲ ὡς ἡ παρθένος. οὕτως καὶ ἡ θύρσος καὶ εὔθυμοι οἱ μυροφόροι.

Θῦντο. ὁ ὁρμῶ. ἐξ οὗ καὶ θεῖνε διὰ προ-χάχη. καὶ εἰς τὸ πίνω.

Θυόεις· εἰς τὸ αἱματόεσσα. ἀτμίς. ἀέρα. θέσει.

Θύον· εἰς τὸ αἱματόεσσα· καὶ θυμιῶ.

Θυοσκόος ὁ μάντις· παρὰ τὸ ἀπὸ τῶν θυομένων κοεῖν. ὅ ἐστι νοεῖν τὸ μέλλον. καὶ εἰς τὸ θυηλαί.

Θύρα παρὰ τὸ θύω· τὸ ὁρμῶ· δι' ἧς ὁρ-μῶμεν ἅπαντες.

Θύρα. δι' ὧν τὸ θεωρεῖν εἰσέρχεται. ἐκ γὰρ τοῦ φωτὸς τὸ θεωρεῖσθαι. αἱ δὲ πε-ταθεῖσαι· τεῦξαν φάος. ἔνιοι δὲ τὰς θύρας σαλάμας καλοῦσιν. ἀπὸ τοῦ σέλας βάλλειν ἀνοιγομένας· καὶ δι' ὧν τὸ σέλας βαίνει. ἄλλο ἐστὶ τὸ θεωρεῖν καὶ ἄλλο τὸ βλέ-πειν. θεωρεῖν γάρ ἐστι τὰς θυσίας φυ-λάττειν. ἐκ τοῦ θεωρεῖν αὐτάς. ὅθεν καὶ θεωροὶ οἱ διὰ τοῦτο ἀποστελλόμενοι. βλέπειν δὲ τὸ λέγειν. λέγεται δὲ καὶ ἡ τράπεζα ὑπό τινων. ἀπὸ τοῦ τὰ

ἱερὰ ἐν αὐτῇ τιθέναι.

Θυοσκόος· ἱεροθύτης· ὁ διὰ τῶν θυμιά-
-των σκοπῶν τὰ μέλλοντα. ᾧ τὸ κοεῖν
ἔγκειται. ὅ ἐστι νοῆσαι. θύος δὲ ἤτοι
τὸ ἱερὸν ἢ τὸ θυμίαμα.

Θυσιαστήριον· ὅτι τὰς θυσίας τηρεῖ.

Θυρισβόλιον· ἡ ἔπαυλις. θυρυβόλιον τὸ
ὄν.

Θώμιγξ· σπάρτος καννάβινος.

Θύρα· καὶ θυραία διαφέρει. θύρα μὲν
γάρ ἐστιν ἡ ἐξ ἀρχῆς γινομένη. θυραία δὲ
τὸ βάλλον πρὸς ἐκκοπῆς θύρας μέγεθος.

Θυραῖος· ὁ φύλαξ τῆς θύρας· ἀπὸ τοῦ
κλέπτειν καὶ καλύπτειν τοὺς ἐπιφερο-
-μένους· καὶ εἰς τὸ πολίειθρον.

Θύρα· διὰ τὸ θεωρεῖν ἔσου.

Θυραῖ· τῶν αὐλῶν.

Θυρεός· σημαίνει τὸ ὅπλον· καὶ γί-
-νεται παρὰ τὸ θύρα. θυρὸς καὶ πλεο-
-νασμῷ τοῦ ε· θυρεός.

Θύραζε· εἰς τὸ χάμαζε.

Θύρα· παρὰ τὸ θεόν· καὶ τὸ ἄκρον θέα-
-ρα· καὶ τὸ θύρα.

Θυρεός· παρὰ τὸ θύρα· θυρός· καὶ πλε-
-ονασμῷ τοῦ ε θυρεός· καὶ ὁ θύρας

τάξιν ἐπέχων. ἄλλοι δὲ φασιν ὅπλον
ῥωμαῖοι δὲ σκουτάριον.
Θυραῖος. ὁ ξένος.
Θύαλλα. αἱ λαμπάδες. παρὰ τὸ θύω
θύσω. θύαλλα.
Θυσία. εἰς τὸ θῦμα. διὰ τὸ θυσιάζειν
τὸ ἐν αὐτῷ προσφερόμενον.
Θυσάνοις. κρωσσίοις. παρὰ τὸ θυσσό-
εσθαι ὅ ἐστι κινεῖσθαι.
Θυΐσκη. σκάφη. ἡ τὰ θύματα δεχο-
μένη.
Θύω. τὸ ὁρμῶ. ἐξ οὗ καὶ θύρα. δι'
ἧς ὁρμῶμεν. ἀφ' οὗ καὶ θυγάτηρ.
παρὰ τὸ τάχιον κινεῖσθαι ἐν τῇ γαστρί.
Θῶ. εἰς τὸ Ἀθηναίη. καὶ ἀθῷος. καὶ
ἀναθηλεῖ. καὶ θαλερός. καὶ θάλλω. καὶ
θάπτω. καὶ θηλαμὼν καὶ θοινή. καὶ
θωρῆξαι. καὶ μαθ...
Θῶες. οἱ λυκοπάνθηροι. ταχεῖς γὰρ
εἰσί. καίπερ βραχυσκελεῖς ὄντες.
Θωή. ἡ ζημία. ἣν κατατίθενται οἱ
ζημιούμενοι. καὶ εἰς τὸ ἀθῷος.
Θῶκος. ἡ καθέδρα. παρὰ τὸ θέοχος.
ὁ τὸ θέειν κατέχων.

Θῶκος· παρὰ τὸ ἐπέχειν ἡμᾶς τοῦ θεῖν. ἔστι θῶ θώσω· καὶ θῶκος.

Θωμᾶς· ἀπὸ τοῦ θαῦμα· θαυμᾶς· καὶ θωμᾶς.

Θώνυ· εἰς τὸ θωρῆξαι.

Θωπάζω· εἰς τὸ θάζω.

Θωπεία ἡ κολακεία· καὶ θῶπες· οἱ μετὰ ψεύδους τινὶ προσιόντες· ἐπὶ κολακεία. γέγονε δὲ ἀπὸ τοῦ θωπεύω· παρὰ τὸ θώψ· ὅπερ ἐστὶ θηρίον ἀπατηλόν. τοῦτο παρὰ τὸ θῶ· ὃ σημαίνει τὸ ἐποχοῦμαι· συντάσσεται μετὰ πτώσεως αἰτιατικῆς τὸ θωπεία.

Θώψ· ἀπατός ὁ κόραξ.

Θώραξ· ἀπὸ τοῦ θέειν αὐτὸν ὀξέως· ἤγουν κινεῖσθαι.

Θώραξ· σημαίνει τέσσαρα. τὸ λωρίκιον καὶ παχὺ ἱμάτιον τοῦ πολέμου. τὸν πλευρόν· τὸ στῆθος τοῦ ἀνθρώπου. καὶ ὅλον τὸ σῶμα καὶ τὸν λαιμόν.

Θώραξ· τὸ στῆθος· παρὰ τὸ φύλαξ τῆς θρέψεως καὶ πηδήσεως καρδίας εἶναι.

Θώραξ δὲ τὸ θεῖον ὁρῶν· ὅ ἐστι φυλάσσων τὸ διανοητικόν ὅ ἐστιν ἐν ἥπατι

τὸ θεῖον.

Θωρῆξαι· καθοπλίσαι· ἐκ τοῦ θώραξ. τὰ εἰς αξ ἀρσενικὰ φύσει μακρὰ παραληγόμενα ἐκτείνουσι τὸ α· οἷον φαίαξ. οἴαξ. τὸ θώραξ. παρὰ τὸ θῶ. ὁ μέλλων θήσω. θῶρος. καὶ ὥσπερ παρὰ τὸ λίθος λίθαξ. οὕτω καὶ θῶρος. θώραξ τὸ πολεμικὸν ἱμάτιον. ἔστι δὲ καὶ ἕτερον θῶ. ὃ σημαίνει τὸ εὐωχεῖσθαι. ἐξ οὗ καὶ θοίνη. καὶ θοίνη ἡ εὐωχία. ἐκ τοῦ θώραξ. θωρήσσω θωρήξ. καὶ διαφέρει. λέγεται γὰρ καὶ ἐπὶ τῆς καθοπλίσεως. καὶ ἐπὶ τῆς τοῦ οἴνου ἀκροποσίας. θώραξ ἐτυμολογεῖται ἐκ τοῦ ὦρος ὃ σημαίνει τὸν φύλακα. ὦραξ. καὶ θώραξ. ὁ φύλαξ τῆς ὀσφύος ὅ ἐστι καρδίας. γίνεται παρὰ τὸ θῶ τὸ εὐωχία εἰμί. ὁ μέλλων θήσω. θῶρος καὶ θώραξ. ἐπὶ τοῦ χιτῶνος. ἀπὸ μεταφορᾶς τοῦτο. ἀπὸ τοῦ περιεχομένου τὸ περιεχόμενον. τί ἐστιν ὁ τρόπος. μετωνυμία. τὸ θωρήσσω ἐκ τοῦ θῶρος. ὁ εἰς πόλεμον ὁρμητικός. ἤγουν ἀπὸ τοῦ θέειν ῥᾷον.

Θωρῶ· τὸ βλέπω.

Θῶς. εἰς τὸ θωρῆξαι.

Θώψ. εἰς τὸ θάζω.

Θωμὸς καὶ θωρηκός. ὁ θωρεός.

Θῶμαι. ἐπίθωμαι. ἀναβίβαζε τὸν
τόνον. πᾶν ῥῆμα εἰς μαι λῆγον δισύλ-
λαβον ἀναβιβάζει τὸν τόνον ἐν
συνθέσει. δῶμαι. χῶμαι. ἀπόχωμαι
ἤτω καὶ τὸ ἀπόχωνται πολέμου.

# Ἀρχὴ τοῦ Ι στοιχείου

## τὸ Ι μετὰ τοῦ Α

Ἴα· εἰς τὸ ἰχῶ.

Ἴα εἰς τὸ ἀμφιαχυῖα· καὶ ἄνεως.

Ἰαίνειν· εἰς τὸ ἴχνον καὶ κερδαλεό-
φρων· καὶ λιλασφθοντος· καὶ ὑγιής.

Ἰακείμ· τοῦτο κατὰ τὴν γραφήν· ὅμοι-
ον τῷ ἰωακείμ.

Ἰακῶς· ἐστι ῥῆμα ἰάω· ἰῶ· τὸ ὑγιαίνω.
ὁ μέλλων ἰάσω· ὁ παρακείμενος ἴακα·
ἡ μετοχὴ ἰακώς· τουτέστι θερυνήσας.

Ἰάλλω· προπέμπω παρὰ τὸ ἵεναι·
πειῶ.

Ἰάλεμος· ὁ ἄνανδρος· καὶ ὁ θρῆνος· ἐπὶ τοῖς
ὀλολῶσιν ἰὰν φέρ· ὅ ἐστι φωνήν.

Ἴβυκος· ἐστὶν ὄνομα κύριον καὶ γράφεται
διὰ τοῦ ι· ὑπάγεται δὲ τῷ κανόνι τοῦ
Πτολεμαίου: ἰστέον δὲ ὅτι παρὰ τὸ ἴβυξ
ἴβυκος. ὅπερ ἐστὶν εἶδος ὀρνέου κρατίκ-
τη· ὅθεν γέγονε τὸ ἴβυκος. ἔνθεν δὲ ἐγέ-
το τὸ ἰβυκονίσαι· ὅπερ κατὰ φθορὰν
λέγεται βουνῖσαι.

Ἶβις· εἶδος ὀρνέου διὰ τοῦ ι γράφεται·
τῷ λόγῳ τοῦ Πτολεμαίου τῷ εἰρηκέναι
ἐν τῷ βιθυνία.

ἴακχος· ὁ διόνυσος· ἀπὸ τῆς ἐν τοῖς τό-
-ποις ἰαχῆς.

ἰάς· ἡ ἀσία. ἀπὸ τοῦ ἴωνος τοῦ Ἀπόλλωνος. ἢ τοῦ ξούθου.

ἰάλεμος· σημαίνει τὸν θρῆνον. ὅτε μὲν ἐπὶ τοῦ ἡλίου λέγεται· δασύνεται. ἀπὸ τῆς ἀφέσεως τῶν βελῶν. ὡς ἐὰ σὺ ἵε φοῖβε. ἐπὶ δὲ τοῦ θρήνου ψιλοῦται. γέγονε δὲ ἀμφότερα οὕτως. ἔστι δὲ ἵημι ἐκ τούτου γίνεται ἵημος. καὶ τροπῇ τοῦ η εἰς ε. ἵεμος. καὶ πλεονασμῷ ἀλλ συλλαβῆς. ἰάλεμος. καὶ ἰηλεμῆσαι, ἐπὶ τὸ θρηνῆσαι. οὕτως Ἡρωδιανός. ἐν ἄλλοις δὲ εὗρον ἐγὼ τὸ ἰάλεμος ἐπὶ τοῦ θρήνου ἐτυμολογού-μενον. παρὰ τὸ ἐπὶ τοῖς ὀλλόσιν. ἴονον φέρειν. ἴανον ἐνιήν.

ἰαλίζειν παρὰ τὴν εἴλησιν τῶν ὀφθῶν ἤγουν τῶν κορῶν.

ἴαμβοι· τινὲς δὲ ὅτι ἡ ἰάμβη ἠχοῦς καὶ πανὸς θυγάτηρ τὴν δήμητραν λελυπου-μένην παιζοῦσαν καὶ ἀχρειολογοῦσαν· καὶ σχήματα αἰσχρὰ ποιοῦσαν ἐποίησε γελάσαι.

ἰανουάριος μήν· ἐξ ἰάνου τινὸς δαίμονος. οὕτως ὀνομασθῆναι ἰανουάριος. ὁ αὐτός

γὰρ ἀρχὴν τοῦ ἐνιαυτοῦ. αἰὼν γὰρ ὁ ἐνιαυτός. ζήτει ἱστορίαν περὶ ἰανοῦ. ἄπτω τὸ βλάπτω ἐκ τοῦ ἰός. ὃ σημαίνει τὸ βέλος Ἡσίοδος.

ἰαπετός. ἡ τῶν στοιχείων κίνησις.

ἰαπετός ὄνομα κύριον θεοῦ ἢ γίγαντος. παρὰ τὸ ἵεσθαι καὶ πέτεσθαι. γίνεται δὲ παρὰ τὸ ἴπτω. τὸ βλάπτω. ἰπετός. καὶ πλεονασμῷ τοῦ α ἰαπετός. ἔστι δὲ καὶ ποταμοῦ.

ἰάπτω. εἰς τὸ προΐαψεν ζήτει εἰς τὸ ἰπτο.

ἴασις. διὰ τὸ ἰᾶσθαι τὸ νόσημα.

ἴασος. ὄνομα ποταμοῦ παρὰ τὸν ἰάσω μέλλοντα ἐξ οὗ τὸ ἰάσομαι.

ἰατρική. ἰατική τις οὖσα. πλεονασμῷ τοῦ ρ. ὡς κέντω τὸ ν καὶ κέντρον.

ἰατρός. ὅτι ἴασιν τηρεῖ.

ἰάσω. εἰς τὸ ἐνιαυτός.

ἰχνόν. θάλπον. ἢ σαπρόν. καὶ εἰ μὲν σημαίνει θάλπον. γίνεται παρὰ τὸ ἰαίνω τὸ εὐφραίνω. εἰ δὲ τὸ σαπρόν παρὰ τὸ ἵημι τὸ πέμπω. ἤγουν τὸ ἀπόπεμπτον.

ἰάχω· ἐκ τοῦ ἰαχή· τοῦτο ἀπὸ τοῦ
ἰά· ὃ σημαίνει τὴν φωνήν. ἐτυμολογεῖ-
ται δὲ ἀπὸ τοῦ ἐπὶ πᾶσι τὴν ἠχὼ εἶναι.
ἐκ τοῦ ἀχὴ γίνεται. μετὰ τοῦ ἐπιταλικοῦ
α αἶχος. καὶ πλεονασμῷ τοῦ υ αὐΐχος.
καὶ ὁ ποιητής.

ἄβρομοι αὐίαχοι.

ὅμηρος.

ἴαψεν. ἐπέμψεν ἀόριστος πρῶτος. τὸ θέ-
μα ἰάπτω· καὶ τὰ λοιπὰ δῆλα. τὸ δὲ
ῥῆμα ποιητικόν. ὁ ἐνεστὼς γὰρ μόνος
εὑρίσκεται. ὁ γὰρ ἀόριστος ἀπὸ τοῦ ἴπτω
γέγονε τοῦ σημαίνοντος τὸ βλάπτω. καὶ
κατὰ πλεονασμὸν τοῦ α ἰάπτω. ὡς καὶ
ἑτέρως λέγει ὁ ποιητής.

—— μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν.

τὸ δὲ ἰψάω· ἐκ τοῦ ἴπτω. ἴψω. ὁ μέλλων
ἀόριστος παθητικός. ἰψαίμην. ἴψαο. ἰωνι-
κῶς μόνως λεχθέν. τὸ δὲ ἴπτω παρὰ τὸ
ἰός· ὃ σημαίνει τὸ βέλος. τὸ δὲ βέλος πα-
ρὰ τὸ ἵημι. τὸ πέμπω. ἰάπτω, πᾶν
ῥῆμα εἰς πτω λῆγον βαρύνεται εἰ μὴ
προκατάρχοι ὀνόματος ἢ διαστολὴ γέ-
νοιτο σημαινομένου. διὰ τὸ ὀπτῶ.
πρὸς ἀντιδιαστολὴν τοῦ ὄπτω. ἢ προ-
καταρχὴν ὀνόματος διὰ τὸ ἄβλαπτος.

ἀβλεπτῶ καί ἄπετος. ἀπετῶ. ἀλείπτης. φιλαλείπτω.

Ἰγνύες. τά σκέλη. αἱ κόξαι τά ὄπισθεν τῶν γονάτων παρά τό ἰκνεῖσθαι ποιεῖν.

Ἰγνύη. ἀπό τοῦ κατά καμπήν ἰκνεῖσθαι τῶν γονάτων.

Ἰδαῖος. ὄνομα κύριον. ὁ ἀπό τῆς ἴδης. καί ὁ δάκτυλος. τό δαι δίφθογγον. τά ἀπό τῶν εἰς α καί η, θηλυκῶν διά τοῦ αιος γινόμενα. διά τῆς αι διφθόγγου γράφεται. οἷον δίκη. δίκαιος. οὕτως οὖν ἴδη ὃ σημαίνει τό ὄρος ἰδαῖος. οἱονεί ὁ προειδώς καί προγινώσκων τά προκεκηρυγμένα.

Ἰδαλίμου ἱδρωτικοῦ. ἱδρῶν ποιοῦντος. ἢ τοῦ διαυγοῦς καί καθαροῦ. Ἡσίοδος καύματος ἰδαλίμου. ἐν γάρ τῷ χειμῶνι καί ἡ δύναμις τοῦ ἡλίου ἀσθενεστέρα ἐστί. γίνεται παρά τό ἰδίω. τό ἱδρῶ.

ἴδιον ὡς ἐνόκυσα. ἴδιμος. καί πλεονασμῷ τῆς αλ συλλαβῆς. ἰδάλιμος. ὠρείων. οὐδέτερον ἰδάλιμον. τό ταῖς ψύαις ἱδρῶτα ποιοῦν.

Ἰδάλιμον. ἱδρῶν ποιοῦντος. ἢ τοῦ διαυγοῦς καί καθαροῦ. Ἡσίοδος

— καύματος ἰδαλίμου.

ἰγνύη· ἀπὸ τοῦ τὴν κάμψιν ἱκνεῖσθαι τῶν
γονάτων.
ἰγνύων· τὸ ὀπίσω τῶν γονάτων· ὅτι αἴ-
τιον ἐστὶ τοῦ ἱκνεῖσθαι καὶ βαδίζειν.
ἴδη· ὄρος ἐν Τροίᾳ· ἀπὸ γὰρ τοῦ ὕψους
ἐστὶν ἰδεῖν αὐτό.
ἴβηρος· ἥμερος· νεότης· χαύνη· εὔθυμος.
ἀναπαυτική· ἀργή· δειλαινομένη· ἐπὶ
πάντα πόλεμον· ἐξερχομένη δὲ ἐκ τῆς γῆς
αὐτοῦ ἐπὶ συμμαχίαν αἰχμάλωτος ἕτοι-
μος· πολὺ σεισόπαυχος· κατὰ θαύματος
ταῖς γυναιξὶν ἂν - - - διαλευτικός
μαλακόζωστος γυναικοπίπης· ἀσυνετόγνωμος
ἰδάλιμος· ἀειδὴς παρὰ τὸ ἴδω· ἴδιμος.
καὶ δάλιμος.
ἰδέειν· ἀπαρέμφατον ἀόριστος δεύτερος.
καὶ μέλλων οἱ κάνονες· οἱ ἴωνες ἐπὶ
τῶν εἰς ειν ἀπαρεμφάτων πλεονασμῷ
τοῦ ε διὰ τὸ ειν προσφέρουσι· θανεῖν.
θανέειν.
ἴδη· ὄρος ὑψηλότατον Τροίας τὸ ὄρος.
παρὰ τὸ ἰδεῖν ἀπ᾿ αὐτῆς τὰ μήκοθεν.
καὶ εἰς τὸ ἰδαῖος.
ἴδη· ἀειδής· ἡ μάθησις· ὑπερσυντελικοῦ
παθητικοῦ μέσου ἀορίστου δευτέρου.

οἱ ἴωνες ἀποβάλλοντες τὸ τ τοῦ τει-
-του τεταύρωπη· δεύτερον ποιοῦσιν· οἷον
κέκλεται με δίιφιλε ———

ἔντως ἴδηται· ἴδημι·

ἴδηθεν μεδέων· ἐπιρρηματικόν· τὰ εἰς
θεν ἐπιρρήματα· τῆς ἐκ τόπου εἰσίν·
ἐνταῦθα δὲ οὐδὲν πλέον τὸ ὄνομα· ὁ
τῆς ἴδης βασιλεύς· ἔνια γὰρ ὁ ποιητὴς
τάττει ἐκ τόπων ἐπιρρημάτων ἀντὶ γενι-
-κῆς τάσσει πλεονάσας·

ἴδη· πεποίηται τὸ ὄνομα· τὸ ἰδεῖν· ἀπ'
αὐτῆς τὰς μήκοθεν· ὡς ὁ θεός· παρὰ
τὸ ἀθρεῖν· καὶ ὄσσα παρὰ τὸ ὄνομα·
παρὰ τὸ ὄσσεσθαι· τὸ βλέπειν·

ἴδεα· διὰ τοῦ ι γράφεται· ἴδιον κτῆμα·
ἴδιον οἶκον· διὰ τοῦ ι· γὰρ χωρεῖς τοῦ
εἶδος· καὶ εἰδικὸν διὰ τῆς ει διφθόγγου·
εἰδικὸν· ἡνίκα μὲν τὸ εἶδος σημαίνει·
οἷον γένος· εἶδος· σημαίνει· γενικόν· εἰδι-
-κόν· διφθόγγου γράφεται· ἡνίκα δὲ τὸν
ἴδιον οἶκον διὰ τοῦ ι· γράφεται·

ἰδίειν· εἰς τὸ ἔνδιος· καὶ εὐδιός·

ἴδιμος· εἰς τὸ ἰδαλίειν·

ἰδιαίτατα· εἴρηται διάφορα· διὰ τὸ μὴ
ἐπίνοια· μήδ' ἐνέργεια· δύναται συστῆναι
τὰ ἀντικείμενα ἐνὶ ὑποκειμένῳ· τὸ

γὰρ λογικόν· οὐκ ἐπινοεῖται ἄλογον· ἢ τὸ
ἄλογον λογικόν.

ἴδε· σύνδεσμος· ἴδε κλέος ἐσθλόν.

ἴδμεν· ἐκ τοῦ εἴδω τὸ γινώσκω· παρά-
γωγον εἴμι· ἴσημι τὸ γινώσκω· ἴσμεν
ἴσμεν· κατὰ συγκοπὴν καὶ συστολὴν καὶ
τροπὴν τοῦ σ εἰς δ· ἴδμεν.

ἴδμεν ἐστὶν εἴδω τὸ γινώσκω· τούτου ὁ
μέλλων παρακείμενος οἶδα· τὸ πρῶτον
τῶν πληθυντικῶν οἴδαμεν· καὶ ἐν συγκο-
πῇ οἴδμεν· καὶ ἀποβολῇ τοῦ ο· ἴδμεν.
ἀντὶ τοῦ ἐπιστάμεθα.

ἴδμεν, οἴδαμεν. ῥῆμα ἐνεστῶτος τῆς εἰς
μι· συζυγίας πρώτης. ἔστι γὰρ ἴσημι
τὸ γινώσκω. καὶ ἡ μετοχὴ ἴσας. βαρύνε-
ται· ὤφειλε δὲ εἶναι ἰσὰς ὀξυτόνως.
ὥσπερ στὰς· κιχρὰς· καὶ τὰ αὐτὰ συνα-
κολουθῆσαι ταῖς δύο συλλαβαῖς· τὸ
Γ παραλήγου βαρύνεσθαι. λοιπὸν τοῦτο
συνεκολούθησε τοῦτος καὶ συνε βαρύν-
εσθαι. ἐκ τοῦ οὖν ἴσημι· τὸ πληθυντικὸν
ἴσαμεν· καὶ συγκοπῇ ἴσμεν· καὶ τροπῇ
τοῦ σ εἰς δ. ἴδμεν· τὸ τρίτον ἴσασι.
καὶ προσ... γίνεται δὲ ἄλλως. ἐκ
τοῦ εἴδω· εἴδω. ἴς. καὶ μετὰ τοῦ ν

στερητικοῦ νοῦς. ὁ ἀμαθὴς καὶ ἄπειρος.
ἠδὲ μενοινᾷ ἤτοι. ὁ δεύτερος ἀόριστος
εἶδον. τὸ πληθυντικὸν εἴδομεν. καὶ ἴσμεν.
καὶ τροπῇ τοῦ σ εἰς δ. γίνεται ἴδμεν.
Ἰδιῶ. τὸ κοπιῶ.
Ἴγδη. ἰθυῖα. ἔνθα μίσγομεν τὰ ἀρτύματα.
παρὰ τὸ μίσγειν τὰ ἀλίγη. διὰ τοῦτο ἐπέ-
βαλε δὲ τὸ μ ὡς τὸ μιαῖα. ἔστι δὲ εἶδος.
ὀρχήσεως.
Ἴγδισμα. ἐν ᾧ ἐλύγιζον τὴν ὀσφὺν ἐμφε-
ρῶς τῇ δοίδυκι
Ἴδεω. ἰδικὸς. πλεονασμῷ. ὅμηρος.
Ἴδμεν. παρὰ τὸ οἴδαμεν. μέσου παρακειμέ-
νου. ἀφαιρέσει τοῦ ο. καὶ συγκοπῇ ἴδμεν.
ἢ ἀπὸ τοῦ ἴσαμεν. καὶ ἐν συγκοπῇ τοῦ α.
καὶ δωρικῇ τροπῇ τοῦ σ. εἴδω. καὶ ἴδμων
κατὰ συγκοπήν.
Ἴδμεν. ἴδη ῥῆμα. συζυγίας πρώτης τῶν εἰς
μι. ἡ μετοχὴ τὸ ἰδὰς βαρύνεται.
Ἰδομενεύς. διὰ τοῦ ι. παρὰ γὰρ τὸ ἴδη.
καὶ τὸ μένος ἐστίν. οἱονεὶ ὁ ἔχων δύναμιν.
ὥσπερ ἰδιοτρόπαις. ἰδίως.
Ἰδνῶ τὸ ἐπιστρέφομαι. ὅ τὸ ἰνίου δονη-
θείς. καὶ τὸ ἐπικαμφθῆναι ἀφ' οὗ τὸ
ἰδνωθείς. ἀντὶ τοῦ ἐπιστραφείς. παρὰ τὸ
ἵζω. δασύνεται τὸ ἵζω. καὶ γίνεται ἰδνῶ.

τραπέντος τοῦ ζ̄ εἰς δ̄. δωρικῶς. καὶ πλε-
ονασμῷ τοῦ ν̄ ἀλπάζω. ἀλπαδνῶ. τὸ δὲ
ἰδῶ. φιλοῦται.

ἰδομενεύς. διὰ τοῦ ῑ ἐκ τοῦ ἴδω. τὸ θεωρῶ.
καὶ τὸ μένος. οἱονεὶ ὁ ἔχων δύναμιν.

ἰδοὺ ἐπίρρημα δεικτικόν.

ἱδρυμένος. παρὰ τὸ ἱδρύω. ἱδρύσω. ἱδρυ-
μένος. τοῦτο παρὰ τὸ ἕζω. ἕδω. πλεονασ-
μῷ τοῦ ρ̄. ἑδρῶ. καὶ ἱδρύω.

ἰδιώτης. ὁ ἄγνωστος καὶ πτωχός.

ἰδιῶτις. ἡ πτωχή.

ἰδουμαῖα. ἐκ τοῦ ἰδουμαῖος. τὸ μαι δίφ-
καλ θογγον διατί. τὰ διὰ τοῦ αιος ὀνόματα.
ἐθνικὰ ὑπὲρ δύο συλλαβὰς παραληγόμενα
διὰ τῆς αι διφθόγγου γράφεται. οἷον ἰδου-
μαῖος. σαδδουκαῖος. ἰουδαῖος. ἐκλήθη δὲ
οὗτος ἀπόγονος τοῦ ἠσαῦ.

ἰδουμαῖος. ἐκλήθη ἀπόγονος τοῦ ἠσαῦ.
ἴδουμα. γὰρ λέγεται. εἶδος ξανθῆς φακῆς,
ἧς λέγεται ἐπιθυμήσας φαγεῖν. ἀπέδοτο
τὰ πρωτοτόκια αὐτοῦ ὁ ἠσαῦ. καὶ εἰς
τὸ ἰουδαῖοι. καὶ ἐκ τούτου ἐκλήθησαν
ἰδουμαῖοι.

ἴδρις ὁ ἔμπειρος. παρὰ τὸ εἴδω εἴδης.
καὶ ἴδρις.

ἰδρείας δόφους. ἐπιστήμονας ἐμπείρους.

ἀπὸ τοῦ εἴδω· τοῦ σημαίνοντος τὸ
ἐπίσταμαι· ὁ μέλλων εἴσω· καὶ ἐξ
αὐτοῦ εἴδρις καὶ πλεονασμῷ τοῦ ρ̄·
καὶ ἀποβολῇ τοῦ ε̄· ἴδρις· καὶ εἰς
τὸ ἴδρυσαν.

Ἱδρυμένος· παρὰ τὸ ἱδρύω, ἱδρύσω· ἱδρυ=μένος· τοῦτο δὲ παρὰ τὸ ἕζω· ἕδω· πλεονασμῷ τοῦ ρ̄· ἔδρω· καὶ ἴδρω· καὶ ἱδρύω.

Ἴδρως· ἴδρις· σοφός. ἀπὸ τοῦ εἴδω ὃ σημαίνει τὸ ἐπίσταμαι. ὁ μέλλων εἴσω· καὶ ἐξ αὐτοῦ εἴδρις· τὸ δὲ ἱδρύω. ἐκ τοῦ ἱδρύω· ἱδρύσω· τοῦτο παρὰ τὸ ἵζω τὸ καθέζομαι ἵζω· καὶ τροπῇ τοῦ ζ̄ εἰς δ̄. ἰδύω· καὶ πλεονασμῷ τοῦ ρ̄ ἱδρύω· πέφυκε γὰρ πλεονάζειν. τὸ ρ ἐν τοῖς ῥήμασιν.

Ἵδρυσεν· ἐκ τοῦ ἱδρύω· τοῦτο ἐκ τοῦ ἵζω τοῦ σημαίνοντος τὸ καθέζομαι. κατὰ τροπὴν Αἰολικὴν τοῦ ζ̄ εἰς δ̄. ὥσπερ ζυγός· δυγός· γίνεται ἵδω· καὶ κατὰ παραγωγὴν ἰδύω· καὶ πλεονασμῷ τοῦ ρ̄· ἱδρύω· καὶ καθιδρύω· διατί τὸ ι· πρὸ τοῦ ρ ψιλοῦται· χωρὶς εἰ μὴ ὑποτάσσοιτο· τὸ ρ̄ μετὰ φυσικῆς μακρᾶς. Ἰδουμαῖος· ἴδυ· ἰδιώτης· δασύνεται· ἰ=δρώς καὶ ἱδρύω· ποῖον δὲ ἐστὶ φύσει μακρόν.

τὸ δρῶ· ὡς καὶ δρῶσα τοι θ' ἱδρῶθεν· ἀλλ'
αὐτός τε καθέλθων· καὶ ἄλλους ἱδρυ-
λαοῦς· τὸ δὲ ἱδρὺς ψιλοῦται· διότι
οὐχ ὑποτάσσεται τὸ ε̄ μετὰ φωνήεντος
μακρᾶς.

Γρέων μὲν αἴτιοι καὶ κακῶν πολλῶν ἴδρις
ἱδρώς· δῶ ἵδαρος· ὑγρὸς γὰρ γίνεταί τις.

ὑδροχόος· τὸ ζώδιον.

ἵει Ταλθύβιον· προΐει ῥῆμα παρατα-
τικοῦ· τὸ θέμα ἐστὶν· ἱῶ· ἰῶ· πρώ-
της συζυγίας τῶν περισπωμένων.

ἵεον· ἵουν· ἵες· ἵεις· ἵεε· ἵει καὶ τὸ
προστακτικὸν ἵεε· ἵει· ἀντὶ τοῦ προσ-
πέμψαμεν.

ἵεις· εἰς τὸ ἀνίεις· καὶ εἷς.

ἵεμαι· εἰς τὸ προσίκατο.

ἱδὼν μετοχή· δεύτερος ἀόριστος.

ἵει· ἐστὶ παρατατικοῦ ἀπὸ τοῦ ἱῶ
ἐνεστῶτος· δευτέρας συζυγίας τῶν
περισπωμένων.

ἱέναι· ἵημι· καὶ ὁ παρατατικὸς ἵην.
ἡ μετοχή· ἱείς· ἱέντος· καὶ τὸ ἀπαρέμφα-
τον ἱέναι.

ἱέμενοι· πορευόμενοι· πεμπόμενοι· ἵε-
μαι ἱέμενος· καὶ ἱεμ(ένη)· καὶ ἐπὶ μὲν τὸ
πέμπω δασύνεται· ἐπὶ δὲ τοῦ πορεύο-
μαι· τρία γὰρ εἶδιν· ἵημι τὸ πέμπω

ὅπερ δαβαθεῖται. καὶ ἵημι τὸ πορεύο-
μαι ἐκ τοῦ ἐῶ. τὸ πορεύομαι ὅπερ
καὶ φιλοῦται. καὶ ἵημι τὸ ἐφίεμαι.
ἐξ οὗ καὶ ἵμερος. ἡ ἐπιθυμία. λοι-
πὸν ἐκ τοῦ ἵημι. τὸ πληθυντικὸν
ἵεμεν. τὸ ἀπαρέμφατον ἱέναι. ὡς τὸ
τίθεμεν. τιθέναι. ἢ ἔστιν ἵημι. ὁ πα-
ρατατικὸς ἵην. ἡ μετοχή. ὁ. εἷς ἱέν-
τος. καὶ τὸ ἀπαρέμφατον ἱέναι. ὡς
τὸ τίθεμεν τιθέναι. καὶ εἰς τὸ ἄνεως.
καὶ ἀνία.

ἵεντο. προεθυμοῦντο. ἵημι. καὶ τὸ πα-
θητικὸν ἵεμαι. ὁ παρατατικὸς ἱέμην.
καὶ τὸ τρίτον τῶν πληθυντικῶν. ἵ-
εντο. ὅμηρος.

ἵεντος. εἰς τὸ ἀνίης.

ἱέναι. ἀπαρέμφατον τῶν ἐνεργητικῶν
τῶν εἰς μι. ἐκ τοῦ ἵημι. τὸ πρῶτον
τῶν πληθυντικῶν ἵεμεν. καὶ τὸ ἀπα-
ρέμφατον ἱέναι. ὡς τὸ τιθέναι.

ἵεραξ. παρὰ τὸ ἵεσθαι ἤγουν φέρεσθαι.
ἐν τῷ ἀέρι ῥαδίως. ἢ ἀπὸ τῆς καθ' ὁ-
μοίωσιν φωνῆς.

ἵεραξ. παρὰ τὸ ἵεσθαι ἐν τῷ ἀέρι.

ἱερεύς. ὁ τὰ ἱερὰ θύων. ἤτοι προσφέρων
ἐκ τούτου δὲ ἐκλήθη ἱερεύς. παρὰ τὸ

ἵημι· πέμπω· ἢ τὰς θυσίας ἀναπέμ-
-πων τῷ θεῷ· ἢ παρὰ τὸ ἱερεύω τὸ θύω.
ἢ παρὰ τὸ ἱερός.
ἱερεύς. ἐκ τοῦ ἱερεῖον καλεῖσθαι τὸ πρό-
-βατον· ἔριον γὰρ λέγεται τὸ μαλλίον· καὶ
ἔρις ἢ γρεδία.
ἱερήν· τὴν μεγάλην· τὸ ἱερὸν δύο σημαί-
-νει τὸ ἱερὸν καὶ τὴν μεγάλην.
ἱερεῖον· τὸ πρόβατον· εἴρηται διὰ τὸ
ἵεσθαι· ἤγουν φέρειν τὸ ἔριον. λοιπὸν ἱε-
-ρεὺς ἐκλήθη διὰ τὸ ἱερὸν εἶναι.
ἱερὸν ἦμαρ· παρὰ τὸ θύειν ἐν τούτῳ τῷ
καιρῷ· ἤγουν ἐν τῇ μεσημβρίᾳ· καὶ
πρὸ μεσημβρείας ἕως πρωΐας.
ἱερὸν ἦμαρ· οὕτως εἴρηται πρὸ τῆς με-
-σημβρείας· ~~ἕως πρωΐας~~· ἐπὶ τούτῳ γὰρ
τῷ καιρῷ· ἔθυον τοῖς ὀλυμπίοις θεοῖς.
ἀπὸ δὲ μεσημβρείας τοῖς χθονίοις.
ἱερὸν ἰχθύν· τινὲς παρὰ τὸ διαίνω· διερός.
καὶ διερὸν τὸ ἀεὶ ἐν ὕδατι βρεχόμενον.
οἷον· ἔνθ' ἤτοι μὲν διερῷ ποδί· οἱ
δὲ παρὰ τὸ δίω· τὸ διώκω· διερός.
καὶ ἱερὸν ὁ ταχὺς καὶ διωκτικός· καὶ
εἰς τὸ ἰχθύς.
ἱερεῖα. διὰ τῆς ει διφθόγγου. τὰ γὰρ ἀπὸ
τῶν ἔρον παρὰ τὸ ἔω. καὶ τὸ ἀφίω.

ὁ ἀνειμένος τόπος εἰς τιμὴν θεοῦ.

ἱεροφάντης· διότι τὰ θεῖα λέγει· καὶ διδάσκει· καὶ ἱεροτελεστὴς ὁμοίως.

ἱεροφάντης· παρὰ τὸ τὰ ἱερὰ ἐκφωνεῖν. μᾶλλον δὲ ἐκφαίνειν καὶ λέγειν ἔξω· ἔστι δὲ ἱερουργὸς τῶν θείων μυστηρίων.

ἱερόν ὀστοῦν κυρίως τὸ κατὰ τὴν ὀσφὺν τῶν ἱερείων. ὅστε τέσσαρα ταῦτα ἐπετίθεσαν ταῖς θυσίαις. οἶδε ὁ φειδίν. ἡ ὀσφὺς πρώτη φθεῖται τῶν ζώων. ὅθεν τὰ ἑκατέρωθεν τῆς τε - - -

ἀμφιμάτεια. - - λέγεται ἀπὸ τῆς μήτρας. τινὲς δὲ τὸ μέγα ὀστοῦν.

ἴδη ὄρος· αἰολεῖς. ἐτυμότερον ἐτυμολογεῖσιν· ἀπὸ γὰρ τοῦ ὕψους ἰδεῖν αὐτό ἐστιν ὑπὲρ τὰ ἄλλα. ὅτι ἰδεῖν ἐστι ἀπ' αὐτοῦ τὰ λοιπά.

Αὐτὰρ ὁ θαυμάζων ἧστο πολεμόντε μάχηντε ὕψου. ἐν γὰρ ἀκροτάτῃ κορυφῇ.

ἢ ὁμοίως ὃ μάλιστα ἰδεῖν ἐστι τῶν ἄλλων ὅτε φαίνεται. οἷον δὲ ἄλλως περὶ τῆς ἴδης.

ἱερὸν ὀστοῦν. τὸ ἄκρον τῆς ὀσφύος. ἢ ὅτι μέγα ἐστί. ἱερὸν δὲ τὸ μέγα. ὡς ἱερὸν ἰχθῦν. παθῶν γὰρ ἀναιρετικόν. ἢ ὅτι

ἱερουργεῖται τοῖς θεοῖς. Μένανδρος. οἱ
β δὲ τὴν ὀσφὺν ἄκραν θύσαντες.

ἱερός· ἅγιος. τίμιος. ἀμόλυντος. θαυμαστός,
μέγας καθαρός. κατὰ κρᾶσιν ἱρός. ἡνίκα
προτερεύει τὸ ι. τοῦ ε. εἰς ι γίνεται ἡ
κρᾶσις. οἷον ἱέραξ. ἵραξ. ὡς τὸ ἴρηξ ὠ-
κυπέτης. ἡνίκα δὲ ἐν διφθόγγῳ ἐστὶ τό-
τε ἡ δίφθογγος ἐπικρατεῖ. οἷον ὑγίεια
ὑγεία.

ἱερουργός. ὁ τοῦ ἱερέως τὸ ἐπιτήδευμα
ἔχων. ἢ παρὰ τὸ τὰ θεῖα ἐπιτελεῖν.

Ἱερουσαλήμ. παρὰ τὸ ἱερὸν καὶ τὸ σαλήμ.
ὃ σημαίνει τὴν εἰρήνην.

ἵεσθαι. εἰς τὸ ἥλιος. καὶ ἱέραξ.

ἷζευ. καὶ ἷζεο. καθίζου χρόνου ἐνεστῶτος.
καὶ παρατατικοῦ προστακτικοῦ ἐστὶ
τὸ κοινὸν ἷζου. καὶ ἰωνικῇ διαλύσει ἷζεο.
καὶ δωρικῶς. καὶ κρᾶσει τοῦ ε ο. εἰς
τὴν ευ δίφθογγον ὡς τὸ ἐξ ἐρέβεος.
ἐξ ἐρέβευς καὶ ἰδομενεὺς ἰδομενέος.
λοιπὸν οὖν τὸ ῥῆμα ἵζω. καὶ ἐπὶ τοῦ
ἐνεστῶτος ἐστὶ θέσει μακρὸν τὸ ι. ἐπὶ
τοῦ παρατατικοῦ φύσει διὰ τὴν τῆς συνα-
λοιφῆς καθίζω.

ἵζομαι· εἰς τὸ ἕζομαι.

ἵζω· τὸ κάθημαι· ὅμηρος· νέστορ δ' αὐτό=θι ἕφιζε.

ἵζω· εἰς τὸ ἐφίζον καὶ ἱδύνω καὶ ἵδρυσε. καὶ ὄζος καὶ ῥίζα.

ἰαλέμηνδα· εἰς τὸ ἰάλεμος.

ἱκμάς· ἐκ τοῦ ἵκω τὸ παραγίνομαι.

ἱκμᾶς· παρὰ τὸ ἱκνεῖσθαι αὐτὴν ὁπόθεν.

ἵημι· τὸ πέμπω· καὶ τὸ ἐφίεμαι· ἀπὸ διπλασιασμοῦ ἔχει τὴν ἀρχοῦσαν. οἷον. ὦ· ἴω· δῶ· διδῶ· ὅμηρος

ἵετο γὰρ βασιλῆϊ —

καὶ ἵμερος καὶ ἐφίημι, καὶ εἰς τὸ ἄνες. καὶ δικεῖς. καὶ εἰμί. καὶ ἐκάτη. κελέ=τας. καὶ ἐμῶ. καὶ ἱκέρα. καὶ ἰάλεμος καὶ ἴαψε. καὶ ἱέναι. καὶ ἱέρως. καὶ ἵκεσθαι. καὶ ἱμείρω. καὶ ἰός. καὶ ἶθος. καὶ κῆλα. καὶ μεθίημι. καὶ ὁ ἶσος. καὶ πρόου καὶ προβήκατο. εἰσὶ ἄ=τερ. ἐὰν δασύνηται. τοξότα. ἢ τῇ μιᾷ. καὶ εἰς τὸ ἰός.

ἵημι σημαίνει δύο. τὸ πέμπω. ἐξ οὗ καὶ ἀφίημι. καὶ τὸ ἀπαρέμφατον εἶναι καὶ ἀφεῖναι ἐξ οὗ τὸ προστακτικὸν

προέτο καὶ ἄφιες· καὶ τὸ ἐπιθυμῶ· ἐξ
οὗ καὶ τὸ —— ἵετο γὰρ βαλέειν·
ἀντὶ τοῦ ἐφίετο· καὶ ἵμερος ἡ ἐπιθυ-
μία· καὶ ἄλλως· ἵημι· τὸ πέμπω· ὅπερ
καὶ δασύνεται καὶ ἵημι· τὸ πορεύομαι
ὅπερ καὶ ψιλοῦται.
ἰησοῦς· τὸ τοῦ χριστοῦ ὄνομα· παρὰ τὸ
ἵεναι εἰς τὸ σώζειν.
ἰῆτο· ἰᾶτο· ἰᾶτο· ἐστὶ τὸ θέμα ἰῶ· τὸ
δεύτερον ἰᾷς· τὸ τρίτον ἰᾷ· οὗ ὁ μέλ-
λων ἰάσω· ὁ παθητικὸς ἐνεστὼς ἰῶμαι·
ὁ παρατατικὸς ἰώμην· τὸ δεύτερον ἰῶ·
ἰᾶτο· καὶ τροπῇ τοῦ α ἰῆτο· γράφεται
διὰ τοῦ ι· ἐπειδὴ πρὸ τοῦ ω πάντοτε
τὸ ι εὑρίσκεται· πλὴν τοῦ σιῶ· τοῦ
σημαίνοντος τὸ κόπτω· ἢ καίω.
ἰθαγενεῖς· οἱ γνήσιοι παῖδες καὶ μὴ
ἐκ παλλακίδος· καὶ οἱ γνήσιοι πολῖται.
οἷον αὐθιγενεῖς τινὲς ὄντες· οἱ αὐ-
τόθι γεγενημένοι.
ἰθαγενής· ἰθὺ καὶ ἀδιάστροφον τὸ
γένος ἔχων.
ἴθι· ἐξ οὗ καὶ τὰ ἄλλ' ἴθι μὴ με-
ἀπὸ τοῦ εἶμι τοῦ σημαίνοντος τὸ
πορεύομαι· ἴμεν τὸ πληθυντικὸν καὶ

τὸ προστακτικὸν ἴθι· τροπῇ τοῦ μεν εἰς
θι· καὶ ἴθι· καὶ σημαίνει τὸ ὑπάρχω· τὸ
πληθυντικὸν ἴμεν· καὶ πλεονασμῷ τοῦ σ
ἴσμεν· ἀπὸ γὰρ τοῦ ἔσμεν τοῦ προσέσθαι
καὶ τὸ ἐδώνικα πλεονάζει σύμφωνον.
τρέπεται εἰς ι· καὶ γίνεται ἴθι· ὃ σημαίνει
τὸ γίνωσκε.

ἴθι· πόθεν γίνεται· ἀπὸ τοῦ εἶμι· εἷς·
εἶσι· ὁ δεύτερος ἀόριστος ἦν· ἐκτάσει τῆς ει
διφθόγγου εἰς τὸ η Ἀττικῶς· ἡ μετοχὴ
εἰς· τὸ παραστατικὸν ἦθι· καὶ συστολῇ τοῦ
ε εἰς τὸ ι· ἰωνικῶς ἴθι· ὡς μέμνω· μίμνω.
καὶ γέγονε γίγνω.

ἴθμα· τὰ βήματα· ἀπὸ τοῦ δι' αὐτῶν ἰέναι.

ἴθι· προστακτικόν· πορεύου· ἀπὸ τοῦ
εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι / τὸ
πληθυντικὸν ἴμεν διὰ τοῦ ι· τροπὴ τῆς
μεν εἰς θι· ἴθι· τὸ προστακτικόν.
καὶ ἔστιν ἐνεστῶς καὶ - - · ὡς ἵσταμεν.
ἵσταθι· καὶ εἰς τὸ βάσκ' ἴθι· καὶ ἴτε.

ἴθωσω· διὰ τοῦ ι· παρὰ γὰρ τὸ ἴθος γέ-
γονεν ἐνεστῶτος

ἴθμα· βῆμα· παρὰ τὸ ἵημι τὸ πορεύο-
μαι· ἵμα· ἴθμα· ὡς τίθημι· θέμα.

ἰκτῖνος· εἶδος πετεινοῦ· ὃ λέγεται λούπην

ὅς ἐτυμολογεῖται ἀπό τοῦ ἑαυτόν ἱκετεύειν πανταχοῦ.

ἴκαρος. διά τοῦ ι. παρά τό ἴκεσθαι πρός τόν ἀέρα. ὅμηρος.

ἵκανω. καταλαμβάνω. τό κα μακρόν. πλήν τοῦ ἱκάνω. κιχάνω. καί ταῦτα διά τί. ἐπειδή δύο ἀποδείξεις εἰσί περί τούτου ἡ ἐπί τῆς ἀρχούσης. φύσει μακρά οὖσα. εἰ δῆλον. ἐν τῷ παραληγούσῃ. ὁ δέ ἄλλος κανών. οὐδέ ποτε παρατατικός ἀορίστου δευτέρου σημασίαν ἐπιδέχεται. ἤγουν ἐνεδέξατο. πλήν τοῦ ἱκάνω. κιχάνω. ὥρισται καί ἐκ συναλοιφῆς δασύνεται. ἐκίχανε γάρ τουτέστι κατέβαλε. καί ἂν λέγει ὅτι κατελάμβανε. δασύνεται. τό ι πρό τοῦ κ δασύνεται. ὡς ἵκω. ἱκέτης. ἱκάνω.

Ἡ μέν δή πρός τεῖχος ἐγειρομένη ἀφικάνει.

ἱκανῶ. ἀρκετῶ. δυνατῶς. γράφεται διά τοῦ κ. εἰς τά ἑνικά μόνον. εἰ δέ τά δυϊκά καί πληθυντικά καί εἰς τά παιδευτικά καί εἰς τάς λοιπάς ἐγκλίσεις. διά τοῦ ι. οἱ μέν τοι ποιηταί καί εἰς τά ἑνικά καί πανταχοῦ. διά τοῦ ι γράφουσιν αὐτό.

Ἰκαρίοιο· ὄνομα ἰκάριος· τὸ ἐτ. π. ὥσπερ τὸ αἰπώλιος· κάπειος.

Ἴκελος· τὸ ἴκελος διφορεῖται. γίνεται δὲ ἐκ τοῦ εἴκω· τὸ ὁμοιῶ. ἔστι δὲ τῶν πρός τι καὶ συντάσσεται μετὰ δοτικῆς. τὸ γὰρ ἶσος καὶ ὅμοιος καὶ εἴκελος· καὶ μετὰ δοτικῆς συντάσσεται. οἷον ἶσος τῷ πρὶ. ὅμοιος αὐτῷ. εἴκελος διΐ. τὸ κτ. ψιλόν. ὡς τὸ ἄμπελος.

Ἵκω· εἰς τὸ ἴψ. ὅμηρος. ἱκέσθαι. ἀπαρέμφατος. ἐνεστῶτος παθητικοῦ. παρὰ τὸ ἵκω· ἵκεσθαι. παραγίνεσθαι. παρὰ μὲν τῷ ποιητῇ· παρὰ δὲ τοῖς πεζολόγοις, διὰ τοῦ η ——— γίνεται δὲ τὸ ἥκω· ἐκ τοῦ ἵημι. ἥσω· ἧκα. καὶ ἥκω. ἐξ οὗ καὶ δασύνεται. βαρύνεται δέ. ὅτι ἐξακολουθεῖ τὸ δαίρεσθαι. καὶ φέρεσθαι. λέγει δὲ ὁ κανὼν πᾶν εἰς σθαι λῆγον ὁμότιμον ἀπαρέμφατον. σεσημείωται· παρὰ τὸ αἴρεσθαι· παρὰ τῷ ποιητῇ· προπαροξύνεται μέλλος ἀόριστος ὤν.

Ἀλλ' ἐθέλω φρεσὶ περὶ ξείνοιο φαίεσθαι.

τοῦτο ἐπὶ μὲν τοῖς ἐνεργητικοῖς. γράφεται διὰ τοῦ η· ἀπὸ μὲν τοῦ εἶμι τὸ πορεύσομαι γέγονεν· ὁ μέλλων ἥσω. ὁ—

παρακείμενος ἧκα. καὶ ἀπὸ τοῦ παρακει-
μένου κατὰ συρακουσίους. γέγονε ἧκα
ἥκω. ὡς πεποίηκα. ~~πέπο~~ καὶ
ὅτε μὲν σημαίνει τὸ παραγίνομαι καὶ
ἔρχομαι. γράφεται διὰ τοῦ η. ὅτε δὲ σημαί-
νει τὸ κατέλαβον. γράφεται διὰ τοῦ ι.

κνίδη ὅσον ἵκεν.

ἵκεσθαι. καὶ ἀφίκεσθαι. διαφέρει. ἵκεσθαι
μὲν γάρ ἐστι. τὸ ἐλθεῖν. ἀφίκεσθαι δὲ τὸ
ἐπανελθεῖν.

ἱμέσθαι. εἰς τὸ ἵμερος.

ἱκετῶ. ἐκ τοῦ ἱκέτης. τοῦτο δὲ παρὰ τὸ
ἵκω. τὸ παραγίνομαι. ὅπερ ἐπὶ μὲν τῶν
ἐνεργητικῶν διὰ τοῦ η γράφεται. ἐπὶ
δὲ τῶν παθητικῶν διὰ τοῦ ι. ἢ ἐκ τοῦ
εἴκω. τὸ ὑποτάττομαι. ἢ παρὰ τὸ ἵκω.
τὸ ἱκετεύω. ἐξ οὗ καὶ ὅμηρος. μή μιν
ἐγὼ μὲν ἵκωμαι ἰών.

ἱκετάω. εἰς τὸ εἰ μὲν ἱκέταο.

ἱκέτης. εἰς τὸ ἵκω.

ἱκετεύω. ἐκ τοῦ ἱκέτης. τοῦτο παρὰ τὸ
ἵκω τὸ παραγίνομαι. τὸ παθητικὸν
ἵκομαι. τὸ τρίτον. ἵκεται. ἱκέτης καὶ
ἱκετεύω.

ἱκεσία. ἡ παράκλησις.

ἱκέσθησαν· ἀφίκοντο· παρεγίνοντο.
ἴκνος· εἰς τὸ ἱππόβοτον.
ἰκόνιον· ὄνομα πόλεως· ἐπειδὴ ἀφικόμενον
Περσέα· καὶ νικῆσαι τοὺς λυκάονας· καὶ
στήλην στήσας ἐκάλεσεν αὐτήν· ἰκόνιον· ο
ἐκ τοῦ ἰδίου ἀπεικονίσματος· κτίσαι αὐτήν.
ἰκόνιον· ὄνομα πόλεως· ὠνόμασται δὲ παρὰ
τὴν εἰκόνα τῆς γοργόνης.
ἰκρία· τὰ σανιδώματα· παρὰ τὸ δι' αὐτῶν
ἱκνεῖσθαι καὶ διαβαίνειν.
ἴκριον δὲ τὸ ὀρθὸν ξύλον.
ἵκω τὸ δέομαι· ἱξοῦ καὶ ἱκέτης· κλίνεται δὲ καλ
ὁ ἱκέτης τοῦ ἱκέτου· τὰ εἰς η ῥηματικά·
εἰς ου ἔχει τὴν γενικήν· τὸ δὲ ψιλόν
τὰ διὰ τοῦ ετης ὀνόματα δισύλλαβα.
ἅπαντα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον
κητιέτης ἱκέτης· νεφεληγερέτης· ἐπί-
θετον τοῦ διός· χωρὶς τῶν παρὰ τὸ χαί-
τη· καὶ τὸ αἰτῶ γινόμενα· ὡς ἔχων
τὸ προσαίτης· ὁ προσαιτῶν· καὶ εὐχαίτης
ὁ καλὴν χαίτην ἔχων ἵππος καὶ ἔτι τὸ ἐξ
αὐτοῦ γίνεται· ἤγουν συγκεῖται· βαρύνεται.
τὰ εἰς της λήγοντα ἀρσενικὰ βραχεῖ
παραληγόμενα ἁπλᾶ ὄντα βαρύνεται.
οἷον γενέτης· δεσπότης· ἱκέτης· σεσημείω-
ται τὸ εὑρετής.

ἵκω διὰ τοῦ ι. παρὰ γὰρ τὸ ἥκω γέγονε διὰ
τοῦ η ἥκω. κατὰ τροπὴν τοῦ η εἰς ι. ἰστέ-
ον δὲ ὅτι τὸ ἥκω. ἐν ταῖς ἐνεργητικαῖς φω-
ναῖς. διὰ τοῦ ι. γράφεται. ποιητικὸν γάρ
ἐστι. καὶ μεμπτέος ὁμοίου ἄπειν. τὸ δὲ διὰ τοῦ
η γραφόμενον πεζολόγου. καὶ ἰαμβογράφου.
οἷον ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
β καὶ ἥκω διὸς παῖ
καὶ ἥκω φέρων σοι τῆς ἐρήμου καθέδρας.
ἐν δὲ ταῖς παθητικαῖς φωναῖς καθόλου διὰ
τοῦ ι. οἷον ἀφῖγμαι. ἀφῖξαι. ἀφῖκται.
ἴκτις ὁ σημαίνει τὴν λύπην. ἀπὸ τοῦ
ἐκτεταμένας ἔχειν τὰς πτέ... οὖ
καὶ τὸ αἰδοῖον ἤτοι τὸ κεντρόν.
ἴκτινος. διὰ τοῦ ι γράφεται. τὰ διὰ τοῦ
ινος προπαροξύτονα. μὴ ὄντα ἀπὸ ἁπλοῦ
ἔχοντα τὴν ει δίφθογγον. διὰ τοῦ ι γρά-
φεται. οἷον φήγινος, ἰδεσῖνος. κάμινος.
οὕτως οὖν καὶ ἴκτινος. πρόσκειται μὴ ὄντα
ἀπὸ ἁπλοῦ.
ἴκτερος. τὸ ὄνομα. τὸ ῥῆμα ἰκτερῶ. γίνε-
ται δὲ ὁ ἴκτερος ἀπὸ ξανθῆς χολῆς.
πλεονάσασα γὰρ καὶ πυρωθεῖσα εἰς τὴν
ἐπιφάνειαν. ἐξωθεῖται καὶ ἀνθεῖται.
κἀντεῦθεν τὸ ἰκτερεῖ ἀντὶ τοῦ ὠχριάσεις.

ἴκτερον εἶναι νόσον ὠχριοειδῆ· ἀπὸ θυμοῦ
γινόμενον. ὥστε τοὺς ὀφθαλμοὺς τῶν
κεκρατημένων ὠχροὺς, καὶ μεγάλους
ποιεῖν. ὡς τῶν ἰκτίνων. ἀφ' ἧς τὴν
κλῆσιν ἔχει. ἴκτερος ἀμφέχυσις περὶ τὸ
ὅλον σῶμα. ὅμηρος.

ἵκω. εἰς τὸ ἵξίων. καὶ νίκη.

ἵκομαι. ἀντὶ τοῦ ἱκετεύσω. ἐνεστῶτος
παθητικοῦ ὑποτακτικοῦ.

ἱλαδόν. κατὰ ἴλας καὶ συστροφάς. καὶ κα-
τὰ συστροφὴν καὶ κατὰ σύστημα.

ἱλαδόν. σημαίνει τὸ ὁμοῦ. παρὰ τὸ ἴλη.
ὃ σημαίνει τὴν συνάθροισιν

ἵλαος. καὶ ἵλεος. εὐμενής. πρᾶος. γίνεται
δὲ παρὰ τὸ ἱλαρός. οἱ γὰρ Αἰολεῖς ἴλαος
λέγουσι καὶ οὐχὶ ἔλλαος. παρὰ τὴν ἱλαρίαν.

ἱλαρός. θερμὸς ἡδύς. παρὰ τὸ ἵλαος ὃ
σημαίνει τὸ εὐμενῆ.

ἱλλάδες σχοινία. ἐξ ἱμάντων. ἀπὸ τοῦ
εἱλεῖσθαι πολλὰ γάρ εἰσι.

ἵλιον. σημαίνει τὸν γαμβρόν. διὰ τοῦ
ι δὲ γράφεται. καὶ κατὰ τὴν ἀρχὴν καὶ
κατὰ τὴν παραλήγουσαν. τῷ λόγῳ τῷ
ἀμφοτ. κατὰ δὲ τὴν ἀρχὴν τῷ λόγῳ τῷ
πολεμαίου. ἔστι δὲ παρὰ τὸ ἴλιον. τὸ ση-
μαῖνον τὸ δῶρον. καὶ γὰρ οἱ συγγαμβροι-

μετέχουσι τῶν δώρων τοῦ νυμφίου.

ἴλη· ἡ τάξις· παρὰ τὸ εἴλω· τὸ συστρέφω. πολλὰ γάρ εἰσιν ὀνόματα. λέγεται ἴλις ἴλιδος. ὄνομα πόλεως.

ἰλεὸς ὁ φωλεός· καὶ γράφεται διὰ τοῦ ῑ· τὰ γὰρ διὰ τῦ εἴλω· παράγωγα· ἰστέον ὅτι ὁ τεχνικός, ἐν τῷ περὶ Ἀττικῆς προσόδῳ διὰ τῆς ει διφθόγγου γράφει

ἱλασμός· διαλλαγή· εὐμένεια· ἐστιν ἱλῶ· ἱλᾶς· ἱλᾶ· ὁ μέλλων ἱλάσω· ὁ παρακείμενος ἵλακα· ὁ παθητικὸς ἵλασμαι· καὶ ἐξ αὐτοῦ ἱλασμός· ἐκ τοῦ ἵλω γίνεται ἵλαος· καὶ τροπῇ τοῦ ᾱ εἰς ῑ. ἵλεως· τὸ Ἀττικὸν τοῦ ἱλέω· δασύνεται· παρὰ τῇ κοινῇ διαλέκτῳ. καὶ εἰς τὸ ἐξίλασμα.

ἱλασμός· ἀπὸ τοῦ ἔλεος· καὶ τροπῇ τοῦ ε̄ εἰς ῑ ἵλαος· καὶ ἱλασμός· καὶ τὸ Ἀττικὸν ἵλεος· ἐλέω· ἱλεώσω.

ἱλαδόν· διὰ τοῦ ῑ· παρὰ γὰρ τὸ ἴλη τὸ σημαῖνον τὴν ἄθροισιν γέγονεν· ὅπερ δέδεικται διὰ τοῦ ῑ. ὅμηρος.

ἱλασσάμενος· ἐξιλεωσάμενος· μετοχῆς παθητικῆς· δευτέρας τῶν περισπωμένων· τὸ θέμα ἱλῶ· ἱλᾶς· ἱλᾶ· ὁ μέλλων ἱλάσω. καὶ ἐκ τοῦ ἱλάσθητι ἱλασμός· καὶ ἐκ τοῦ

ἱλασσάμενος· πλεονασμῷ τοῦ σ διὰ τὸ
μέτρον· ἐκ τοῦ ἱλῶ· ἵλημι· ἐξ οὗ καὶ τὸ
ἱλάσθητι γράφεται.
ἱλάσθητι· ἐκ τοῦ ἱλῶ· ἱλάσω· ἵλακα· τὸ δὲ
ἱλῶ ἐκ τοῦ ἵλεως· τοῦτο παρὰ τὸ ἔλεος.
τροπῇ τοῦ ε· εἰς ι· ἵλεος.
ἱλάσσω· τὸ ἱκετεύω· ἐξ οὗ καὶ τό· τίς
δ' αὐτὸν ἱλάσσεται.
ἱλεύς· ὁ Αἴαντος πατήρ· ἐτυμολογεῖται
ὑφ' ἡσιόδου.

Ἰλέα τὸν ῥ' ἐφίλησεν ἄναξ διὸς υἱὸς Ἀπόλλων. β.
καί οἱ τοῦτ' ὀνόμηνεν ὄνομ' ἔμμεναι, οὕνεκα νύμφην
εὑράμενος ἵλεων ὄχεθ' ἐρατεινῇ
ἡ φιλότητι ἤματι τῷ ὅτε τεῖχος
ἀδμήτοιο πόλιος ὑψηλὸν ποίησε ποσειδάων.
καὶ ἀπόλλων.

ταῦτα παρατίθεται ἐν λειμῶνι.
ἵλεος· ἡ κατάδυσις· παρὰ τὸ ἀπολελωκέναι.
ἐκεῖ τὸ φῶς.
ἵλεως· ὁ εὐπαράκλητος· ἀπὸ τοῦ ἕλεος κατὰ
τροπὴν τοῦ ε· εἰς ι· καὶ τοῦ ο εἰς ω· ἐκ δὲ
τοῦ ἵλεως· γίνεται ἱλεῶ· ἱλεώσω· καὶ ἐξιλεω-
σάμην· ἐκ δὲ τοῦ ἱλεῶ γίνεται κατὰ συγκο-
πὴν ἱλῶ· ἱλᾶς· ἐξ οὗ καὶ τὸ ἵλαθι· καὶ
ἱλασάμην· ἐκ δὲ τοῦ ἱλῶ ἱλάσω· ἱλάσκω.
ὡς πρῶ· φῶ· φάσκω· βῶ· βάσκω.

ἴλη τὸ πλῆθος· παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι.
καὶ εἰς τὸ ἰλαδόν·

ἰλιγγιᾷ· ἀτονεῖ· σκοτοῦται· συστρέφεται
παρὰ τὸ εἰλιγγιῶ· τοῦτο παρὰ τὸ ἴλιγξ
ἴλιγγος· τοῦτο παρὰ τὸ εἰλίσσω· εἰλίξω.
ἐξ οὗ καὶ ἕλιξ· τὸ τῆς ἀμπέλου περίπλεγ-
μα· ὤφειλε γὰρ τὸ ἰλιγγιῶ, διὰ τῆς ει
διφθόγγου γράφεσθαι· ἀλλὰ διὰ τὸ μέ-
τρον ἐγράφη διὰ τοῦ ι·

ἴλιγξ· κυρίως· συστροφὴ ὕδατος·

ἰλιγγιῶ· ἐκ τοῦ ἴλιγξ· ἴλιγγος· σημαίνει
δὲ τὴν συστροφήν· τοῦτο παρὰ τὸ εἴλω.
ἐξ οὗ καὶ εἴλη· καὶ τροπῇ τοῦ ἀμεταβό-
λου εἰς ἀμετάβολον ἴλη καὶ δίνη· ἡ
ὑποστροφὴ τοῦ ὕδατος καὶ τοῦ νοός.

ἰλίας· διάδοχος·

ἴλιος· παρὰ τὸ ἶλος ὄνομα κύριον· τὸ
ι μακρὸν τοῦ ι ἐπιφερομένου συμφώνου ἑνός·
ἁπλοῦ ᾧ ὑποτάσσεται τὸ ι· ἢ τὸν ῡ
φιλεῖ ἐκτείνεσθαι· χωρὶς τῶν ἀποκλίσεως.
ἐγράφη εἰς τὸ δίχρονον.

ἶλος ὁ ὀφθαλμός· καὶ ἶλος ὄνομα κύριον.
ἀφ' οὗ καὶ ἴλιος πόλις ὠνόμασται.

ἰλλάδες· σχοινία ἐξ ἱμάντων ἀπὸ τοῦ
εἰλεῖσθαι.

ἶλοι οἱ ὀφθαλμοί.
ἰλλάς· εἰς τὸ ἱππόβοτον.
ἴλλοι· εἰς τὸ δυσδίλλων· καὶ ἱππόβοτον.
ἰλλῶ τὸ δεσμεύω· ἐξ οὗ καὶ ἰλλὰς ὁ δεσμός.
ἰλλάσσω· τὸ δεσμεύω· καὶ τὸ τῆς δευτέρας
ἱλάσσεται.
ἴλιγγος· ἀπὸ τοῦ ἰλλιγγιῶ. ἐκ τοῦ ἴλιγξ.
ἴλιγγος· ἰστέον δὲ ὅτι τὸ ῥῆμα διὰ τῆς ει
διφθόγγου κατὰ πρώτην συλλαβήν· εἰλιγγιῶ.
ἰλιγγιᾷς· τὸ δὲ ὄνομα διὰ τοῦ ι· καὶ ἀρσε-
νικὰ ὁ ἴλιγγος.
ἴλλοι οἱ ὀφθαλμοί· κυρίως δὲ αἱ κόραι τῶν
ὀφθαλμῶν· ἀπὸ τῆς εἰλήσεως εἰλεῖσθαι·
τὰς κόρας τῶν ὀμμάτων.
ἰλύς· ὁ ῥύπος· παρὰ τὸ ὕω· τὸ βρέχω· ὕλη.
καὶ ἐν ὑπερβιβασμῷ· ἰλύς· ἰλύος καὶ ἰλύς.
καὶ ἴλιος· καὶ ἴλεος· ὤφειλε γὰρ γράφεσθαι
διὰ τοῦ η· ἀλλὰ κανών ἐστιν ὁ λέγων·
τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην
συλλαβὴν κλίνεται τριχῶς· ὕλη· ὕλας·
καθὼς εἴρηκα ἄνω· ὅμηρος.
ἰλλίζειν· τὸ διανεύειν.
ἱλάσκοντο· ἔστι παθητικὸς παρακείμενος.
τρίτου προσώπου τοῦ πληθυντικοῦ, ἀπὸ
γενικῆς τοῦ ἵλω· δευτέρας συζυγίας τῶν
περισπωμένων, καὶ κατὰ πλεονασμόν

τοῦ π. ἱλάσκω. καὶ λοιπὸν ἐντεῦθεν. ὁ
ἐνεστώς.
ἱλάσκεσθαι. τὸ θέμα. ἵλω. δευτέρα συζυγία
τῶν περισπωμένων. τὸ σημαῖνον τὸ ἐξιλε-
οῦμαι. καὶ ἐξευμενίζω. ὁ μέλλων ἱλάσω.
καὶ κατὰ πλεονασμὸν τοῦ π ἱλάσκω.
καὶ μετῆλθεν εἰς ἐνεστῶτα. καὶ ἱλάσκοντο
τὸ παρατατικόν. καὶ τὸ ἀπαρέμφατον ἱλάσ-
κεσθαι.
ἷλυς. παρὰ τὸ ἵζω. τὸ καθέζομαι. ἢ
παρὰ τὸ εἴλω. γίνεται ἰλύς. σημαίνει δὲ
τὸν ῥύπον. ὅθεν καὶ ἰλόποδες. λέγει τοὺς
ὄφεις. παρὰ τὸ τὸν ἰλὺν ἐν τοῖς ποσὶν
αἴρειν. ἢ παρὰ τὸ ὕλη. ἰλύς. τὸ δὲ ὕλη.
παρὰ τὸ βρέχω. ἐκεῖθεν γὰρ ἔχει καὶ
τὸ ῡ μακρόν. καὶ εἰς ὕλη.
ἰλυσπῶντο. ἧρπον. ἐκυλίοντο. ἰλυσπᾶσθαι
δέ ἐστι τὸ παραπλησίως τοῖς σκώληξι καὶ
τοῖς ὄφεσιν εἶναι. οἱονεὶ ἐν τῇ ἰλύϊ σπᾶσθαι.
τουτέστι ἐν τῇ γῇ κυλίεσθαι.
ἱμαῖος. εἰς τὸ ἱμᾶς.
ἱμὰς ἄντω δέσις. δέσις ἢ σύνδεσις. τῶν
κορρυγίων τοῦ ὑποδήματος.
ἰλύς. παρὰ τὸ ὕω. τὸ βρέχω. ὕλη. καὶ
ἐν ὑπερβιβασμῷ ἰλύς.
ἰλισπώμενος. ἕρπων. εἴρηται δὲ ἀντὶ

ἐν τῇ ἰλύϊ καταδύπτεσθαι. καὶ ἕρπειν.
ἰλύς. παρὰ τὸ ἰλύω. ἀποβολὴ τοῦ ω.
ἱμάς. λῶρος. μάστιξ. παρὰ τὸ ἐνίεσθαι ὅ
ἐστιν ἐνδεδέσθαι. ὡς ἀπὸ τοῦ ἐνίημι, δασύνε-
-ται. τὸ ι. τὸ συνεσταλμένον ἐπιφερομέ-
-νου ψιλοῦ λ ἢ ἑνὸς μ δασύνεται. οἷον ἵλαος.
ἱλαρός. ἱμαῖος. εἴ τι ἐπιμήλιος ᾠδή. ἢ
ὄνομα κύριον. τὸ μὲν τοῦ ἱμῶ μακρὸν ἐ-
-κεῖ τὸ ι. ψιλοῦται. σημαίνει δὲ τὸ ἀντλῶ.
ὅθεν τὸ ἀνιμῶ. καὶ ἱμωνιά. σημαίνει δὲ
τὸ ἀντλητήριον. διατί δασύνεται τὸ
ἱμάς καὶ ἀνδριάς. τὰ εἰς ας ὀνόματα ὑ-
-πὲρ μίαν συλλαβὴν μακρὸν ἔχοντα τὸ
α. ἢ βαρύνονται ἢ περισπῶνται. βαρύνον-
-ται μὲν οἷον αἴας. θόας. περισπῶνται
δὲ οἷον βουλλᾶς. ἔστι δὲ εἶδος πλακοῦντος.
ἐξ οὗ καὶ βαλαντοπῶλαι. καὶ πελεκᾶς.
τὸ δὲ ἱμᾶς καὶ ἀνδριᾶς. ὡς διαλλάξαντα
κατὰ τὸν χρόνον πρὸς τὰ ἄλλα. ἤγουν
τὸ ἀρκάς. διήλλαξαν καὶ κατὰ κλίσιν
ἐπὶ μὲν τοι γενικῆς ἱμάντος. οἱ μὲν γὰρ
Ἀττικοὶ τῷ χρόνῳ τῆς εὐθείας ἀκολου-
-θοῦντες περισπῶσι τὰς γενικάς. ἡ δὲ
κοινὴ συνήθεια. τοῦτο οὐ παρέλαβε. διὰ
τὸν κανόνα. πάντα τὰ διὰ τοῦ ντ
κλινόμενα ἐπάνω θέσει μακρᾶς περισπωμένη
οὐ τίθεται.

ἱμάσσω· εἰς τὸ μάστιξ.

ἱμάτιον· ὅτι τὸ φοροῦντ τιμᾶ.

ἱμάτιον· παρὰ τὸ ἕω τὸ ἐνδύομαι· ἑμάτιον καὶ ἱμάτιον· ἐξ αὐτοῦ γίνεται ἱματίζω· ἱματίσω· ἱματισμός.

ἱμείρω· σημαίνει τὸ ἐπιθυμῶ· ἀπὸ τοῦ ἵμερος· τοῦτο παρὰ τὸ ἵημι· ὃ σημαίνει τὸ προθυμοῦμαι.

ἵετο γὰρ βαλέειν —— .

ὁ γὰρ παθητικὸς ἵεται ἐπὶ τὸ ποθούμενον· ἢ ἀπὸ γ· τρίτου προσώπου ἀντωνυμίας· οἷον ἐγώ· σύ· ἵ· ἀπὸ οὖν τοῦ ἵ καὶ τοῦ μέρος· γίνεται ἵμερος· οἷον ἐκείνου τὸ ἐπιθυμούμενον· καὶ εἰς τὸ ἱμερτόν.

ἱμείρω· διὰ τῆς ει διφθόγγου κατὰ τὴν παραλήγουσαν· πρῶτον μὲν ὅτι μέρρω λέγουσιν οἱ Αἰολεῖς.

ἴμεν πορευόμεθα· εἶμι τὸ πορεύομαι· τὸ πληθυντικὸν ἴμεν· τὸ ἀπαρέμφατον ἰέναι· ἵνα φυλάξῃ τὴν παραλήγουσαν — τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ τοῦ ἴμεν· ἀττικῶς δὲ ἴμεναι· ἰωνικῶς —— ὧς καὶ τὸ ἔμμεναι· ἔμεν ἔρος· ἔμεν

πολέμοιο· καὶ εἰς τὸ ἀπρόσιτον. καὶ εἶναι. καὶ εἶσι. καὶ εἰλισμός.

Ἵμερος ὁ πόθος. ἐνικῶς, τὰ γὰρ ἄνθη λέγονται ἵμερα ἐπεὶ ἐν τῷ ἀέρι φύονται. ὅτι καὶ τὰ ἐρωτικὰ ἀερωδέστερα ἐστί. τούτου χάριν καὶ ὁ Ἀλκαῖος ζεφύρου καὶ ἔριδος τὸν ἔρωτα φησί. ἵμερος γὰρ ἀπὸ τοῦ ἵεσθαι καὶ ποθεῖν. Λύκιοι δὲ ἐαρινοὺς θεοὺς Ἀφροδίτην καὶ Ἔρωτα καὶ τὰς Νύμφας καλοῦσιν β

Ἵμερος· ἡ ἐπιθυμία. ἐκ τοῦ ἵημι οὗ ἵεμαι· ἵμερος· ἱμέρω· καὶ πλεονασμῷ τοῦ ι· ἱμείρω· πολλοὶ γὰρ ἱμείρονται τοῦ θανάτου καὶ οὐ τυγχάνουσιν.

Ἵμερος· παρὰ τὸ ἵεσθαι τὸ σημαῖνον τὸ προθυμεῖσθαι· καὶ γὰρ ὁ ἐπιθυμῶν προθυμεῖται, ὅπερ διὰ τοῦ ι. καὶ ὡς ἀπὸ τοῦ ἵημι ὅπερ ὡς δειχθήσεται διὰ τοῦ ι γράφεται. τὸ δὲ ἱμείρω τὸ ἐπιθυμῶ διὰ τοῦ ι κατ᾽ ἀρχήν. ὡς ἀπὸ τοῦ ἵμερος γινόμενον. ἰστέον δὲ ὅτι λέγει ὁ Τρύφων. ὅτι ἡμάρτηται τὸ ἥμερος. καὶ ἵλαος καὶ ἱμωνία. σημαίνει δὲ τὸ ἀντλητήριον. ὅτι ταῦτα μακρὰν ἔχοντα τὸ ι δασύνεται. καὶ γὰρ πᾶν ὄνομα ἀπὸ

μακρὰς ἀρχόμενον θέλει ψιλοῦσθαι. οἷον ἰνώ. ἰαπετὸς. ἴχωρ. πλὴν τούτου. ταῦτα δασύνεται. οὐ καλῶς δὲ λέγει. καὶ γὰρ τὸ ἱμάτιον ἐκτείνει τὸ ι. καὶ ὅμως δασύνεται.

ἱμερτόν. σημαίνει τὸ ἐπιθυμητόν. παρὰ τὸ ἱμείρω. ὁ παρακείμενος ἵμερκα. ὁ παθητικός. ἵμερμαι. καὶ ἐξ αὐτοῦ ἱμερτός. καὶ ἱμερτὸν τὸ οὐδέτερον. τὸ δὲ ἱμείρω παρὰ τὸ ἵμερος. τοῦτο παρὰ τὸ ἵημι τὸ πορεύομαι. τὸ γὰρ ἱμερον παντὶ πορεύεται.

ἱμῶ. τὸ ἀναπέμπω. ἐκ τοῦ ἱμάντος. ἔστι δὲ τὸ ἱμάς. συστέλλει τὸ ι. ὡς παρὰ τῷ ποιητῇ.

οἷον ἔρηξεν ἱμάντα βοὸς ἶφι κταμένοιο.

καὶ τὸ ἀνιμῶμαι δὲ διὰ τοῦ ι γράφεται παρὰ γὰρ τὸ ἱμὰς. ἱμάντος γέγονεν ἱμάς. καὶ ἀνιμῶ. τὸ ἀνασπῶ.

ἱμωνιά. ἐκ τοῦ ἱμὰς. ὃ σημαίνει τὸν λῶρον.

ἱμωνιά. σημαίνει τὸ δέρμα εἰς ὃ ἀντλοῦσιν τὸ ὕδωρ. ἀπὸ τοῦ ἱμὰς. ἱμάντος. ἐξ οὗ καὶ τὸ ἀνιμῶ καὶ ἱμὰς.

ἱμῶ. εἰς τὸ ἀνιμῶ. καὶ ἱμὰς. καὶ ἱμείρομαι. καὶ μείρεται.

Ἡΐ· εἰς τὸ ἀκτίς.

Ἵνα· σημαίνει τέσσαρα· τὴν δύναμιν·
ἵν' ἀπέλεθρον ἔχοντες
τὸ ὅπως·
ἵνα καινῶσι καὶ οἶδε·
σημαίνει δὲ τὸ ἔνθεον· ἵνα τάμης πᾶσαν
διαπρό· σημαίνει δὲ τὸ ὅπου·
ἵνα γὰρ σφὶν ἐπέφραδον ἠγερέεσθαι.
καὶ εἰς τὸ κῖνο καὶ δῖνα·

Ἶνα κρατοῦντος· γίνεται ἐκ τοῦ ἶς· ἰνός.
ὃ σημαίνει τὴν τῶν νεύρων δύναμιν· καὶ
οὐχ' ὥς τινες νομίζουσι σύνδεσμος· ἔνθεν
ψιλοῦται· ὁ δὲ ἵνα σύνδεσμος ἀντὶ ὅπως
παραλαμβανόμενος δασύνεται· σημαίνει
δὲ τέσσαρα·

Ἶνες· ἀπὸ τοῦ ἶς· ἰνός· γέγονε· γράφε-
-ται δὲ διὰ τοῦ ι· ἐπειδὴ δικατάληκτος
ἐστι· ἶς· καὶ ἶν· οἷον ῥίν καὶ ῥίς· σαλα-
-μίν· σαλαμίς· ἐλευσίν· ἐλευσίς. ἀκτίς.
ἀκτίν· οὕτως οὖν καὶ ἶς ἶν. ἰστέον ὅτι
τὸ ἶς· οὐ τὴν δύναμιν σημαίνει μόνον.
ὡς παρὰ τῷ ποιητῇ· ἱερὴ ἶς τηλεμά-
-χοις· ἀλλὰ ὄνομα ποταμοῦ· ὡς φησὶν
Ἡρόδοτος· καὶ Γύλαξ ὁ ἱστορικός.

Ἶνω διὰ τοῦ ι· παρὰ τὸ ἶς· ἰνός· ἢ
παρὰ τὸ σεύειν γέγονε σεύω· καὶ κα-
-τὰ ἀποβολὴν τοῦ σ· εὔω· καὶ τροπῇ
τοῦ ε εἰς ι ἰνώ· ὥσπερ διαφερος· δίφρος.

καὶ γὰρ εἰς τὴν θάλασσαν ἔδυσεν ἡ ἰνώ.
ἰνίον. διὰ τοῦ ῑ γράφεται. ἰστέον δὲ ὅτι
ἀπὸ τοῦ σφήξ σφηκὸς γίνεται σφήκειον.
σημαίνει δὲ τὴν μικρὰν σφῆκα. οὕτω
παρὰ τὸ ἴς. ἰνός. γίνεται ἰνίον.

Ἴναχος. ὄνομα ποταμοῦ. παρὰ τὸ ἴς.
ἰνός. καὶ τὸ χέεσθαι γίνεται ἴναχος. οἱονεὶ
ὁ μετὰ δυνάμεως φερόμενος.

Ἴνδαλμα. ὁμοίωμα. ἐκ τοῦ ἰνδάλλω.
ὅπερ ἐκ τοῦ εἴδω τὸ ὁμοιῶ. καὶ κατὰ
παραγωγὴν ἰδάλλω. καὶ πλεονασμῷ
τοῦ ν ἰνδάλλω. διὰ τοῦ ῑ. γράφεται.
ζήτει διατί. ἐπειδὴ κανών ἐστιν ὁ λέγων.
ὅτι ἐν τοῖς παραγώγοις εἰώθασι
πολλάκις τὴν φύσει μακρὰν εἰς θέσιν
μεταβάλλειν. ὡς πένης πενιχρός.
λήθω. λανθάνω. ἴδω. ἀνδάνω. δήκω
δαγκάνω. οὕτω καὶ ἴδω ἰνδάλλω τὸ
ὁμοιῶ. ἐξ οὗ καὶ ἴνδαλμα.

Ἶνες τὰ νεῦρα. παρὰ τὸ ἔω. τὸ ὑπάρ-
χω. εἶμα. ὄνομα ἴς. ὡς θέω. θίς.
καὶ ἔιδω ἐνυγμίς. αἱ δὲ ἶνες παρὰ
τὸ εἶναι καὶ συνεστάναι παρέχουσαι
τῷ σώματι δύναμιν.

Ἶνες διὰ τοῦ ῑ. ἀπὸ γὰρ ἴς. ἰνός. καὶ

δφίξ. καὶ τὸ πληθυντικὸν ἴνες. ἢ πα-
ρὰ τὸ ἴω. αὗται γὰρ ποιοῦσιν εἶναι
καὶ συνεστάναι τὸ σῶμα. ἢ ἀπὸ τοῦ
ἵεναι. ἀπὸ τῆς κεφαλῆς. καὶ εἰς τὸ
βία.

Ἶνις. σημαίνει τὸν νεὸν υἱόν. ἢ παρὰ
τὸ ἴς. ἰνὸς γέγονε. δύναμις γὰρ τῶν πα-
τέρων οἱ υἱοί. ἢ παρὰ τὸ ἱέννειν γέ-
γονε. τὰ γὰρ τέκνα τοὺς πρὰς εὐφραί-
νουσιν. ἢ παρὰ τὸ ἰνόω τὸ σημαῖνον
τὸ θηλάζειν. καὶ γὰρ τοῖς παισὶ, τὸ
θηλάζειν παρέπεται.

Ἰνίον. τὸ πλατὺ νεῦρον. ἀπὸ τοῦ διή-
κειν τῆς τοῦ ἐγκεφάλου βάθεως.
τὰ πλατέα νεῦρα. ἃ δὴ τὴν ἰσχὺν
ἡμῖν ἔχειν δοκεῖ.

Ἰνίς. παρὰ τὸ ἴς. ἰνὸς γέγονεν. ὡς
δέδεικται. σημαίνει δὲ τὸν νεῦρον τὸ
ὄπισθεν τοῦ τραχήλου. τὸ δὲ ἡνία.
διὰ τοῦ η. τὸ ἐπὶ τῶν λώρων.

ἰνός. εἰς τὸ ἐκτεινάξας. καὶ ἶφι.
καὶ κινῶ. καὶ μασίζω. καὶ σινῶ.

Ἰνῶν. νεύρων. εἰς τὸ βία.

Ἰνωπός. ὄνομα ποταμοῦ παρὰ τὸ
ἴς. ἰνός. καὶ τὸ ὄψ. ὀπός. ὃ σημαί-
νει τὴν φωνήν. τροπῇ. τοῦ ο εἰς ω.

ἀλλάσσειν τὸ πνεῦμα.

ἴξαλος· πηδητικός· παρὰ τὸ ἴξω μέλ-
λοντα.

ἰξευτής· ἰξευτικός· στρουθοπιαστής.

ἰξὶς· παρὰ τὸ ἄξειν· τὰ ὄρνεα κρατεῖσθαι.

ἰξὺς· ἡ ὀσφύς· οἱονεὶ· ἄξυς τις οὖσα.
ἣν οὐχ' οἷον τε ξύσαι τῇ χειρί· ἣν ἀλλα-
χοῦ λέγει ἄκνηστιν μεσάνωτον· τὸν τό-
πον λέγων.

ἴξενον· εἰς τὸ κήρυκος.

ἰξίων· ὄνομα κύριον· ὥσπερ γὰρ ἀπὸ
τοῦ ἄγω· ἄξω· γίνεται ἄξιος· οὕτω καὶ
ἀπὸ τοῦ ἵκω· ἵξω· γίνεται ἴξιος· γίνε-
ται ἰξίων.

ἰξὸς· παρὰ τὸ ἄξιος εἶναι· κατέχει γὰρ
τὰ ὄρνεα· ἢ παρὰ τὸ ἄγειν· τὰ ὄρνεα
εἰς ἑαυτόν· ἢ παρὰ τὸ ἵκω· ἵξω· ἰξός.

ἰξύι· εἰς τὸ ὀσφύς· οἱονεὶ ἄξυς τις οὖσα.
ἡ αὐτὴ δὲ καὶ ἄκνηστις.

ἰόβακχος· ὁ ἐν τῷ ἰέναι βακχεύων.

ἰοδόκον· ἰοὺς δεχομένη· τουτέστι βέλη.

ἰόμωροι· τοξόται· πολεμικοὶ παρὰ τὸ
μόρον, ὃ σημαίνει τὴν εἱμαρμένην· ἢ πα-
ρὰ τὸ ἐν τοῖς ἰοῖς μεμοιραμένοι. ὥστε τὸ
τρίγληνα ἐμορόεντα· καὶ εἰς τὸ ἕρματα.

ἴον· ἄνθος· ἡ ἔκφυσις τῶν τριχῶν· ἡ δὲ
ὀνομασία ἀπὸ τοῦ εἰς τὰ ἄνω ἰέναι.
τὴν τρίχα· ὡς ἄνθος βλαστάνουσα.
ἰονθὰς λάσιος· ὅσω δασείας· ὅδε γὰρ ἴονθος·
ἀλλ' ὅτι τῶν τριχῶν εἶσα.
ἰνδικτιών· καλεῖται ῥωμαϊστὶ· δέσπισμα.
ἢ μήνυμα. σημαίνει.
ἴξιον· ἡ βοτάνη. εἴτε ὁ κισσός· παρὰ τὸ
ἐξικνεῖσθαι.
ἰξός· Ἡρωδιανός· παρὰ τὸ ἄξειν τὰ ὄρνεα·
ἰξός. ἢ ἵκω. ἰξός. ὁ φθάνων μέχρις ἀνιπ-
-τάμενα τὰ ζῶα· ἤγουν τὰ ὄρνεα· τὸ π̄:
ἰών· πορεύομαι ἔρχομαι μετοχῆς. ἀο-
-ρίστου δευτέρου. σεσημείωται τρία
βαρυνόμενα ἐπὶ τοῦ ἐνεστῶτος. καὶ ὀξυ-
-νόμενα ἐπὶ μετοχῆς. ἔκω. ἐκών. ἕκω
ἕκων. ἔω. ἐών. καὶ ἴω. ἰών. καὶ οἱ μὲν
λέγουσιν αὐτὸ δευτέρου ἀορίστου. οἱ δὲ
ἐνεστῶτος· καὶ παρατατικοῦ.
ἰὸν παραγενόμενον. ὅρα μὴ τὸν τοῦ
ὄρφεως ὧδε ὑπολάβῃς ἰόν· ἀλλὰ τὸ
ἐν τῷ κανόνι τῆς πεντηκοστῆς εἰρημένον.
αὐτοδεσπότως ἰόν· τουτέστι τὸ ἄνευ πνά.
ἵνα ᾖ αὐτοπροαιρέτως.
ἰόπη δι' ἑνὸς π. καὶ διὰ τοῦ ι. ἔστι
δὲ πόλις παλαιστίνης. συστέλλεται
δὲ τὸ ι. εἴρηται δὲ αἰθιόπη τις
οὖσα. κατεῖχον γὰρ αὐτὴν αἰθίοπες.

Ἰορδάνης· ποταμός ἐστι· ἐκ δύο πηγῶν
συνάπτει· ἡ μία ἰὰρ· ἡ δ' ἑτέρα δάν.
καὶ συνετέθει κατὰ συνήθειαν καὶ ἐγέ-
νετο Ἰορδάνης.

Ἴος· ὁ μόνος· πλεονασμῷ τοῦ ō οἶος ἔνθεν
. . . . οὕτως ἡρωδιανός. ἐν ἐπιμερι-
σμοῖς·

Ἰορδάνης· Ἰορδάνου· παρὰ τὸ ἴω· καὶ
τὸ δάνης· ὄνομα ποταμῶν· δύο γὰρ εἰσὶ
ποταμοὶ ἐνταῦθα μεμιγμένοι.

Ἴος· σημαίνει τὸν μόνον· τὰ διὰ τοῦ
ιος δισύλλαβα διαφόρως τονούμενα.
διὰ τοῦ ῑ γράφεται βίος· βιός· θειός.
μυῖος· ὁ ἁπλός· παρὰ Εὐφορίωνι.

Ἰός· σημαίνει τὸ βέλος· παρὰ τὸ ἵημι
τὸ πέμπω· τὸ πρὸς βλάβην ἐκπεμπό-
μενον· ἢ παρὰ τὸν ἰὸν τοῦ ὄφεως.
καὶ γὰρ ἔχριον τὰ βέλη· ἀπὸ τοῦ
ἰοῦ τοῦ ὄφεος· ἵνα τὶ τρωσκόμενος
εὐθέως τις ἀναιρέθη· ἢ παρὰ τὸ ἵεναι
γέγονε· καὶ γὰρ τοὺς τιτρωσκομένους
ποιεῖ πορεύεσθαι εἰς τὸν ᾅδην· τὸ δὲ
ἵεναι διὰ τοῦτο· ἐπειδὴ παρὰ τὸ ἵημι.
καὶ γὰρ λίαν πορεύεται τὸ βέλος· τὸ
δὲ ἵεναι παρὰ τὸ ἵημι ἐστίν.

ἰός. ἀντὶ τοῦ φάρμακον. οἱ γὰρ ἀρχαῖοι
ἐπὶ τοῖς ἰοῖς αὐτῶν φάρμακα ἔβαλλον.
γίνεται δὲ παρὰ τὸ ἵημι τὸ πέμπω.
ἰὸς τὸ πεμπόμενον βέλος.
ἰός. παρὰ τὸ βλαπτικὸς εἶναι. ὥσπερ γὰρ
τὸ ἰὸς τοῦ σιδήρου, οὕτω καὶ οὗτος τοῦ
σώματος. γέγονε δὲ παρὰ τὸ ἵημι. τὸ
πέμπω. ἢ παρὰ τὸν ἰὸν τὸν δηλοῦντα
τὸ φάρμακον τοῦ ὄφεως. καὶ γὰρ ἔχειον
αὐτό.
ἰός. παρὰ τὸ ἰέναι. διὰ τοῦ ἵημι γενο-
μένη γέγονεν. ἐπειδὴ τοὺς τιτρωσκο-
μένους πορεύεσθαι εἰς τὸν ἅδην.
ἰαχὴ καὶ οἶσοι.
ἰοῦ. εἰς τὸ παπαί.
ἰός. παρὰ τὸ ἰέναι. πορευτικὸς γὰρ
ἐστίν.
ἰουδαῖοι. καὶ ἰδουμαῖοι διαφέρουσιν
ἰουδαῖοι μὲν γάρ εἰσιν οἱ ἐξ ἀρχῆς φυ-
σικοί. ἰδουμαῖοι δὲ τὸ μὲν ἀρχῆθεν
οὐκ ἰουδαῖοι. ἀλλὰ φοίνικες καὶ σύροι.
κρατηθέντες δὲ ὑπ᾽ αὐτῶν καὶ ἀναγ-
κασθέντες περιτέμνεσθαι καὶ συντε-
λεῖν εἰς τὸ ἔθνος. καὶ τὰ αὐτὰ νόμι-
μα ἡγεῖσθαι, ἐκλήθησαν ἰδουμαῖοι.

καί ἄλλως. ἰουδαῖοι μέν γάρ ἐξ ἰούδα
τετάρτου παιδός ἰηλ ἐκλήθησαν.
οὗτοι δέ ἐκ γένους εἰσι ἀβραάμ. ἰδου
μαῖοι δέ οἱ ἐκ τοῦ ἤσαυ ἀδελφοῦ
ἰακώβ. παιδός ἰσαάκ. υἱοῦ ἀβραάμ
ἀπόγονοι πεφύκασιν ἐξ ἐδώμ.
ἰόδην ἰούδας. ἀπό τοῦ ὕδας ὁ σημαί
νει τό ἔδαφος. καί πλεονασμῷ τοῦ
ι ἰούδας.
ἰουδαῖοι. ἀπό ἰούδα. φύλαρχου. ἰούδας.
ἰούδα. ὁ καν τά εἰς δας λήγοντα ὀ
νόματα ἀρσενικά. ὑπερ δύο συλλαβάς
ἀποβολῇ τοῦ σ ποιοῦσι τήν γενικήν.
οἷον ἰούδας. ἰούδα. πλακίδες. πλακί
δα. γεννάδας. γεννάδα.
ἰούλιος. ὁ πέπειρος. διά τό τότε μή
ἀπολείπεσθαι τῶν καρπῶν τῶν ψηφί
νων. ἀπό ἰούλου τοῦ αἰνείου τῆς
ἀφροδίτης.
ἴουλος. ἀπό τοῦ ἰέναι ὅλος. ἤ πυκνόν
καί συστραφῆναι. ἤ ἀπό τῆς λειότητος
καί τῆς πορείας.
ἰούνιος. ὁ νεάζων. ὁ νέος.
ἰουλον. παρά τό αἰόλως κινεῖσθαι. ἤ.

παρὰ τὸ ἴουλον τὸ ζῶον. ἰουλεὺς λε-
γόμενοι διὰ τὸ τοὺς ἤδη ταύτας ἔχοντας
ἄρχεσθαι εἶναι ἐπὶ τὸν ἴουλον·
ἴουλος· τὸ ἐπάνω χείλους τὸ γένει-
ον. ὅταν ἐκφύειν ἄρχεται ἡ πρώ-
τη βλάστησις τῶν τριχῶν.
ἰούνιος. ἀπὸ τοῦ χωρισμοῦ τῶν τε
νέων καὶ μειζόνων. μαίορες γὰρ οἱ
μείζονες λέγονται. κατὰ Ῥωμαίους.
ἰουνίορες καὶ οἱ νέοι. καὶ ἐκ τούτου
λέγεται ἰούνιος. ἵνα ἐν τῷ πολέμῳ
οἱ μὲν μείζονες ταῖς βουλαῖς. οἱ δὲ
νέοι τοῖς ὅπλοις τὴν ἑαυτῶν δια-
φυλάττωσι διακράτησιν.
ἰοχέαιρα. ἡ τοξότης. παρὰ τὸ χέειν
τοὺς ἰούς. τοξότης γάρ ἐστιν οἱονεὶ
ἡ τοῖς ἰοῖς ἤγουν βέλεσι χαίρουσα.
ἢ τὸν ἰὸν χέουσα.
ἶπες. εἰς τὸ ἴψ.
ἶπος. σημαίνει τὴν παγίδα τῶν
μυῶν καὶ τὸ πιεσαίειον. διὰ τοῦ ι
δὲ γράφεται. παρὰ τὸ ἴπτω γέγονε
τὸ σημαῖνον τὸ βλάπτω. καὶ γὰρ τοῦτο
τὸ εἶδος φθαρτικόν ἐστι τῶν μυῶν.
ἢ παρὰ τὸ ἴπτω τὸ φθείρω. ἶπος. φθαρ-
τικὸν γάρ ἐστιν ἐργαλεῖον. ἐξ οὗ

καὶ τὸ ἰάπτω. καὶ εἰς τὸ ἱππόβοτον.

ἱππιόθων. ὁ ἀλώπης τῆς κηκιῶνος
παῖς. ὅτι λάθρα αὐτὸν ἐκ ποσειδῶνος
κύουσα ἐξέθηκεν ἵπποις. καὶ αὐτὸν
ἐξεθρέψωσεν.

ἱππόβοτος. ἱπποτρόφος. διὰ τί ἀνέ-
βίβασε τὸν τόνον. γίνεται ἐκ τοῦ
βῶ. βώσω. βωτός. καὶ ἱππόβωτος. τὰ
εἰς τος ὀξύτονα δισύλλαβα ἐν τῇ συνθέ-
σει προπαροξύνονται. οἷον φατός –
ἀρηΐφατος. αἱρᾶτε φῶτα. ἀρηϊφάτους κατέδουσι.
βατός. ἄβατος. ἔνθα μάλιστα βατός
ἐστι πόλις. χωρὶς εἰ μὴ παρὰ συνθέτου
ἐστι διὰ τὸ μέτρον. μετρέσω. μετρη-
τός ἐνίχωρει. τὸ δὲ ἵππος παρὰ
τὸ ἵεσθαι τοῖς ποσί. γράφεται δὲ διὰ
δύο ππ πρὸς ἀντιδιαστολὴν τοῦ ἵπος
τοῦ σημαίνοντος τὴν παγίδα τῶν
μυῶν. δασύνεται. τὸ ι. πρὸ δύο συμ-
φώνων. τὸν αὐτὸν . . . . . . οἷον
ἶλλοι. σημαίνει τοὺς ὀφθαλμούς.
ἴλλας σημαίνει τὸν δεσμόν.

ἱπνός. ὁ χαλκός. ἢ φοῦρνος. καὶ
κλίβανος. ἢ φανός.

ἱππασία. ἐκ τοῦ ἱππάζω. τὸ δὲ
ἵππω διὰ τοῦ ι. ἐπειδὴ τὰ εἰς πτω

λήγοντα ῥήματα ἀποστρέφονται τὴν
ει δίφθογγον. ἰστέον δὲ ὅτι ἀπὸ
τοῦ ἵπτω γίνονται. ἵψω. ἶψα. ἰψά
μην. ἐξ οὗ τό μέγα δ' ἴψαλοι ἀχαιῶν.

ἵππος. σημαίνει τὸν ἵππον. σεσημεί
ωται τὸ ἵππος. ἐκ τῆς συναλοιφῆς.
ἐπέβης ἐφ' ἵππους.

ἱπποδάμοιο. ἵππους δαμάζων. διατί
προπαροξύνεται. αἱ διὰ τοῦ οιο
θετταλικαὶ φωναὶ γενικαί. εἰ μὲν
ἀπὸ περισπωμένων γενικῶν ὦσι.
προπερισπῶνται. οἷον καλοῦ καλοῖο.
εἰ δὲ ἀπὸ βαρυτόνων προπαροξύνον
ται. οἷον ἀλεξάνδρου. ἀλεξάνδροιο.
ἀχράντου ἀχράντοιο.

ἱπποκορυσταί. ὄνομα σύνθετον τοῦ
ἵππος καὶ τοῦ κορυστός. τὸ κορυστὴς
ἀπὸ τοῦ κορύσσω. τοῦτο ἀπὸ τοῦ
κορύω. ἐστὶ δὲ ἐπικαμπὲς τὸ κάλον.
γίνεται οὖν μετὰ τοῦ ἵππος ἱπποκο
ρυστής. καὶ διατί οὐκ ἀνεβίβασε
τὸν τόνον. ἐπειδὴ τὰ εἰς της ὑπὲρ
μίαν συλλαβὴν ἐν τῇ συνθέσει τοῦ
ἁπλοῦ φυλάττουσι τὸν τόνον.
οἷον λῃστής ἀρχιλῃστής. μισοδανιστής
ἐρανιστής. ἀρχερανιστής. χωρὶς τοῦ

ζαλ'

κριτὴς. καὶ ἀληθὴς. δικαιοκρίτης
φιλαλήθης. ὁ κανὼν τὰ εἰς της ἀρ-
σενικὰ μὴ ὄντα συνθετα παρὰ τὸ
κρατῶ.

ἵππος. παρὰ τὸ ἵεσθαι ἢ ἱπτᾶσθαι
τοῖς ποσίν.

ἱππότα. ἱππικώτατον. ἡ εὐθεῖα
ἐστιν ἱππότης. καὶ κατὰ μεταπλασ-
μὸν ἱππότα.

ἱππουρίν. ἐκ τοῦ ἵππος καὶ τοῦ οὐρὰ
ἢ ἐκ ἵππου οὐρᾶς. ἡ εὐθεῖα ἵππου-
ρις. διατί προπαροξύνεται. τὰ
εἰς ρις λήγοντα ὑπὲρ δύο συλλαβὰς διφ-
θόγγω τῇ διὰ τοῦ ῡ παραληγόμενα
ἅπαντα ὀξύνοντα. οἷον .... μολου-
ρίς. σημαίνει δὲ τὴν σιτοφάγον ἀ-
κρίδα. κινοδουρίδας. συνημμένως δὲ
τρία. τὸ λάμπουρις. σημαίνει δὲ τὴν
ἀλώπεκα. καὶ τὸ ἵππουρις. καὶ τὸ
τόμουρις. σημαίνει δὲ ὄνομα πό-
λεως. κλίνεται δὲ ἱππούριδος.

ἱππούρεις. ἐξ ἱππείων τριχῶν ἔχουσα
τὸν λόφον ἤγουν τὸ πρόσωπον τῆς
περικεφαλαίας. ἀνάστημα κόσμου
ἕνεκα.

ἴπτω· εἰς τὸ ἰαπετός. καὶ ἴαψε. καὶ
ἴππος. καὶ ἴψ.
ἱππῶναξ· παρὰ τὸ ἱπποάναξ. γέγονε.
ἶπω σημαίνει τὸ θλίβω· γέγονε δὲ
παρὰ τὸ ἵππος.
ἵεραξ· εἰς τὸ ἱερόν.
ἶρις· τὸ τόξον. ἢ τῶν θεῶν ἄγγελος.
ἢ τὸν θεὸν ἀγγέλλουσα. ἢ ἀπὸ τοῦ
εἴρειν ὃ σημαίνει τὸ λέγειν καὶ προ-
λέγειν. ἢ παρὰ τὸ ἐρεῖν καὶ κινεῖν
τὸν ὄμβρον.
ἴρις· σημαίνει τὸν ἄγγελον καὶ τὸ
τόξον τὸ ἐν τῷ ἐν τῷ ἀέρι γινόμενον.
καὶ ποταμόν. ὡς παρὰ Ἀπολλονίῳ
γεγραμμένον. διὰ τοῦ ι ἐπειδὴ τὰ
εἰς ις δισυλλαβα ἔχοντα διπλᾶ
ἑνὶ φωνήεντι θέλει παραλήγεσθαι.
οἷον χαίρω· χάρις· εἴρω· εἶρις· ὁμοίως
καὶ ἔρις· ἔριδος. ἔρις δὲ κυρίως ἡ
μάχη. ἡ διὰ λόγων γινομένη λέγεται.
ἱρή· ἱερά· μεγάλη· τιμία.
ἱρός σημαίνει τὸ ἱερόν· ἀπὸ τοῦ εἴρω
τὸ λέγω. ἢ παρὰ τὸ ἱερός· ἱερὸς καὶ
κράσει τοῦ ε καὶ ι· εἰς ι μακρόν.
ἴς· σημαίνει τὸ νεῦρον. γίνεται παρὰ

τὸ ἔω τὸ ὑπάρχω. ὁ μέλλων ἔσω.
ἐξ αὐτοῦ ῥηματικὸν ὄνομα ἴς. ὡς
θύσω θίς. καὶ ῥύσω ῥύγχις. καὶ εἰς
τὸ ἀΐδ καὶ βία. καὶ ἐκτινάξας.
καὶ ἶφι. καὶ κινῶ. καὶ μαστίζειν. καὶ
σῖνα.

ἴσαμεν. εἰς τὸ ἴδμεν. καὶ ἴσθι.

ἴσαν. σημαίνει τὸ ἐπορεύοντο. ἔστιν
εἶμι τὸ πορεύομαι. καὶ ἐκ τοῦ εἶμι
βαρυτόνου. καὶ τὸ μὲν πληθυντικὸν
διὰ τοῦ ι γράφεται. ὡς ἀπὸ τοῦ
ἴω διὰ τοῦ ἰῶ. καὶ ὁ παρατατικὸς
ἦν. τὸ πληθυντικὸν ἦμεν διὰ τοῦ η
ἀλλ' ἐπὶ τῶν παρατατικῶν τῶν εἰς
μι. καὶ ἡ παραλήγουσα συστέλλεται.
τὸ τρίτον ἴσαν.

ἴσασι. τὸ ι. τί γράφεις ι διατί.
ἐκ τοῦ ἴσημι τὸ γινώσκω τὸ πλη-
θυντικὸν ἴσαμεν. καὶ ἐν συγκοπῇ
ἴσμεν τὸ δεύτερον ἴσατε καὶ ἐν συγ-
κοπῇ ἴστε. τὸ τρίτον ἴσασιν.

ἰσηκῶ. εἰς τὸ ἀντισηκῶ.

ἴσημι. εἰς τὸ ἴσθημι.

ἴσθι. σημαίνει τὸ γίνωσκε. παρὰ τὸ
ἴσημι τὸ γινώσκω. ὁ μέλλων ἴσω. τὸ

πληθυντικὸν τοῦ ἐνεστῶτος ἴσαμεν.
καὶ τὸ προστακτικὸν ἴσαθι· καὶ συγ=
κοπῇ ἴσθι· καὶ τὸ τρίτον ἰσάτω· καὶ
συγκοπῇ ἴστω.

ἴστω νῦν τόδε γαῖα—

ἴσθι τὸ σημαῖνον τὸ γίνου. ἀπὸ τοῦ
εἰμὶ γέγονεν· οὗ τὸ πληθυντικὸν ἔμεν.
ἀφ' οὗ γίνεται τὸ προστακτικὸν ἔθι.
καὶ πλεονασμῷ τοῦ σ ἔσθι· καὶ τρο=
πῇ τοῦ ε εἰς ι· ἴσθι. ὡς ἔχω· ἴσχω.
τὸ δὲ ἴσθι ὃ σημαίνει τὸ γίνωσκε.
ἐγράφη ἐν συγκοπῇ ἴσθι· τὸ δὲ ἴσαμεν
κατὰ συγκοπὴν ἴσμεν· τὸ δὲ ἔμεν.
σημαίνει τὸ ὑπάρχω· προσλαμβάνον
τὸ σ καὶ γίνεται ἔσμεν.

ἴσθι· σημαίνει τὸ ἔσο γινώσκων.
παρὰ τὸ ἴσημι τὸ γινώσκω· ὁ μέλλων
ἴσω· τὸ πληθυντικὸν ἴσαμεν· ἡ με=
τοχή· ἴσας· ἴσαντος· τὸ προστακτικὸν
ἴσαθι· καὶ κατὰ συγκοπὴν ἴσθι.

ἴσθι· σημαίνει τὸ ὑπάρχω· ἀπὸ τοῦ
εἰμὶ τὸ ὑπάρχω γέγονεν· ἦμεν τὸ
πληθυντικὸν καὶ τὸ προστακτικὸν
ἔθι· καὶ τροπῇ τοῦ ε εἰς ι καὶ πλεο=
νασμῷ τοῦ σ· ἴσθι· καὶ διατί ἐτρά=
πη εἰς ι· τὸ γὰρ ε ἡνίκα πλεονά=
ζει σύμφωνον τρέπεται εἰς ι.

ἴσθμια. ἑορτὴ ἑλλήνων. λέγεται δὲ
καὶ περιτραχήλια καὶ στενά· τοῦ
τραχήλου, διὰ τὸ ἱδιέναι δι᾽ αὐτῶν
τὴν βρῶσιν.

ἴσθμιον. περιτραχήλιον. ἔνθεν καὶ
παρίσθμιαι. διαφέρει δὲ τοῦ ὅρμου
τοῦ ὅρμος. τὸ μὲν γὰρ προσέχεται
τῷ τραχήλῳ. ὁ δὲ ὅρμος κεχάλασται.

ἴσθμια σημαίνει τρία. τὴν ἑορτὴν
τὰ περὶ τὸν τράχηλον κόσμια. καὶ
αὐτὸν τὸν τράχηλον

ἴσθμιον ὁ περιτραχήλιος κόσμος.
ὡς τὸ ἰσθμοῦ περικείμενος. παρὰ
τὸ ἰσθμός. ἴσθμιον. ἴσθμος δὲ ὁ τράχη-
λος. παρὰ τὸ ἱδιέναι δι᾽ αὐτοῦ τὰ
πότα καὶ τὰ βρώματα. ὅθεν καὶ πα-
ρίσθμια.

ἰσθμὸς καὶ πορθμὸς διαφέρει. ἰσθμὸς
μὲν γάρ ἐστι γῆς στενὴς δίοδος ἑκατέ-
ρωθεν θαλάσσῃ περιεχόμενος. πορθ-
μὸς δὲ, στενὸς θαλάσσης πόρος ἑκα-
τέρωθεν ὑπὸ γῆς περιεχόμενος.

ἰσθμός· γῆ μεταξὺ δύο θαλασσῶν.

εἴω τὸ πορεύομαι ἐξ οὗ γίνεται εἶ-
μι. τοῦτο ἐπὶ τῶν πληθυντικῶν
διὰ τοῦ ῑ γράφεται καὶ γίνεται ἴ-

τὸ πρῶτον τῶν πληθυντικῶν ἴμεν.
ἐξ αὐτοῦ ἰμὰ καὶ πλεονασμῷ τοῦ
σ̄. καὶ ἐπενθέσει τοῦ θ̄. ἰσθμός. εἰς
ὃν τις πορεύεται.

ἰσμός· καὶ ἐν πλεονασμῷ τοῦ θ̄ ἰσθμός.
εἰς ὃν τις πορεύεται.

Ἰσμός· καὶ ἐν πλεονασμῷ τοῦ θ̄ ἰσθμός.
ἡ στενὴ ἡ καὶ λεπτὴ ὁδός· ᾗ χρώμεθα
ἄλλης μὴ παρούσης.

Ἰσθμός· καὶ πορθμὸς διαφέρει· ἰσθμὸς
μὲν γάρ ἐστιν ἡ στενὴ ὁδός· ἠπείρου
ἀμφιθάλασσος· πορθμὸς δέ· στενὸς
πλοῦς· καθ' ἑκάτερον μέρος ἠπείρους
ἔχων.

Ἶσις· ὄνομα δαίμονος διὰ τοῦ ι δὲ
γράφεται.

Ἶσις· παρὰ τὸ ἴσον· ἡ αὐτὴ γάρ ἐστι
τῇ γῇ· ἥ ἐστι σφαιροειδής.

Ἰσόπαλι· ἴσα ἐν κλήρῳ· πάλος δὲ ὁ
κλῆρος

Ἰσοσθενής· ἐκ τοῦ ἴσος καὶ τοῦ σθένος
γίνεται ἰσοσθενής· τοῦτο ἐκ τοῦ ἰσοσθε-
νὴς ἀρσενικοῦ.

Ἰσομοιρία· ἐκ τοῦ ἴσος καὶ τοῦ μοῖ-
ρα· τιμᾶται οὖν παρὰ τοῖς Αἰγυπτίοις.
οἱ μὲν λέγουσιν ὅτι αὐτή ἐστι τῇ γῇ.

ἐπειδὴ παρὰ τὸ ἵεσθαι ἐστί· πολλὰ γὰρ ἐπλανήθη ἡ ἰὼ μεταβληθεῖσα εἰς βοῦν.

ἰσόδωρος· παρὰ τὸ ἶσος καὶ τὸ δῶρον.

ἶσος διὰ τοῦ ῑ· εὑρίσκεται γὰρ συσταλμένη ἡ ἄρχουσα· καί ἐστιν εἰπεῖν, ὅτι παρὰ τῷ ποιητῇ· ἀεὶ ἐκτείνεται τὸ ῑ· οἷον.

ἶσος ἐνυαλίῳ κορυθαϊκι πολεμιστῇ καὶ πάλιν· ἶσος ἄρηϊ· παρὰ δὲ τοῖς ἄλλοις τοῖς ἐποποιοῖς εὑρίσκεται συνεσταλμένον τὸ ῑ· ὡς παρὰ Καλλιμάχῳ· ἤλασε κἠμερῶ φαράγγων ἶσον. παρὰ δὲ τοῖς τραγικοῖς συστολῇ τοῦ

β. ῑ· οἷον παρὰ εὐριπι... πολεμίοισιν ἀντιθεὶς· ἴσον δὲ παρὰ τοῖς κωμικοῖς σπανίως εὑρίσκεται ἐκτεινόμενον τὸ ῑ.

ἰσόρροπον πόθεν ποιεῖς· παρὰ τὸ ἶσον καὶ τὸ ῥέπω τὸ ὁρμῶ γίνεται ἰσορρέπον· καὶ τροπῇ τοῦ ε εἰς ο ἰσόρροπον. σοβαρεῖς. ἀκλινεῖς γίνεται δὲ παρὰ τὸ ῥέπω.

ἶσος ὁ ὅμοιος· τὸ ῑ κατὰ μὲν τὸν

ποιητὴν μακρόν· κατὰ δὲ τοὺς πε-
ζολόγους βραχυκατάληκτον. κατὰ
δὲ ἰαμβικοὺς ἐπαμφοτερίζει. ἴδως
δὲ ὁ ποιητὴς· Δωρικῶς ἐκτείνει τὰ
δίχρονα. ὡς τὸ ὕδωρ καὶ ἰλὺς κεῖσθαι.
ὑπ' ἰλύος. καὶ ἄρης· ἄρης.
Ἰσόψυχος· ἐκ τοῦ ἴσος καὶ τοῦ ψυχή.
Ἰσραήλ· ἔστιν ἴς· ἰνός· καὶ σημαίνει
τὴν δύναμιν. καὶ ὁρῶ τὸ βλέπω.
καὶ ἢλ λέγεται παρ' ἑβραίοις ὁ θεός
ἰσραὴλ δὲ ὁ μετὰ δυνάμεως βλέπων
τὸν θεόν. ἢ νοῦς ὁρῶν τὸν θεόν.
ἰσραηλίτης ὁρῶν τὸν θεόν.
Ἴσος· παρὰ τὸ ἴημι. τὸ πορεύομαι
ὁ μέλλων ἴσω. καὶ ἐξ αὐτοῦ ἴσος.
ὁ τοῖς λοιποῖς ἀκολουθῶν. ἢ ἴσος
διὰ τοῦ ῑ. ὤφειλε διὰ διφθόγγου
παρὰ γὰρ τὸ εἴδω. τὸ σημαῖνον τὸ
ὁμοιῶ καὶ ὅμοιος ἑτέρῳ τινί. πολλὰ
γὰρ εἰσὶν ὀνόματα.
Ἴστε. ἐπίστασθε. γινώσκεται. οἴδατε.
ἐκ τοῦ ἴσατε. καὶ συγκοπῇ ἴστε.
Ἴσμι. ἴσω. καὶ ὁ παρατατικὸς ἴσην.
ἴσης καὶ ὤφειλε δὲ τὸ προστακτικὸν
ἴσαθι. ὡς ἐκ μετοχῆς τοῦ πρώτου
προσώπου τῶν πληθυντικῶν. ἀλλ'

οἱ Αἰολεῖς μιμοῦνται τὰ εἰς ω καὶ
ποιοῦσιν ἐξ αὐτοῦ ἥγνω διὰ τοῦ πα-
ρῳχημένου· ἢ ἀπὸ τοῦ ἵστω· τὸ προσ-
τακτικὸν ἵστα καὶ ἱστῇ· ἵστας δεύτε-
ρον πρόσωπον· ἵστην τρίτον·
ἵστημι εἰς τὸ ἴτω·
ἰστέον δὲ τοῦτο εἰς ἀρχὴν λόγου γράφε-
ται·
ἱστία· τὰ ἄρμενα παρὰ τὸ ἵζω· ῥῆμα
οὗ ὁ μέλλων ἵσω· καὶ ἐξ αὐτοῦ ὄνομα
ῥηματικὸν ἱστός· καὶ ἱστία· καὶ ἵστιον.
ἱστός· τὸ κατάρτιον τῆς νηός· καὶ
ἱστὸς· τὸ ἱστάριον·
ἱστοριογράφος· συγγραφέως διαφέρει.
καὶ ζωγράφος· καὶ ἀμφότεροι πεζῷ
χρῶνται λόγῳ· ἱστοριογράφος μὲν ἐστιν
ὁ τὰ πρὸ ἑαυτοῦ συγγραφόμενος· ὡς
Ἡρόδοτος· συγγραφεὺς δὲ ὁ τὰ ἀφ'
ἑαυτοῦ, ὡς Θουκυδίδης· ζωγράφος
δὲ ὁ ζώων εἰκόνας γράφων·
ἱστός· ἀπὸ τοῦ ἀεὶ ἑστάναι· ὅθεν
καὶ στῦλος·
ἰσχάδες· παρὰ τὸ ἰσχνῶ· ἰσχνάδες καὶ
ἰσχάδες ὅμηρος·
ἰσχανόων· σημαίνει τὸ ἐπιθυμῶν·
διὰ τοῦ ι· γράφεται· ὥσπερ ἀπὸ τοῦ

φῶ· γίνεται φαίνω. οὕτω καὶ ἀπὸ
τοῦ ἰχνῶ γίνεται ἰχάνω. καὶ ἰχανόων.
ἰχανῶ σημαίνει τὸ ἐπιθυμῶ. καὶ γὰρ
τὸ ε πολλάκις ἐν τοῖς εἰς κω βαρυν
ἐπιφερομένων δύο συμφώνων τρέ-
πεται εἰς ι· ὡς τέκω τίκτω. οὕτω
καὶ ἔχω ἴχω. καὶ ὥσπερ ἀπὸ τοῦ
φῶ γίνεται φαίνω καὶ παμφαίνω.
καὶ ἐκεῖθεν ὁ μέλλων παμφανῶ. οὕτω
καὶ ἀπὸ τοῦ ἰχνῶ γίνεται ἰχαίνω.
καὶ ἐκεῖθεν ὁ μέλλων ἰχανῶ. ἀποβλη-
θέντος τοῦ σ καὶ ἐκτεθέντος τοῦ
ι. ἰχάνω. καὶ ὥσπερ ἀπὸ τοῦ εἴρω
ὁ μέλλω ἐρῶ. καὶ μετάγεται εἰς ἐνεστῶ-
τα. ἐξ οὗ καὶ ἐρῶ ὁ ἐνεστὼς γίνεται.
εἴρηκα παρακείμενος. τὸν αὐτὸν τρό-
πον καὶ ἰχανῶ μέλλων ἅμα τῇ ἀπο-
λῇ τοῦ σ· μετάγεται εἰς ἐνεστῶτα.
ἰχίον. τὸ ὄπισθεν μέρος. τὸ ὑπὸ τὴν
ὀσφῦν ὀστέον. εἰς ὃ ἔγκειται τὸ ἱερὸν
ὀστοῦν. τὸ κοῖλον. ὅπου ἡ κοτύλη
στρέφεται. ἢ τὸ ὑπὲρ ἄνω τῶν μη-
ρῶν κοῖλον ὀστοῦν. εἰς ὃ μένει τὸ
ἄκρον τοῦ μηροῦ. ὅπερ καὶ γλουτὸς
καλεῖται. καὶ κοτύλη. παρὰ τὴν
κοιλότητα. κοτύλαι γὰρ αἱ ἐν ταῖς
κοιλότητες. εἰς ἃς αἱ κεφαλαὶ τῶν

μαστῶν ἁρμόζονται.

ἰσχύς παρὰ τὸ ἔχω τὸ κρατῶ· πλεο-
νασμῷ τοῦ σ̄ ἰσχῶ. ἢ παρὰ τὸ ἰσχύω.
ἰσχύσω· ἰσχύς

ἰσχάς· ἀπὸ τοῦ προβαίνειν πρῶτον
γάρ ἐστιν.

ἰσχάς ἀπὸ τῆς ἰσχύος· ἐπειδὴ μετὰ τὴν
κρεωδοβίαν δοθῆναι τοῖς Ἀθηναίοις
ἐχρῶντο τῇ ἰσχάδι.

ἰσχὸς ἔτι δέ· τὸ κατισχνωμένον σῦκον.
ἔστι δὲ καὶ βαρεῖα τροφή· ἢ ὅτι ἕως
τούτου προβαίνει ὁ καρπός· πρῶτον
γάρ ἐστιν ὄλυνθος· εἶτα φῆλιξ· εἶτα
σῦκον· καὶ λοιπὸν ἔσχατον ἰσχάς· ἢ ἰσχνὴν
ποιοῦσα τὴν αὔξησιν· φθινοποπόρω γάρ
ἐστι.

ἰσχάς· παρὰ τὸ ἴσχω τὸ ξηραίνω· τὸ
παράγωγον ἰσχναίνω. ἰσχνάδες· καὶ ἰσχάδες.

ἰσχίον· ὅτι ἴσχει τοὺς καθημένους· καὶ
εἰς τὸ κατίσχιον.

ἰσχνόν θαλπεινόν ἢ σαπρόν. καὶ εἰ μὲν
σημαίνει τὸ θαλπεινόν· γίνεται παρὰ
τὸ ἴκνω· τὸ εὐφραίνομαι. εἰ δὲ τὸ σα-
πρόν· παρὰ τὸ ἵημι τὸ πέμπω.

ἰσχυρός· ὁ ἰσχύειν καὶ ἀντέχειν δυνά-
μενος· τὸ χῦ ψιλόν· διατί· τὰ διά

τοῦ ὕρος ὀνόματα ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ῡ ψιλοῦ γράφεται.

Ἴσχω· εἰς τὸ αἴσχιστος· καὶ ἴσχυος· καὶ ἴσχυε· καὶ μίμνω.

Ἴσχω· πόθεν γίνεται· ἐκ τοῦ ἔχω· καὶ διὰ τί οὐκ ἐτράπη· εἰς τὴν ει δίφθογγον· ἀλλ' εἰς ι· ἐπειδὴ τὸ ε· ἡνίκα πλεονάζει σύμφωνον τρέπεται εἰς ι. οἷον ἔχω· ἴσχω· μένω· μίμνω· πέκω καὶ πικρός.

Ἰσχύς· παρὰ τὸ ἴσχω· τὸ σημαῖνον τὸ ἀντέχειν καὶ δύνασθαι· ἢ παρὰ τὸ ἰσχύω τὸ κρατῶ· ἐξ οὗ τὸ διισχυρίζω τὸ διὰ λόγου κρατῶ

Ἰσχνότης· ὀλιγοσαρκία· φθίνει τὸ σῶμα ὀλιγοσαρκεῖ.

Ἰταλὸς καὶ Ἰταλιώτης διαφέρει· Ἰταλοὶ μὲν γάρ εἰσιν οἱ ἐξ ἀρχῆς τὴν χώραν οἰκοῦντες· Ἰταλιῶται δὲ ὅσοι τῶν Ἑλλήνων ᾤκησαν μετ' αὐτῶν· τὸ αὐτὸ καὶ ἐπὶ τῶν σικελῶν καὶ σικελιωτῶν.

Ἴτε εἰς τὸ ἀπρόσιτον.

Ἰτέα· διὰ τοῦ ι γράφεται παρὰ τὸ ἰέναι· καὶ γὰρ ταχέως αὔξεται· τὸ δὲ ἰέναι· διὰ τοῦ ι· ἐπειδὴ παρὰ τὸ ἴημι ἐστιν· ἐπεὶ δέδεικται διὰ τοῦ ι.

ἰτέον· πορευτέον· ἔστι δὲ ἐπίρρημα ποιότητος· ἐκ τοῦ εἶμι ῥήματος, ὁ δεύτερος ἀόριστος ἶον· ἡ μετοχὴ εἶς ἔντος· καὶ τὸ προστακτικὸν ἴθι· καὶ τροπῇ τοῦ ε εἰς τ. ἴθι. καὶ ἐξ αὐτοῦ ἰθέον. καὶ τροπῇ τοῦ θ ἰτέον ὡς. συντάσσεται μετὰ δοτικῆς καὶ αἰτιατικῆς πλαγίως.

ἰτός· εἰς τὸ ἀπρόσιτον.

ἰτρίον· ἀπὸ τοῦ ἰέναι· ἐπὶ λεπτὸν γὰρ ἕλκεται.

ἰτέαις· παρὰ τὸ ἰτός· ὃ σημαίνει τὸν πορευτόν. ὁρμητικὸν γὰρ τὸ φυτόν.

ἴτυς· ἡ περιφέρεια τοῦ τροχοῦ· ἢ ἀψίς.

ἰταμύριον ὄρος.

ἴτω· ὄνομα κύριον· διὰ τοῦ ι.

ἴτυς· σημαίνει τὸν πλούσιον καὶ τὸν πένητα.

β. ἰυγῇ· βοῇ· φωνῇ· καὶ ἰύζειν· τὸ βοὴν καὶ κραυγὴν ποιεῖν. λέγεται δὲ καὶ σφιγγὸς ἴυγξ· σημαίνει δὲ ᾠδήν. καὶ ἰυγμὸς φωνὴ καὶ συριγμός· καὶ ὅμηρος ——— οἳ δ᾽ ἰύζοντες ἕποντο. τουτέστι συρίζοντες.

Ἴφθιμος· ὁ ἰσχυρός· ὁ μὲν Ἡρόδοτος
σύνθετον αὐτὸ λέγει· οἱ δὲ λοιποὶ
δυσχερίζονται λέγοντες ἁπλοῦν αὐτὸ
εἶναι· ὥσπερ παρὰ τὸ πρωΐ, πρώϊμος·
καὶ ἄνθος· ἄνθιμος· καὶ ὀψέ· ὄψιμος·
οὕτω καὶ παρὰ τὸ ἶφι· ἴφιμος· καὶ
πλεονασμῷ τοῦ θ· ἴφθιμος· τὸ ι συστέλ-
λεται· κανὼν γάρ ἐστιν ὁ λέγων· τὸ [illegible]
ι πρὸ δύο συμφώνων κατ' ἀρχὴν συστέλλε-
ται· χωρὶς εἰ μὴ ἐγκλίσει ῥήματος·
διὰ τὸ ἱδρωθεὶς· ἰδεῖς· ἴσας· προσκεῖ-
ται εἰ μὴ ἐγκλίσει ῥήματος· διὰ τὸ
ἱππεύσω· καὶ ἵστημι· ἵστην· τὰ δὲ παρὰ
τὸ ἶφι εἴτε παρηγμένα εἴτε συντεθει-
μένα ἅπαντα ἐκτείνονται· οἷον ἰφιγέ-
νης· ἰφιγένειον· ἰφικλῆς· ἴφικλον·
Ἴφθιμος· παρὰ τὸ ἶφι· καὶ τὸ θυμός·
ὁ ἰσχυρόψυχος· καὶ γενναῖος·
Ἴφθιμος διὰ τοῦ ι· ὥσπερ ἀπὸ τοῦ
ἄνθος· ἄνθιμος· καὶ κῦδος· κύδιμος· οὕτω
καὶ παρὰ τὸ ἶφις ἴφιμος· τοῦ θ ..
.. καὶ ὁ χρόνος ὑπερβιβάσθη· καὶ
ἡ μὲν ἀρχαία θέσει μακρά ἐστιν· ἡ δὲ
παραλήγουσα φύσει· τινὲς δὲ λέγουσιν
ὅτι σύνθετον ἐστὶ· παρὰ τὸ ἶφι καὶ
τὸ θυμός· ἰφίθυμος· εἰ γὰρ ἦν σύνθε-
τον ὤφειλεν εἶναι κοινὸν τῷ γένει·

χωρίς. εἰ μηδὲν πλέον σημαίνει τοῦ
ἁπλοῦ ὁ πάνσοφος. καὶ ἡ πάνσοφος.
ὁ φιλόσοφος καὶ ἡ φιλόσοφος.

Ἶφι. σημαίνει τὸ ἰσχυρῶς. ὥσπερ
ἀπὸ τοῦ νόσος γίνεται νόσοφι. καὶ
κατὰ συγκοπὴν νόσφι. οὕτως ἀπὸ
τοῦ ἴς ἰνός. ὃ σημαίνει τὴν δύναμιν,
γίνεται ἰνόφι. ἐπὶ δὲ τοῦ ἶφι κατὰ
ἀντίφρασίν ἐστι. σημαίνει τὰ ἀσθενῆ
καὶ οὐ τὰ ἰσχυρά.

Ἶφις. ὄνομα κύριον διὰ τοῦ ι γράφε-
-ται. παρὰ τὸ ἶφι γάρ ἐστι. πάντα δὲ
παρὰ τὸ ἶφι διὰ τοῦ ι γράφεται.
οἷον ἰφιμέδουσα. ἰφιγένεια. ἤ τῷ
λόγω τῶν βιβλίων

Ἰσχανῶ οἷον ἰσχανόων. φιλότητος.
σημαίνει τὸ ἐπιθυμῶν. παρὰ τὸ
λίαν ἔχεσθαι γέγονεν. ἰχανῶ καὶ
προσθέσει ἰσχανῶ. ἢ τὸ σ ἀνίκα πλεονά-
-ζει σύμφωνον. καὶ ὥσπερ ἀπὸ τοῦ
φῶ γίνεται φαίνω καὶ παμφαίνω
καὶ ἐκτέθην ὁ μέλλων παμφανῶ.
οὕτω καὶ παρὰ τὸ ἴσχω. ἰσχαίνω
καὶ ὁ μέλλων ἰσχανῶ. καὶ ὥσπερ τὸ
γινώσκω ἅμα τῇ ἀποβολῇ τοῦ γ
ἐξετάνθη τὸ δίχρονον καὶ μετῆλθεν

ἢ θέσει μακρὰ εἰς τὴν φύσιν. οὕτως
ἀπὸ τοῦ ἰχανῶ μέλλοντος γίνεται
ἰχανῶ ἀποβληθέντος - - - καὶ
ἐκταθέντος - - - καὶ μετάγε-
-ται ὁ μέλλων εἰς ἐνεστῶτα. καὶ γίνεται
ἰχανῶ ἐνεστώς. ὡς παρὰ τὸ εἴρω. ἐρῶ.
γίνεται ἐν τῷ μέλλοντι. ἐξ οὗ ὁ εἴρη-
-κα παρακείμενος.

Ἶφις. ὁ τύφος. παρ' Αἰσχύλῳ εἴρηται ἶφις.

Ἰχθύς. παρὰ τὸ ἰθύειν ἰθύς. ἰθύς τις
ὤν. καὶ πλεονασμῷ τοῦ χ ἰχθύς.

Ἴχνος. παρὰ τὸ ἰχνεῖν ὅ ἐστι συνέχειν
ὅλον τὸν πόδα. ἢ ἀπὸ τοῦ ἀνέχεσθαι
τῆς γῆς. οὕτως ὠρίων.

Ἴχνιον. ἴχνος, πάτημα. παρὰ τὸ ἵξω
ἶγμαι. ἴχνιον. ὡς παίζω. παίγνιον.
τὰ γὰρ ἀπὸ μακρᾶς ἀρχόμενα. ἔχει
παροξυτονούμενα τὰ ὑποκοριστικά.
οἷον τυρός. τυρίον. ξένος. ξενίον.
τεῖχος. τειχίον. τὰ δὲ ἀπὸ βραχείας
οὐκ ἔτι φάκος. φάκιον. λόγος. λογίον.
ῥάκος ῥάκιον. κάνος. κάνιον. οὕτως ἴχνος,
ἴχνιον. ὡς βραχύ.

Ἰχώ. —— ἀπ' ἰχῶ χειρὸς ὁμόργνυ.
ἔστιν ἡ εὐθεῖα ἰχώρ. ἡ γενικὴ ἰχῶρος.
ἡ αἰτιατικὴ ἰχῶρα. καὶ κατὰ ἀποκο-
-πὴν ἰχῶ. ὡς ποσειδῶνα ποσειδῶ.

Ἰώ. ἰὼ ἤματι. ἡ εὐθεῖα ἀντὶ τοῦ μόνου. καὶ ἡ γενικὴ ἴου. παροξυτόνως. ἡ δὲ δοτικὴ. ἰῷ περισπωμένως. πᾶσα γὰρ δοτικὴ ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς φυλάττει. σεσημείωται τὸ ἰῷ. οὕτως ὁ χοιροβοσκός.

Ἰωγή. ἡ σκέπη. βορέω ὑπ' ἰωγῇ. ἀπὸ τοῦ ἰέναι τὸ γὰρ σκέπον ἐπὶ πᾶν ὃ σκέπει ἵεται. καὶ ὑπίωγαι δὲ αἱ ὑποσταὶ καὶ σκέπαι.

Ἰωή. σημαίνει τὴν πνοὴν παρὰ τὸ ἵημι. ἰή. καὶ πλεονασμῷ τοῦ ω ἰωή. καὶ ἡ φωνή. παρὰ τὸ ἰῶ γίνεται ἰωή καὶ ἡ φωνή. ἡ διικνουμένη εἰς γῆν. ὠρείων.

Ἰωκὴ ἡ δίωξις. παρὰ τὸ διώκω διωκή. καὶ ἀποβολῇ τοῦ δ. ἰωκή οὕτως ὠρ(ος). σημαίνει δὲ καὶ τὴν ἀπειλήν.

Ἴωξις. ὡς ἀπὸ τοῦ λέγω λέξις γίνεται καὶ ὡς ἕξω. ἕξις. καὶ ἀπὸ τοῦ διώκω, διώξω. δίωξις καὶ ἀποβολῇ τοῦ δ ἴωξις.

Ἰῶτα. ἰστέον ὅτι τὸ ἰῶτα καὶ ἰάσων τινὲς ἐν συλλήψει λέγουσιν εἶναι. ἔστι δὲ ἀνατρέψαι αὐτούς. ἐπειδὴ τὰ ὑποταττόμενα τινὶ ἐν συλλήψει. ἐὰν

ἀντιπροηγήσονται ἐν διαστάσει. θέλουσι
προηγεῖσθαι. οἷον πρῶτος. ἕρπω.
εἰ ἄρα ὅσω τὸ ῑ ὑποτέτακται τοῦ ᾱ καὶ
τοῦ ω̄· κατὰ σύλληψιν· οἷον τῷ κοχλία.
τῷ καλῷ· δηλονότι ἀντιπροηγησάμε-
-νον αὐτὸν ἐν τῷ ἰῶτα. καὶ ἰάρδανος.
καὶ ἰὰς κατὰ διάστασιν αὐτοῦ ἀντι-
-προηγήσαντο. δεῖ δὲ γινώσκειν ὅτι
τὸ ῑ καὶ τὸ καὶ τὸ ῑ τότε δεῖ πρεισίζειν,
ἡνίκα προηγεῖται αὐτῶν φωνῆεν
προστακτικόν. οἷον ἀΐω. δημοσθένει.
ὁ Ἰωάννης. τοῦτο δὲ γίνεται ἵνα μὴ
νομισθῇ εἶναι δίφθογγος. ὅτε δὲ οὐ
προηγεῖται προστακτικὸν φωνῆεν.
οὐ δεῖ πρεισίζειν αὐτό. οἷον ἰαχή.
ὕλη. τὸ δὲ ῑ παράγωγον ἐστί. μο-
-νόγραμμα γάρ ἐστι. ἀλλὰ κατὰ παρα-
-γωγὴν ἰῶτα γίνεται.

Ἰωχμός· δίωξις· τάραχος· παρὰ τὸ
διώξω. διωγμός. καὶ τροπῇ τοῦ γ̄
εἰς χ̄. καὶ ἀποβολῇ τοῦ δ̄ ἰωχμός.
ἐξ οὗ θετταλική γενική ἰωχμοῖο. ὡς
παρ' Ἡσιόδῳ ἐν θεογονία.

Ἀσπέτου ἰωχμοῖο βολάων τε κρατεράων.
σημαίνει δὲ καὶ τάραχον.

Ἰσοδόκη· τὴν ὑποδεχομένην τὸν ἴσον θήκην.

ἰσχάδες· τὰ λεπτωθέντα σῦκα ἐν τῷ
ξηραίνεσθαι· παρὰ τὸ ἴσχω παράγωγον
ἰσχνῶ· καὶ ἐξ αὐτοῦ ἰσχνάδες· αἱ λεπταί,
ἀποβολῇ τοῦ ν· ἰσχάδες. καὶ

ἀπ' αἰγείρου ἰσχάδα τρώγοις.

ἰσχανόωσι· σημαίνει τὸ κατέχουσι
καὶ κωλύουσι·

τὸν [δοῦ] γάρ τε γέφυραι σεεργμέναι ἰσχανόωσιν.

ἀπὸ τοῦ ἔχω τὸ κρατῶ πλεονασμῷ τοῦ
σ· ἴσχω. τὸ γὰρ ε πλεονάζοντος συμφώνου
τρέπεται εἰς ι· καὶ παράγωγον ἰσχάνω.
ἰσχία· ὅτι ἴσχει τοὺς καθημένους· σημαί-
νει τὸ ὑπὸ τῶν ὀστέων· εἰς ὃ ἔγκειται
τὸ ἱερόν· ὅπερ καὶ γλουτὸς καλεῖται.
καὶ κοτύλη παρὰ τὴν κοιλότητα.
ἴσμα· ἵδρυμα· παρὰ τὸ ἵζω.
ἶσος· ὅμοιος· ἐξ ἴσου παρὰ τὸ εἴδω· τὸ
ὁμοιῶ· ὁ μέλλων εἴσω· ῥηματικὸν
ὄνομα ἶσος· καὶ ἀποβολῇ τοῦ ε.

ἦ μὲν σοί ποτε ἶσον ἔχω γέρας.

ἵσαο ὥσπερ παρὰ τὸ ἐφάμην· ἔφασο.
γίνεται φάο· κατ' ἔνδειαν τοῦ σ· οἷον
ἐπέφαο καὶ μάρναο· ἀντὶ τοῦ μάρνασο
καὶ ἔσσυο ἀντὶ τοῦ ἔσσυσο· οὕτω καὶ
ἵσαο· ἵσασο· περισπᾶται.
ἵστη· ποικίλον ἐστίν. οἱ μὲν λέγουσιν, ὅτι

ἀποκοπὴ γίνεται τῶν εἰς θι προστακτι-
κῶν. ἐπαύξησις ἀκολουθεῖ. οἷον ἵσταθι.
καὶ κατὰ ἀποβολὴν ἵστα. καὶ ἐκτάσει
ἵστη.

μέγεθος δ᾽ ὅς ἵστη τόδε

μείζονα δὴ κρατῆρα Μενοιτίου υἱὲ καθίστα.
ἀντὶ τοῦ ἐντρέπιζε. ἐὰν μὲν βραχέα
ἀποκοπή ἐστιν. ἐὰν δὲ κατ᾽ ἔκτασιν.
ἀπὸ τοῦ ἱστῶ. ἱστᾶ. ὡς βοῶ βοᾶ. οὕτω.
φιλῶν καὶ τρυφῶν. λέγομεν δὲ ἡμεῖς.
ὅτι ἐπὶ τῶν εἰς ω ῥημάτων. ἀλλὰ
καὶ ἐπὶ τῶν εἰς μι. τὰ τρίτα πρόσω-
πα τῶν παρατατικῶν. δεύτερα πρό-
σωπα τῶν προστακτικῶν γίνεται. οἷον
νόει. φίλει. βόα. οὕτω οὖν καὶ οἱ Ἀττικοὶ
ἐὰν μὴ χρήσωνται τῇ θι καταλήξει.
χρῶνται τοῖς τρίτοις προσώποις τῶν
παρατατικῶν. ἐν τοῖς προστακτικοῖς.
οἷον ἐτίθην. ἐτίθης. ἐτίθη. τίθη.
ἐμπίπλην. ἐμπίπλης. ἐμπίπλη. πίμ-
πλη. καὶ τοὺς κοφίνους ἅπαντας ἐμ-
πίπλη πλῆ. ἵστη. ἵστη δὲ μέγα κῦμα ποτίρροον.
ὅτι τὰ τοιαῦτα καὶ δωρικά ἐστιν. οἱ
γὰρ Δωριεῖς λέγουσι πίμπλη. οἷον
πίμπλη κοικόα. καὶ γὰρ τὸ ὅρα ὥρη
λέγουσιν. οὕτω πίμπλα. πίμπλη. καὶ
τοὺς κοφίνους ἅπαντας ἐμπίπλη πλῆρ.

Ἡρωδιανὸς περὶ παθῶν.

ἴον· ὥσπερ παρὰ τὸ σφὴξ σφηκὸς γίνεται σφηκίον· σημαίνει δὲ τὸν μικρὸν σφῆκα

ἶνις σημαίνει τὸν νέον υἱόν· τὸ βρέφος. παρὰ τὸ ἴς· ἰνὸς γέγονεν ἶνις· δύναμις γάρ ἐστι καὶ τῶν πατέρων οἱ υἱοί· καὶ οἱ πατέρες τῶν υἱῶν· ἢ παρὰ τὸ ἰαίνειν. γέγονε· καὶ γὰρ τὰ τέκνα τοὺς πατέρας εὐφραίνουσιν.

ἱμονιά· σημαίνει τὸ δέρμα· εἰς ὃ ἀντλοῦσι τὸ ὕδωρ· παρὰ τὸ ἱμάς, ἱμάντος. γέγονε· τὸ δὲ ἱμὰς διὰ τοῦ ι γράφεται. ἐπειδὴ συστέλλεται τὸ ι· ὡς παρὰ τῷ ποιητῇ· — καὶ τὸ ἀνιμῶμαι. διὰ τοῦ ι γράφεται· παρὰ τὸ ἱμὰς γὰρ ἱμάντος γέγονεν· οἷον ἱμὰς ἱμῶ· ἀνιμῶ. οἱ γὰρ Ἀχαιοὶ διὰ τὸ μὴ κλᾶσθαι τάχα τὰ ἀγγεῖα· ἐκ δερμάτων αὐτὰ ἤγουν ἀσκοὺς κατεσκεύαζον· ἱμῶ οὖν καὶ ἀνιμῶ τὸ ἄνω ἀναλέγομαι· καὶ πάλιν

— ἱμάντα σοῦς ἀπέλυσε κορώνη.

ἱμάντα λέγει τὸ ἐπιζύγωμα τῆς θύρας ὅθεν ἐστὶ σανίδιον ἄνωθεν ἐφηλωμένον ταῖς θύραις. Ἀθηναῖοι τοῦτο καλοῦσιν—

ἐπιζυγῶσαι. κορώνη δὲ τὸ λεγόμενον
ἐν τῇ βοιωτίᾳ κοράκιον.

Ἱερὸν ἰχθύν. τινὲς παρὰ τὸ διαίνω διερός.
καὶ ἱερὸν τὸν ἀεὶ ἐν ὕδασι βρεχόμενον.
κατὰ ἀποβολὴν οἷον· ἢ θή τοι μὲν διερῷ ποδί.
οἱ δὲ παρὰ τὸ δίω· τὸ διώκω· διερὸς καὶ
ἱερός· ὁ ταχύς· διωκτικὸς γάρ· οὕτως
Ἡρωδιανός· ἐν τῷ περὶ παθῶν. ὁ δὲ ὠρίων.
ἱερὸν ἰχθὺν τὸν μέγαν. ὥσπερ καὶ ἱερὸν
ὀστοῦν. τὸ δὲ μέγα ἱερὸν ἔλεγον οἱ πα-
λαιοί.

Ἱερὸν ὀστοῦν τὸ ἄκρον τῆς ὀσφύος. οὕτω γὰρ
κέκληται. ὅτι μέγα ἐστί. τὸ δὲ μέγα ἱερὸν
ἔλεγον οἱ παλαιοί. ὡς ἱερὸν ἰχθὺν τὸν
μέγαν. ἢ ὅτι κρεῖον ἐστί. παθ(ητικὸν) γὰρ ἀναι-
ρεῖ. ἢ ὅτι ἱερουργεῖται. τοῖς θεοῖς. καὶ
παρὰ μενάνδρῳ. ὀσφῦν ἄκρον θύσαντες.

Ἱερὸν τέλος. τὸ μέγα τάγμα λέγουσιν οἱ
γλωσσογράφοι. ὡς ἱερὸν ἰχθὺν τὸν μέγαν.
ἱερὸν μὲν οὖν τέλος λέγεται τὸ θεῖον
τάγμα. ἱερὸν δὲ ἰχθὺν τὸν ἀγρευτόν·
ὡς ἱερὸν βοῦν ἀπὸ τοῦ ἵεσθαι.

Ἴηλα ἐσσεύμεθα. ἀπὸ τοῦ εἴλω.

Ἰητήρ. ἐκ τοῦ ἰῶ. ἰῆμι. ἰητήρ ὁ
ἰώμενος.

Ἰθύνω. παρὰ τὸ ἰθύς. ἰθύνω. σημαίνει

δὲ τὸ ὁδηγῶ. αὐτὴ δ' αὖτ' ἴθυσεν.

ἴθυσας. ἀντὶ τοῦ ἐπ' εὐθείας ὥρμησας, ἀπὸ τοῦ ἰθύς. ἰθύνω.

ἰθείας. ἐπευθείας. ὀρθῶς. ἀπὸ τοῦ ἰθύς. ἰθεία.

ἰθύς παρὰ τὸ ἴενμι. γέγονεν. ἰθύς γρά-φεται δὲ διὰ τοῦ ῑ. τῷ λόγῳ τῆ βοιωτία. καὶ γὰρ ἔχει τὸ υ ἐπιφερό-μενον. σημαίνει δὲ τὸ ἐπ' εὐθείας.

ἱκάνω τὸ ἱκετεύω.

Ἡμεῖς δ' αὖ θ' ἱκάνομεν τὰ σὰ γούνατα. σημαίνει δὲ καὶ τὸ παραγίνομαι καὶ καταλαμβάνω ἢ μέγα πένθος ἀχ

. . . . . .

ἴκαρος. παρὰ τὸ ἵκεσθαι πρὸς τὸν ἀγῶνα.

ἱμάτιον. ὥσπερ ἀπὸ τοῦ ὀψάριον. γίνεται ὀψαρίδιον. οὕτω καὶ ἀπὸ τοῦ ἱμάτιον γίνεται ἱματίδιον. διὰ τοῦ ῑ.

ἰξίων σημαίνει τὸν συγγαμβρόν. πα-ρὰ τὸ ἴξιον. ὅπερ σημαίνει τὸ δῶρον. καὶ γὰρ οἱ σύγγαμβροι μετέχουσι τῶν δώρων τοῦ νυμφίου. γράφεται καὶ διὰ τοῦ ῑ. καὶ κατὰ τὴν ἀρχοῦσαν καὶ κατὰ

τὴν παραλήγουσαν. καὶ κατὰ μὲν τὴν
ἄρχουσαν τῷ λόγῳ τοῦ βιθυνία. καὶ
γὰρ ἔχει τὸ ι κατὰ τὴν δευτέραν συλλα-
βήν. κατὰ δὲ τὴν παραλήγουσαν. τῷ
λόγῳ τοῦ ἀμφίονι.

ἰλάδες. χοινία. ἀπὸ τοῦ εἰλεῖσθαι ἐξ
ἱμάντος.

ἰλάδι δ' οὐκ ἐθέλοντα.

ἰνδάλλω. ὥσπερ γὰρ παρὰ τὸ ἄγω γίνε-
ται ἀγάλλω. ἤγουν τὸ τέρπω. οὕτω καὶ
παρὰ τὸ εἴδω. τὸ ὁμοιῶ γίνεται εἰδάλ-
λω. ἀποβολῇ τοῦ ε. καὶ πλεονασμῷ
τοῦ ν. ἰνδάλλω. ἐξ οὗ καὶ ἴνδαλμα. τὸ
δὲ ἴς διὰ τοῦ ι. ὃ σημαίνει τὴν δύναμιν.
ἀλλ' ἔστι καὶ ὄνομα ποταμοῦ. ὥς φησιν
Ηρόδοτος. καὶ γύλαξ. ὁ ἱστορικός.

ἰνίον. ὥσπερ παρὰ τὸ σφήξ. σφηκὸς
γίνεται σφήκιον. σημαίνει δὲ τὸν μικρὸν
σφῆκα. οὕτω καὶ παρὰ τὸ ἴς. ἰνὸς γίνεται
ἰνίον. σημαίνει τὸ νεῦρον τὸ ὂν ὄπισθεν
τοῦ τραχήλου. τὰ γὰρ ἡνία. διὰ τοῦ
η γράφεται παρὰ γὰρ τὸ ἀνύω γίνεται
ἡνίον. διὰ γὰρ τῶν λώρων τῶν ἵππων
ἀνύομεν τὴν ὁδόν. τὸ δὲ ἶς γέγονε πα-
ρὰ τὸ ἔω τὸ ὑπάρχω. ἶς ὡς ῥύσω
ἐνγμός. καὶ γὰρ ἶνες τὸ εἶναι καὶ —

συστᾶναι παρέχουσι τῷ σώματι. ἢ τὸ
τοῦ ἵεναι ὑμῖν ἔνια.
ἴουλος· τὸ πολύπουν ζῶον. ἀπὸ τῆς
ἵεναι καὶ τῆς λειότητος· τῆς πορείας.
ἢ παρὰ τὸ οὔλως. καὶ πυκνῶς εἱλεῖσθαι.
ὅθεν καὶ ἀπὸ μεταφορᾶς αἱ πολύκοποι
νῆες ἰουλόπεζοι ἀπ᾽ αὐτοῦ κέκληνται.
ὡς παρὰ Λυκόφρονι.

ἰουλόπεζοι θῖνον εὐῶπαι σπάθαις

multa desunt vid. V. ἴμας Iunta ha-
bes iam fol. 97 &c.

## Ἀρχὴ τοῦ κ στοιχείου

### τὸ κ. μετὰ τοῦ α.

Κάβειροι· ὄνομα θεῶν· καὶ τὰ ὀνόματα αὐτῶν τέσσαρα τὸν ἀριθμόν· ἀξίερος· ἀξιόκερσα· ἀξιόκερσος· ἀξιόκερσος· ἀξίερος μὲν ἐστὶν ἡ Δημήτηρ· ἀξιόκερσα ἡ περσεφόνη· ἀξιόκερσος δὲ ὁ ἅδης· κάβειροι δὲ δοκοῦσι προσηγορεῦσθαι· ἀπὸ τοῦ καβείρων ὀρέων Φρυγίας· ἐπεὶ ἐνθένδε μετηνέχθησαν· οἱ δὲ δύο εἶναι τοὺς καβείρους· πρεσβύτερον μὲν δία· νεώτερον δὲ Διόνυσον.

Καβάλλης· καβάλλης λέγεται ὁ καταβάλλων ὁ ἀπὸ ἄλλης κάπης ἐσθί.

Κάβαισος· αι δίφθογγος· προπαροξύνεται παρὰ τὸν κάβον· ὅπερ ἐστὶ - - -

. . . . . ὁ ἄπληστος Κρατῖνος· μαλθακοῖς· ἔστι δὲ κύβειον πεποιημένον παρὰ τὴν αἶβαν ὦ . . .

Κάβυσος· πόλις Θρακική· ἀπὸ καβάσου τινός.

Κάγκανα· τὰ ξηρὰ ξύλα· καὶ εἰς καῦσιν

ἐπιτήδεια. οἱονεὶ κατάκαλα ὄντα. παρὰ τὸ καίειν τὸ κόπτειν συγκοπῇ. καὶ πλεονασμῷ τοῦ γ. κάγκανα. ἢ ὥσπερ ἀπὸ τοῦ τέκω γίνεται τέκανον καὶ κατὰ συγκοπὴν τέκνον. οὕτως καὶ παρὰ τὸ καίω ῥῆμα γίνεται κάνον. καὶ κατὰ ἀναδιπλασιασμόν. καὶ πλεονασμῷ τοῦ γ. κάγκανον. οἷον ἔνθεν. ἔπειθεν. οἱ μὲν ξύλα κάγκανα τοῖς δὲ λεχαίω.

Καγχαλᾶν. χαίρειν. ὡς ἀπὸ τοῦ χῶ. γίνεται κατὰ παραγωγὴν χαίρω. οὕτω καὶ παρὰ τὸ χῶ. χλῶ. κατὰ παραγωγὴν χαλῶ. καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμῷ τοῦ γ. γίνεται χαγχαλῶ. καὶ καγχαλῶ. διὰ τὸ ἐν χαλάσμασιν εἶναι τὴν ψυχὴν χαίρουσαν. ἔστι δὲ ὅτε καὶ ἐν τῇ λύπῃ συστέλλεσθαι σημαίνει τὴν λέξιν.

Κάδος. σκεῦός τι. παρὰ τὸ χαδῶ. τὸ δηλοῦν τὸ χωρῶ. ὁ μέλλων χαδήσω. ἀφ' οὗ τὸ κεχαδήσω κατὰ - - - - καὶ κάδος τὸ χωρητικὸν ἀγγεῖον.

Κάδης. σημαίνει τὸν ἁγιασμόν. παρὰ τὸ σαδ. καὶ συσσήσει εἰς τὴν ἔρημον κάδης. κάδης ἑρμηνεύεται ἡ ἁγία. παρὰ τῷ ἁγίῳ Βασιλείῳ.

Κάθη· ἰστέον ὅτι τὸ κάθη· καὶ τὸ μέμνη,
καὶ τὸ δύνη· παράλογά εἰσι· τὸ μὲν γὰρ
κάθη καὶ τὸ δύνη· ἐνεστῶτος παθητικὰ
εἰσὶ τῶν εἰς μι· ὁ δὲ ἐνεστὼς παθητικὸς
ὁ ἀπὸ τῶν εἰς μι· τροπῇ τοῦ ται·
τοῦ τρίτου προσώπου ποιεῖ τὸ δεύτερον
πρόσωπον· οἷον τίθεται· ἵσταται· ἵστασαι.
ὥσπερ οὖν καὶ ἀπὸ τοῦ κάθημαι· κάθησαι.
καὶ ἀπὸ τοῦ δύναμαι δύνασαι· παράλογον
ἄρα τὸ κάθη· καὶ τὸ δύνη· τὸ δὲ μέμνη
παθητικός ἐστι παρακείμενος. πᾶς δὲ
παθητικὸς παρακείμενος τροπῇ τοῦ ται
τοῦ τρίτου προσώπου· εἰς σαι ποιεῖ τὸ
δεύτερον· οἷον πεποίηται, πεποίησαι.
νενόηται· νενόησαι· ὥσπερ οὖν καὶ μέμ-
νηται· παράλογον ἄρα καὶ τὸ μέμνη.
ἔστι δὲ εἰπεῖν περὶ αὐτῶν οὕτως· ἔστι
μέμνημαι τὸ δεύτερον μέμνησαι· καὶ
κατὰ ἀποβολὴν τοῦ σ ἰωνικῶς γίνεται
μέμνηαι· καὶ κατὰ συστολὴν μέμνεαι.
καὶ κατὰ κρᾶσιν τῶν φωνηέντων μέμνη.
καὶ ἐστὶ τὸ ι· ἀνεκφώνητον· διὰ τὸ
μέγεθος τοῦ η· καὶ ἔστι πάλιν δύναμαι
δύνασαι δύναιαι· καὶ κατὰ συστολὴν δύνεαι.
καὶ κατὰ κρᾶσιν δύνη· καὶ πάλιν τὸ
κάθημαι ἀπὸ τοῦ ἕω· ὃ σημαίνει τὸ

κάθημαι γίνεται παράγωγον τῶν εἰς
μι· ἧμι· ὁ παθητικὸς ἧνται ἧμαι.
καὶ κατὰ κρᾶσιν τῶν δύο ε εἰς η· ἧμαι.
καὶ ἐν συνθέσει κάθημαι. τὸ δεύτερον κάθη-
σαι. καὶ κατὰ ἀποβολὴν τοῦ σ κάθηαι.
καὶ κατὰ συστολὴν κάθεαι. καὶ κατὰ κρᾶσιν
τοῦ ε. καὶ α. εἰς η. κάθη. ὥσπερ ὁ χοιρο-
βοσκός.

Κάθημαι ἐκ τοῦ καθίζω. τοῦτο ἐκ τοῦ
ἕζω· ἵζω· καὶ ἐν συνθέσει καθίζω. διὰ τοῦ
ι· ἄλλους μὲν κάθισον τέρας. ... καὶ διὰ τοῦ η·
ἀλλ' αὐτὸς τῇ κάθησο.

Καθ' ἡμῶν. δεῖ γινώσκειν. ὅτι δασέος φωνή-
εντος ἐπιφερομένου. τρέπεται τὸ ψιλὸν
σύμφωνον εἰς τὸ ἀντίστοιχον τοῦ δασέος. οἷον
κατὰ ἡμῶν καθ' ἡμῶν. ἐπὶ ἡμᾶς. ἐφ' ἡμᾶς.
ψιλουμένου δὲ φωνήεντος ἐπιφερομένου
οὐ τρέπεται τὸ δασὺ σύμφωνον εἰς ψιλόν
οἷον ἀμφιαγαθόν. ἀμφαγαθόν. τοῦτο δὲ
γίνεται ἐπειδὴ τὰ δασέα ἐπικρατέστερά
εἰσι καὶ ἰσχυρότερα τῶν ψιλῶν.

Καθίσαι. ζήτει εἰς τὸ ἵσῃ.

Καθῆσθω. ἕω ὁ μέλλων ἕσω. ὁ παρακεί-
μενος ἧκα. ὁ παθητικὸς ἧσμαι. ὁ ὑπερ-
συντέλικος ἥσμην. ἧσο. ἧστο. καὶ ἐν

συνθέσει καλῦσο· ἢ ἀπὸ τοῦ ἔημι· ὁ μέλ-
λων ἦσαι· οὐκ ἀνεδόθη δὲ ὁ τόνος· ἐπειδὴ
κανὼν ἐστιν ὁ λέγων· ὅτι πᾶς παρῳχημέ-
νος ὁριστικὸς· ἀπὸ φωνήεντος ἀρχόμενος
καὶ κατὰ ἀπὸ φύσει μακρᾶς τὸν αὐτὸν
τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει· χωρὶς
τοῦ οἶδα σύνοιδα αἰολικῶς· καὶ τὸ οἶμαι·
κατοιμαι· καὶ τοῦ εἶξα· ὑπόειξα· καὶ τὸ
εἶκον ὑπόεικον· ἔνιοι δὲ τὸ ἦκαε παρα-
δείγματα τοῦ κανόνος· ταῦτα· εἶχον κα-
τεῖχον· ὦρον ἔφωρον· ὦγε· ἄνωγε·
προπαρῳχημένος ὁριστικὸς· διὰ τὸ εἶπε·
ἐξεῖπε· ὦρε· ἔφωρε· ταῦτα γὰρ οὐκ
ἔστιν ὁριστικὰ ἀλλὰ προστακτικά· πρόσ-
κειται ἀπὸ φωνήεντος ἀρχόμενος·
διὰ τὸ κεῖτο· κατεκεῖτο· χεῦεν κα-
τέχευεν· πρόσκειται ἀπὸ φύσει μακρᾶς·
διὰ τὸ ἴξε· ἔφιξε· οἷον

Νέσορ δ᾽ αὐτὸς ἔφιξε ——

τοῦτο δὲ τὸ ἴξε· κοινῶς μὲν φύσει μακρὸν
ἔχει τὸ ι· ἐξ οὗ τὸ ἔφιξε προπερισ-
πᾶται· Ἀττικῶς δὲ καὶ ποιητικῶς·
συστέλλει αὐτό· τουτέστι θέσει μακρὸν
αὐτὸν ἔχει· ἐξ οὗ τὸ ἔφιξε προπα-
ροξύτονον·

Καινεὺς ὁ ἥρως· διὰ τὸ καινὸν τοῦ γένους.

Καινός ὁ νέος· οἶμαι ὅτι κεαινός τις ὢν κατ' ἔλλειψιν τοῦ ε· καινὸς οἱονεὶ ὁ ἤδη ἐπιτελεσθείς.

Καίριον· ἐπικίνδυνον· οἶμαι ἀπὸ τοῦ κῆρ ὃ σημαίνει τὴν θανατηφόρον μοῖραν γίνεται καρός· καὶ καίριον· ἤγουν τὸ θανάσιμον καὶ ἐπικίνδυνον.

Καιρός· κάρη λέγεται ἡ ὥρα· ὅθεν καὶ ἀκαριαῖος· ἐκ τοῦ κάρη· καρὸς καὶ καιρός.

Καιροσέων· οἱ μὲν τῶν κεροσσωτῶν· οἱ δὲ ἀπὸ τῶν καιρωμάτων· ἔστι δὲ καλεῖται καῖρος καὶ καίρωμα· ἡ παραπλοκὴ τοῦ στήμονος· ἡ διαπλεκομένη ὑπὲρ τοῦ μὴ συγχεῖσθαι αὐτόν· καὶ τὰς ἐρίθους Καλλίμαχος εἶπε· καὶ τὸ δικλεῖ ὕφασμα ὑδάτινον.

Καιρωτίδας· καίρωμα.

Καὶ σφέας· ἰστέον ὅτι τὸ καὶ σφησίν, οὐκ ἔστιν ἀπὸ τοῦ σφίσι βαρυτόνου· ἀλλ' ἀπὸ τοῦ σφίν ἐγένετο καὶ σφιν· καὶ μετὰ τὴν ἔγκλισιν παρηκολούθησε πάθος· καὶ γέγονε καὶ σφησίν· καὶ πάλιν τὸ καὶ σφέας· οὐκ ἔστιν ἀπὸ τοῦ σφέας βαρυτόνου· ἀλλ' ἀπὸ τοῦ σφᾶς· καὶ μετὰ τὴν ἔγκλισιν παρηκολούθησε πάθος καὶ σφέας.

καὶ πάλιν τὸ ἐπεὶ ὃ ἐλθὼν ἐστὶ χρειῶν.
οὐκ ἔστιν ἀπὸ τοῦ ἐλθεῖν. ἀλλ' ἀπὸ τοῦ
οὐ τρίτου προσώπου τοῦ σημαίνοντος-
τὸ αὐτὸ γέγονεν ἐθεν. τουτέστιν οὐδα
:μῶς. καὶ μετὰ τὴν ἔγκλισιν παρη:
κολούθησε πάθος. καὶ γέγονεν ἔθεν.
οὕτω ζ π.
Κάκη. τὴν κάκην ἐπὶ κακίας τάττει.
περὶ τοῦ μετὰ κακίας τὸ ζῆν περιποιου:
:μένη. διὰ τὸ ῥίπτειν τὰ ὅπλα.
Καννάβη. σπέρμα πρὸς ἕψησιν ἐπιτή:
:δειον. παρὰ τὸ κάπτω ῥῆμα τὸ δηλοῦν
τὸ κοιλαίνω. ἀφ' οὗ ῥηματικὸν ὄνομα
κάβη. καὶ κατὰ ἀναδιπλασιασμὸν τοῦ
π. κάνναβος. ἀναλογώτερον δὲ θέλου:
:σι λέγειν. ἡ κάνναβος θηλυκόν. τὸ
γὰρ ἀρσενικὸν παντελῶς ἀδόκιμον οὕτως
ὡρίων.
Καννείοντες. εἴρηται εἰς τὸ κώδιον.
Κάνιθος. σημαίνει τὸν κακιζόμενον.
παρὰ τὸ κακίζω. κάκισος. καὶ κάκυθος.
Κακός. ἐπὶ τοῦ δειλοῦ. παρὰ τὸ χάζω
χάζομαι. χακός. καὶ κακός ὁ ὑποχωρῶν
καὶ φεύγων ἐπὶ δὲ τοῦ ἄλλου. καταχρηστικῶς
- - - ... ἐκεῖνον γὰρ πάντες ὑποχωροῦσι.

Κάκτανε. ἡ κατασυγκοπτομένη. ἐὰν ἐπάγηται δύο σύμφωνα. παντελῶς ἀποβάλλει τὸ τ̄. κατάκτανε. κάκτανε. κατάχευε. κάχευε. εἰ μέν τοι τῶν δύο συμφώνων. τὸ ἕτερον ἀμετάβολον εἴη. πάλιν τὸ τ̄ τρέπεται τῷ ἰδίῳ ἔθει τρεπόμενον. οἷον καταδερκέτην. καδδερκέτην. κατατύματα — κάττυματα. κάσσυματα λέγονται παρὰ Αἰολεῦσιν.

Κακόχαρτος. ἀμφίβολον. ἤτοι ἡ ἐπὶ κακοῖς χαίρουσα. ἢ ἐφ᾽ ᾗ οἱ κακοὶ χαίρουσιν. Ἡσίοδος ἐν ἔργοις καὶ ἡμέραις

ὦ πέρση. σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ.
μηδέ σ᾽ ἔρις κακόχαρτος. ἀπ᾽ ἔργου θυμὸν ἐρύκοι.
νείκη ὀποπτεύοντ᾽ ἀγορ᾽ — — ἐπακουὸν ἐοῦσαν.

χολ. ἡ κακὴ φιλονεικία. μὴ σὲ κωλύσῃ ἀπὸ ἔργου εἰς τὸ περιβλέπεσθαι. φιλονεικίας καὶ ἀκροάσεις. ῥημάτων. καί φησι παραινετικῶς. ὅτι ὁ μὴ ἔχων πλοῦτον φη ἐν τῷ οἴκῳ αὐτοῦ. ὀφείλει ποτὲ μὲν ἐργάζεσθαι. ποτὲ δ᾽ ἀκροᾶσθαι. κάμνειν φησὶ καὶ τὸ τοῦ φιλονεικεῖν. τοῦτο εἶπεν. ἵνα κατὰ μέρος ἐπαίρῃ αὐτοῦ τὸ φιλονεικεῖν ἐπὶ τοῦ ἐργάζεσθαι.

Κακὸς χολός. ὁ χρόνον διατιθέμενος ἐπὶ τὸ χεῖρον. ἢ σκώπτων. ἢ γινόμενος.

Κάλαθος. εἰς ὃν τὰ κάλλη ἀποτίθενται κυρίως. κάλλη δὲ τὰ βεβαμμένα ἔρια. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ δεκτικοῦ τῶν πύρων καὶ σταφυλῶν ἢ γάλαθος. εἰς ὃν τὸ γάλα ἐπέθεντο τυρώσοντες.

Καλαμογλυφεῖν. οὔτε ἐν τῷ γλύφω ἐνεστῶτι. οὔτε ἐν τῷ γλύφειν ἀπαρεμφάτῳ. ἡ σύνθεσις ἐγένετο. ἀλλ' ἐν τῷ ὀνόματι οἷον καλαμόγλυφος καὶ καλαμογλύφων.

ὀνόματι, οἷον καλαμόγλυφος καὶ καλαμογλυφῶ.

Κα[illegible]. κατὰ διάλεκτον. οἱ Αἰολεῖς τὰ τῆς πρώτης συζυγίας διὰ τοῦ ι προσφέρουσιν. οἷον ἀδικέω οἱ Ἴωνες ἀδικείω. οἷον . . . ἀδικείει. ποθέω. ποθείω. οἷον καὶ ποθείω. καὶ μάχομαι το . . . . οὕτω καὶ παρὰ μὲν τοῖς Ἴωσι καλέω. παρὰ δ' Αἰολεῦσι καλεῖν. παρὰ δὲ Κυπρίοις καλίζω. τουτέστιν ὃ λέγει. τοῦτο δὲ ἡγοῦνται κατὰ συγκοπὴν γενέσθαι. κλύζω οὐκ ἔστι δέ. εὑρίσκομεν γὰρ αὐτὸ σὺν τῷ ι. ἀλλ' ἀπὸ τοῦ κλέος κλεΐζω. καὶ κλυΐζω καὶ κλύζω. καὶ ὡς χέος. χεΐζω χευΐζω καὶ χεύζω. τὸ δὲ κλυδων οὐκ ἔχει τὸ ι. ἐπειδὴ οὐκ ἔστιν ἀπὸ τοῦ κλυΐζω. ἀλλ'

καλίζω.

ι

ἀπὸ τοῦ κλῶ· τοῦ σημαίνοντος τὸ
καλὸν γέγονε κλώθω· καὶ κλώθων. οὕτως
Ἡρωδιανὸς περὶ παθῶν. ἀλαυροπα ἡ
βουκολικὴ ῥάβδος· παρὰ τὸ ἕρπειν τὸ
καλὸν εἰς τὸ ἓν μέρος. ἐν ᾧ ἐστι τὸ
πάχος, καὶ ἡ καλουμένη κορδύλα καὶ
κορύνη. ἢ κατὰ τὸ κάρα νεύουσα. καὶ
ῥόπαλον δὲ παρὰ τὸ ῥέπειν εἰς τὸ
ἓν μέρος.

ἔνθ' αὖ τυνδαρίδης μὲν ἐΰσιπτον θέτο φάρος
λεπταλέον, τὸ ἕο οἱ τίσεον ξυνήιον ὤπασε λημνιάδων
ὃ δ' ἐρεμνὴν δίπτυχα χλαῖναν
αὐτῇσι περόνῃσι καλαύροπα τετρηχυῖαν
κάββαλε τὴν φορέεσκεν ὀρειτρεφέος κοτίνοιο.
αὐτίκα δ' ἐγγύθι χῶρον ἑαδότα παραστίνας.

ἐρεμνὴν δίπτυχα λῶπον πορφυρὰν
ἢ μελανὴν χλαμύδα. κοτίνοιο δὲ τὴν
ἀγριελαίαν. ἑαδότα. ἀρεστόν ἐστιν ὅ
τ    ἄεγος.

Καλύμναι. καλύν. ἀπὸ τοῦ καλύω. τὸ
ἀπαρέμφατον.

Καλιά κυρίως. ἡ ἐκ κάλων ὅ ἐστι ξύλων.
κατασκευαζομένη οἰκία, μή πω εὑρε-
-θέντων λίθων εἰς ἐργασίαν. καταχρηστι-
-κῶς δὲ καὶ ἐπὶ τῶν λίθων τῶν οἰ-
-κιῶν. Ἡσίοδος.

μή δ' ἀναβάλλεσθαι ἐς αὔριον ἐς 'ἔνηφι

ἦ γάρ ἐπιδευόμενος ἀνήρ πίμπλησι καλιήν.

Καλλά· τό καλλά παρά τοῖς ἀλκμᾶναις· καλά

ἐστίν οἷον καλά μελισδόμεναι.

Καλλατίς· πόλις ἐστί κτισθεῖσα ὑπό Ἡρα-

κλεωτῶν ὠνομάσθη δέ ἀπό τῆς παρακει-

μένης αὐτῇ λίμνης. οὕτως ὦρος.

Κάλλαια· καλεῖται τό κάτωθεν τῶν ἀ-

λεκτρυόνων· ὥσπερ γένεια· διά τά ἄνθη-

ρά καί πορφυρώδη· οὕτω γάρ ἐκάλουν τά

πορφυρά κάλλη. Εὔπολις βάπτ΄΄.

τά κάλλη τά πρέσβευμα τῇ θεῷ. β.

καί Αἰσχύλος. ἐν ποικίλοις γάρ θνητῶν

ὄντα καλλαισῖν. ἔνθα καί τό καλλαϊν.

ἔστι γάρ χρῶμα ἀνθηρόν ἤ τό βένετον χρῶ-

μα οὕτω λέγει.

Κάλλη· τά ἄνθη ἤ τά πορφυρά ἱμάτια

ἤ τά βαπτά ἔρια· ἐξ οὗ καί κέραμος καλ-

λαϊνός.

Καλλιγύναικα· εἰς ἑλλάδα· ἀντί τοῦ καλάς

γυναῖκας ἔχουσαν· ἀπό τῆς καλλιγυναικ-

ουν θέτου ὠθίας.

Κάλλιμος· παρά τό κάλλιμος· ἡ δέ διά

τοῦ ιμος παραγωγή ἐκ τρίων γένων

γίνεται. οἷον σπόρος σπόριμος. ἀγωγή

ἀγώγιμος· κῦδος κύδιμος· οὕτως κάλλος κάλλιμος γίνεται καὶ ἀπὸ ῥήματος προσ-
:δοκῶ προσδόκιμος.

Καλλιπάρηον. καλοὺς ἔχουσα παρειάς. παρὰ τὸ κάλλος καὶ παρειὰ γίνεται καλλιπάρειον· κατὰ τροπὴν Βοιωτικὴν τῆς ει διφθόγγου γράφεται· πλὴν τοῦ καλιά· οἷον φορβειά· παρειά· τρισύλλαβα, διὰ τὸ ἰμονι[illegible]

Καλλισφύρου· εὐπρεπόποδος· καλῶς ἀπὸ μέρους τῶν σφυρῶν.

Κάλλυντρον· κόσμιον παρὰ τὸ καλῶ ῥῆμα ὅ ἐστι σαίρειν καὶ καλλύνειν.

Καλοκαγαθία. ἀπὸ συντάξεως ὄνομα γίνεται. οἷον θεοῖς ἐχθρὸς· θεοεχθεία· οὕτω καλὸς καὶ ἀγαθὸς καλοκαγαθία.

Καλόπους κυρίως ὁ ξύλινος πούς· κᾶλον γὰρ τὸ ξύλον.

Καλὸς τὸ ἐπίθετον· ἔστι ῥῆμα κάζω. ὃ δηλοῖ τὸ κοσμῶ ὁ μέλλων κάσω ῥημα-
:τικὸν ὄνομα καλὸς ἢ παρὰ τὸ καλῶ ῥῆμα· γίνεται καλός. τὸ καλεῖν πρὸς ἑαυτὸν ἕκαστον· ὡς τὸ ἀγαθοῦ ἐφιῶ ἅ-
:γαν θέομεν.

Κάλπιν· οἷον· τίκτε δέ μιν νύμφη λειμω-
=νιάς· οὐδέ οἱ ὕβρεις ἥνδανε ἀλλά θελη-
=μὸς ἔφυδαδι πατρὸς ἑοῖο μητέρι δωα-
ἴσκηεν ἐπαντία πίδακα φρέβω ἤιον –
ἀβπειδίον δὲ βαθυρρεῖον τάτε κάλπιν.
τὸ θέλημον σημαίνει ἀντὶ τοῦ ἐθέλων.
Διονύσιος δὲ ὁ ὀλβιανός· ἱστορεῖ κιόνων
λέγεσθαι ἀχιλλέως δρόμους κάλπη καί
κάλπις· κάλπη μὲν οὖν λέγεται ἡ ὑδρία
κάλπις δὲ πόλις Βιθυνίας.

Καλύβη· οἱονεὶ καλύφη τὶς οὖσα.
παρὰ τὸ καλύπτω κατὰ μετάθεσιν τοῦ
π εἰς φ.

Κάλυμνος· ὁ ἐν Αἰγύπτῳ σῖτος ἀντὶ τοῦ
καλύμνιος· ὁ γὰρ Φιλάδελφος ἐκ καλύδνων
μετήνεγκε τὸ σπέρμα· νήσους περὶ
καλύδνας ἃς ἀπολλόδωρός φησι λέγεσθαι
καλύδνας ἢ καλύβας.

Καλυψὼ ἢ μὴ ἁπλῶς καλύπτουσα δὲ τὸ
διανοούμενον δολόεσσα καὶ καλυψώ.

Κάλχας· παρὰ τὸ κάλχη· κάλχη δὲ
ἐστι βοτάνη ἀφ᾽ ἧς πορφύρα βάπτεται.
κάλχας δὲ ἐστὶν ὁ τὰ βάθη τῶν μαντειῶν
ἐρευνῶν· ἢ ὁ τοῖς βαβυλῶσι τὰ ἐκθέσφα-
=νερῶν.

Καλχηδών· περὶ τὸν πο — κτίζουσι καὶ ὁμωνύμως αὐτῷ τὴν πόλιν ὀνόμασε οὕτως ὦρος ὁ μαχ:

Κάλωα· ἡ διδασκαλία· τοῦτο εὕρηται εἰς τὸ κάλας.

Καλώδιον σημαίνει τὸ σχοινίον· σὺν τῷ ι γράφεται· καὶ ὤφειλεν εἶναι καλίδιον· ἐπειδὴ ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ συμφώνου ἄρχεται· οἷον κάλος κάλου· τότε γὰρ διὰ τὸ ἴδιον γίνεται ἡ παραγωγή· οἷον γνώμη γνώμης γνωμίδιον· ψυχή· ψυχῆς· ψυχίδιον· ἀλλὰ συνεξηκολούθησε τὸ λαγῴδιον· στῴδιον· κῴδιον. σημαίνει δὲ στῴδιον τὴν στοάν:

Καλλωπίζω· ἀπὸ τοῦ καλὸς καὶ τοῦ ὤψ· ὃ σημαίνει τὸ πρόσωπον.

Καμονίκη· κακῶς τῇ λέξει κέχρηται· καμμονία γάρ ἐστιν ἡ γενομένη νίκη· τουτέστιν ἡ μετὰ καταμονῆς νίκη ἐπὶ πάλης καὶ πυγμῆς, καὶ τῶν ὁμοιοτρόπων ἀγωνισμάτων· ἐπὶ δὲ ἵππων, οὐκ ἂν χρῄζοιτο λεξείδιον.

Κάμαξ· ἀρσενικῶς μὲν σημαίνει τὸ ὄρυγμα· ἢ τοὺς πασσάλους τοὺς ἐν

τῷ τάφρῳ πεπηγμένους πρὸς τὴν τῶν
πολεμίων ἐρωήν. θηλυκῶς δὲ τὰς ῥάβδους
ἢ δόνακας παραπεπηγότας ταῖς ἀμ-
-πέλοις. ὡς παρ' Ἡσιόδῳ.

ἑσπόμενος φιλῆσι καὶ ἀργυρέῃσι κάμαξι  β
παρὰ τὸ κάμνειν ἐν τῷ βαστάζειν τὴν
ἄμπελον. οἱονεὶ κάμναξ τις οὖσα κατὰ
ἀποβολὴν τοῦ ν̄.

Καμηλαύκιον. εἴρηται εἰς τὸ καυσανία.

Κάμηλος. ἀπὸ τοῦ κάμπτειν τοὺς μη-
-ροὺς ἐν τῷ καθέζεσθαι. κάμηρός τις
οὖσα καὶ κάμηλος.

Κάμινος. παρὰ τὸ ὑπομένειν καιομέ-
-νην.

Κάμμορος. οἱονεὶ κακόμορος, καὶ κατὰ
συγκοπὴν κάμμορος.

Καμπανοί. ὅτι κάμπτον ἔκτισαν πρὸς
τὴν κώμην τόπον οὕτω λεγόμενον. ὅθεν
καὶ καμπανοὶ ἐκλήθησαν οὗτος ὥρος.

Καμπή. καμπὴ μὲν οὖν ἡ καμπτομένη
καὶ κεκαμμένη καὶ καμπασθεῖσα φαμὲν
τόπον. ὡς κλάδιν πεπονθότων χωρί-
-ων. λέγεται καὶ ζωδάριον κάμπη ἢ
κάμπτουσα τὰ μὲν τελευταῖα μέρη

ἀποτείνει. τὰ δὲ πρὸς τῷ τραχήλῳ
κάμπτει, καὶ εἶθ' οὕτως ἐπισείει τὰ
ὀπίσθια· κάμπτουσα ἑαυτήν.
Κανδου βρώματά ἐστι διὰ γάλακτος καὶ
μέλιτος κατασκευαζόμενα. ὡς καὶ
ἀμυτάκην θεοϊκὸν βρῶμα. ἐπὶ τοῦ ὀφ=
=θαλμοῦ. οἱονεὶ κνηθός τις ὢν ἀπὸ τοῦ
κνήθεσθαι συνεχῶς δακνομένους ὑπὸ τοῦ
παρεισρέοντος ὑγροῦ.
Κανάχιζε. ἤχει. καὶ καναχὴ βοὴ ἀπὸ
τοῦ κενὸν ἀχεῖν.
Κάναστρα. ἀκρωτήριον τῆς Παλλήνης.
Κάνναθρον. Δίδυμος τὴν πλέγινθον
ἐκ ῥίπτων πλεκομένην λέγεσθαι εἰσπινθον.
καὶ κατὰ ἀντίθεσιν πλέγινθον. τοῦτο
δὲ ὑπὸ Ξενοφῶντος καλεῖσθαι κάνναθρον.
ἐπεὶ καὶ κάνη ἡ ψίαθος. οὕτως Ἐπαφρο=
=δίτος ὧρος.
Κανόνας. ῥάβδους. αἷς ἐκράτουν τὰς
ἀσπίδας, οὔπω γὰρ ἐχρῶντο τοῖς πόρ=
=παξιν. οὓς ὄχανα ἐκάλουν. ὕστερον δὲ
β ὑπενοήθησαν ὑπὸ Καρῶν. ὡς καὶ Ἀνακρέων.
καρισοεργέος ὀχάνοιο.
Κανοῦν κυρίως τὴν μάχαιραν. οἱονεὶ

τὸ καίνειν ἔχον κείμενον. ὅ ἐστι κόπτειν
ἀπὸ τῶν γινομένων ἐν ταῖς θυσίαις
σφαγῶν. σημαίνει δὲ καὶ κανίσκιον·
παρὰ τὸ χαίνειν χανοῦν καὶ κανοῦν
ἀπὸ τοῦ κεχηνέναι.

Κάνωβος· ἱστορεῖται ὁ κάνωβος δίσκῳ
ἀνῃρῆσθαι ὑπὸ Μενελάου ἐν Αἰγύπτῳ
ἐν ὑπομνήματι. ἀλέξις ἡρακλείδας. Νι-
κάνδρος δὲ ἐν θηριακοῖς φησὶν ὅτι ὑπὸ
αἱμορροΐδος ἐπλήγη. οἷον

ἤμος ἀποψύχοντα κυβερνητῆρα κάνωβος
Θώνιος ἐν ψαμάθοις ἀθρήσατο ———
ἔτιος ὦρος.

Καναχηδὰ χείμαρροι
——— καναχηδὰ κυλινδόμενοι φορέοντο.

Κανών· εἴρηται κανὼν ἀπὸ τοῦ τεκτονι-
κοῦ κανόνος, ὥσπερ γὰρ ὁ τέκτων κέχρη-
ται κανόνι, διὰ τὸ ἐπανορθοῦσθαι τὸ
ἀποτελούμενον, τὸν αὐτὸν τρόπον καὶ
ἡμεῖς κεχρήμεθα τῷ κανόνι διὰ τὸ
ἐπανορθοῦσθαι τὰς λέξεις.

Κάπη· ἡ φάτνη· παρὰ τὸ κάπτειν
ὅ ἐστιν ἐσθίειν γέγονε κάπη. ἢ παρὰ
τὸ κάπος κάπη. κάπος δέ ἐστι τὸ πνεῦ-
μα, ἢ ὑπὸ τῶν ἀσθμάτων τῶν ἵππων
καταπνεόμενον. ἢ παρὰ τὸ ἐσκάφθαι

β

καὶ κοιλάνθαι

Κάπηλος. ὁ μεταβο         καὶ οἰνοπώλος. παρὰ τὸ χέειν τὸν πηλόν. ἤγουν τὸν οἶνον. τινὲς οἴονται ἐν ἀνθ' ἑνὸς εἶναι. ἐκ

β τοῦ παρὰ Σοφοκλέους.

πολὺς δὲ πηλὸς ἐκ πίθων ῥέει βα

ὁ μὲν οὖν Σοφοκλῆς ἐκ τοῦ πίθου εἰς τὸν πηλόν. ὁ μέντοι οἶνος, οὐκ ἔστι πηλός. πόθεν δὲ ἐν τῷ καπήλῳ ὁ οἶνος ἐγχεῖται. καὶ γὰρ ἕτερόν ἐστιν οἰνοπώλος καὶ ἕτερον κάπηλος. καθόλου γὰρ τοὺς πωλοῦντάς τι καπήλους ἔλεγον. ὁ δὲ

β Αἰσχύλος τὰ δόλια πάντα ἐκάλει κάπηλα

κάπηλα προσφέρων τεχνήματα.

Κάππεσε

— πᾶσι δὲ παραὶ ποσὶ κάππεσε θυμός. τὰς ψυχὰς φησίν. ἐταπεινώθησαν ἅπαντες λειποψυχήσαντες τὴν σωτηρίαν παρὰ τοῖς ποσὶν εἶχον.

Κάπετος. ἡ τάφος παρὰ τὸ σκάπτω σκάπετος καὶ κάπετος παρὰ τὸ σκάφθαι.

Κάππαρις. ὅτι ἡ καλλὴ καὶ πολλὴ ἐν κάμποις φύεται. οὐχ' οὕτως ἐν κρημνοῖς. εἴη ἂν οὖν κάππαρις, οὕτως ὥρος.

Καπύη· πόλις ἣν Ῥῶμος καὶ Ῥωμύλος υἱοὶ Αἰνείου ἔκτισαν· ὥς φησὶ κεφαλ^λ^ ὁ Γεργι:θιος· ἔτος ὥρος.

Καπαφάλαρα· εἴρηται εἰς τὸ κατέα.

Κάρα· τὴν κεφαλήν. ἀπὸ τοῦ κέρας· κέρα καὶ κάρα. ἀπὸ τοῦ τετειχῶσθαι κάρα εἴρηται· κέρας γὰρ ἡ θρίξ· τὸ δὲ κάρα λεῖπα ἄλειφ. ἀποκοπὰς πέπονθεν. ἀπὸ τοῦ κάρανον λιπαρόν· ἄλειφαρ οἰδὲ κάραν. ἐτυμολογεῖται παρὰ τὸ κάρα. καθ' ὑπερβιβασμὸν κάρα ἢ ἀποτετμημένως ἐλ τοῦ αὐτοῦ.

Κάραβος· παρὰ τὸ τὴν κάραν βαίνειν τῆς κεφαλῆς προεχούσης· ἢ καὶ τὴν ναῦν. ὡσαύτως κάρα γὰρ ἡ πρῶρις.

Καραδοκεῖν· τὸ τῇ κεφαλῇ προσβλέπειν. ἐκδεχόμενον μή ποτε τὸ κάρ. ἐγκεῖται. τὸ μὲν γὰρ καρηβαρεῖν ἤτοι καταβαρῆσθαι τὴν κεφαλὴν· ἢ παρὰ τὸ βάλλειν αὐτὴν ἀπὸ μέθης· τιμαχίδας δὲ φησὶν ὅτι σύνηθες ἐστὶ τὸ κάτω κάρα ἐπιφέρειν τὸ καραδοκεῖν.

Κάραμβις· ἀκρωτήριον παφλαγόνος· παρὰ τὸ κάρα καὶ τὸ βαίνειν· τὸ γὰρ ἄκρον αὐτῆς ἔξω εἰς τὸ πέλαγος βέβη:κεν. οἷον ἐλλ διαγραφέντα. μέσσι δὲ

τοι ἐστὶ κάραμβις γραμμῆς ἐκτὸς οὖσα.
καὶ ἐς βορέην ὁρόωσα. Διονύσιος ὁ περι-
ηγητής.

Καρβάν. οἱ βάρβαροι. οἱ ἔχοντες καρὸς
β. βοὴν λυκόφρων.

κάρβανον ὄχλον ἐν δὲ γεραικὶ ταῖς πέπλοις.

Κάρδοπος. λίθος. ἢ μάκτρα. Νίκανδρος ἐν
β Θηριακοῖς.

σπέρματος ὃν κύμβοιο τραπεζήεντος ὀλέσθαι.
καρδόπῳ ἐντρίψας πίνειν δ' ὀφίεσσιν ἀρωγόν.

οἷον κυμβοῖο περιφέρους ὀξυβάφου ἐπεὶ
καὶ κοῦφον ἐστί.

Καρήατος. ἀπὸ τῆς κάρης. κάρη. τοῖς
. . . ἔνθα τὸ καλλικάρητος ἐλάς
ἢ κεκορ. εἰ μὴ ἄρα ἀπὸ τῆς καρήας
εὐθείας. πέπλα καρήας μὲν γὰρ οὐχ οἷόν
τε ἐστὶ παραλαμβάνειν τὴν εὐθείαν.
ἐχρῆν δὲ παραλαμβάνειν παρὰ Ἀντιμάχου
β. εὐθείαν. οἷον

—— οἰκέτην θέσκε καρήαρ —

ἀλλ' οὐχὶ μάκρας. οὐδὲν γὰρ εἰς ας λῆ-
γον ὑπὲρ δύο συλλαβὰς οὐδέτερόν ἐστιν.
οἷον δέρ. κέρας. σκέπας. τὸ γὰρ καλλι-
κέρας. καὶ βουκέρας. ἔχομεν γὰρ ὑπὸ
δύο συλλαβάς. ὄνειαρ. δέλεαρ. κάρηαρ
καρήατος.

Κάρη· πρὸ δῆλον κάρηνον πληθυντικὸν αἰτι
:ατικῶς κάρηνα. καὶ ἀποκοπῇ κάρη· οὐδὲν
γὰρ εἰς η λῆγον οὐδέτερον ἑνικόν ἐστιν· ἀλλ'
ἢ δυϊκὸν πέπονθε ἢ πληθυντικόν· οἷον
βέλη· τείχη· τὸ κάρη ἄρα· εἰ μὲν ἑνικόν
ἐστιν, οὐκ ὤφειλε λήγειν εἰς η· ὥστε πέπονθεν
ἄρα ἀποκοπήν. καὶ ἔστιν αἰτιατικῆς τῶν
πληθυντικῶν.

Κάρηνα· ἀκροπόλεις· ἐξοχάς· ἐξ οὗ βασι
:λεια

ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα.
ἀπὸ τοῦ κάρα κάρηνον οὐδέτερον· καὶ κά
:ρηνα· σημαίνει δὲ τὴν κεφαλήν.

—— τῇ ῥα μάλιστα ἂν πίπτε κάρηνα.

Κάρητος· τῶν εἰς αρ οὐδετέρων τὰ μὲν
ὑπὲρ δύο συλλαβὰς ἅπαντα διὰ τοῦ τος
κλίνεται· οἷον ὄνειαρ ὀνείατος· σημαίνει
δὲ τὸ ὄφελος καὶ τὸ βρῶμα· ἄλειφαρ ἀ
:λείφατος· σημαίνει τὸ ἄλειμμα· οὕτως
οὖν καὶ κάρηαρ καρήατος· καὶ κατὰ
συγκοπὴν κάρητος· καὶ κρατός· τῶν δὲ
δισυλλάβων τὰ μὲν φύσει μακρά· διὰ
τοῦ τος κλίνεται· οἷον ἧπαρ ἥπατος
ἦμαρ ἤματος· εἶδαρ εἴδατος· σημαίνει
τὸ βρῶμα. οὖθαρ οὔθατος· σημαίνει τὸν
μαστόν· τὰ δὲ βραχέα ἢ θέσει μακρά—

παραληγόμενα διὰ τοῦ ρος κλίνεται.
οἷον θέναρ· θέναρος· σημαίνει τὸ κοῖλον
τῆς χειρός· παρὰ τὸ θένειν ἤγουν τύπ-
-τειν. ὕπαρ ὕπαρος σημαίνει τὸ ἀληθι-
-νὸν ἐνύπνιον τὴν λεγομένην ὀπτασίαν.
ἔαρ ἔαρος· καὶ κατὰ κρᾶσιν ἦρος. κέαρ
κέαρος καὶ κῆρος· ἄλκαρ ἄλκαρος· σημαί-
-νει τὴν βοήθειαν. σεσημείωται τὸ φρέαρ
φρέατος· καὶ στέαρ στέατος· ὅτι βραχέα
παραληγόμενα διὰ τοῦ τος ἐκλίθη.
ἀλλ' ἔστιν εἰπεῖν ὅτι φρεῖαρ καὶ στεῖαρ
ἦν. καὶ ὡς ἔχοντα φύσει μακρὰν τὴν
παραλήγουσαν. τούτου χάριν ἐκλίθη.
διὰ τοῦ τος οἷον φρείατος καὶ στεία-
-τος. λέγει δὲ ὁ Ἡρωδιανὸς ἐν μονοβί-
-βλῳ. ὅτι τὰ εἰς αρ οὐδέτερα παρα-
-ληγόμενα τῷ ω ἄκλιτα εἰσί. μῶμαρ
σημαίνει τὸν μῶμον. μῶμαρ σημαίνει
τὸν μέγαν. νῶκαρ σημαίνει τὴν στέρησιν
τῆς ψυχῆς. οὕτως ὁ Χοιροβοσκός.

Καρίς· εἰς τὸ παρὰ Κρατίνῳ

β. ἔχων πρόσωπον καρίδος μαλθακίνης.
ἀντὶ τοῦ κερατίνης. λέγεται δὲ καρίς
παρὰ τὸ σκαίρω σκαρὶς καὶ καρίς. ἢ

παρὰ τὸ κάρα καρός. καὶ γὰρ ὅλη ἡ
καρὶς σχεδὸν κεφαλή ἐστι. τινὲς δὲ λέ-
γουσιν ὅτι ἡ καρὶς σύνθετόν ἐστι παρὰ
τὸ κάρα καὶ τὸ ἶς ἰνός· οἱονεὶ ἡ ἔχουσα
ἐν τῇ κεφαλῇ ἶνας. ὃ ἐστι καὶ ὁ τό-
νος καὶ ἡ κλίσις ἀντίκειται. ὁ τόνος
μὲν. ὅτι εἰ ἦν σύνθετον ἀπὸ τοῦ ἶς
ἰνός. ἤμελλε βαρύνεσθαι. πᾶν γὰρ ὄνομα
μονοσύλλαβον ἐν τῇ συνθέσει βαρύνεται. καλ̄.
οἷον χθὼν αὐτόχθων. θρὰξ σαμόθραξ.
χωρὶς τοῦ πτὼξ. πολυπτὼξ. ὡς παρὰ
Καλλιμάχῳ

——— πολυπτῶκές τε μέλαιναι. β

μέλαιναι δὲ ἐστι τόπος τῆς Ἀττικῆς. ὥστε
οὐκ ἔστι σύνθετον. ἡ δὲ κλίσις ἐπειδὴ
τὸ μὲν καρὶς διὰ τοῦ δος κλίνεται. τὸ
δὲ ἶς διὰ τοῦ νος. εἰ δὲ ἦν ἀπ᾽ αὐτοῦ.
εἶχεν ἂν κλίνεσθαι διὰ τοῦ νος. τὰ γὰρ
εἰς ἶς σύνθετα τὴν τῶν ἁπλῶν φυλάτ-
τουσι κλίσιν. οἷον ἀντῖνα ἀντῖνος.
ἐνάντιν ἐναντῖνος. γλωχὶν γλωχῖνος.
τριγλώχιν τριγλώχινος:

Καρκῖνος ζῷον θαλάσσιον. καρκῖνος ἔλ-
θων ἐκ βυθοῦ θαλαττίου ὁ λεγόμενος
πάγουρος. καράκινός τις ὤν. ὁ κινῶν
ἐπὶ συχνῷ τὴν κάραν.

καρός· σημαίνει τὴν θανατηφόρον μοῖραν. ἀπὸ τοῦ κῆρ κηρός. συστολὴ τοῦ η καρός. διὰ δὲ τοῦ κὴρ τὸ η εἰς α ἐτράπη· καὶ οὐκ εἰς ε. ἴσως φεὺν φενὸς. ὅτι οὐκ ἔστι τὸ κάρος κατὰ ἀνάλογον κλίσιν· ἀλλὰ συστολὴν ποιητικήν. καὶ τούτου χάριν οὐκ ἐφύλαξε τὴν ἀκολουθίαν τοῦ φεὺν φενὸς.

Κάρος. σκότωσις· παρὰ τὸ κὰρ ἃ βλάπτειν. ὡς παρὰ ἀπολλω . . .

——— ——— ἐναργὸν αὐτίκα ὁ δοῦ

β· ἐπ' αὐχένιοιο κάρος δὲ μὶν ἀμφεκάλυψεν.

Καλπαλίμως· ἀντὶ τοῦ ταχέως. ὡς παρὰ τὸ γόνος γίνεται γόνιμος. καὶ πόμπος πόμπιμος· οὕτω καὶ παρὰ τὸ κάπω τὸ πνέω· ἐξ οὗ τὸ καπύω· οἷον

——— ἀπὸ δὲ ψυχὴν ἐκάπυσε.

γίνεται κάπος καὶ πλεονασμῷ τοῦ ν κάπνος· εἶτα μετὰ προσθέσεως τοῦ ε πάρπος καὶ κάρπιμος. ἀποβολὴ τοῦ ν καὶ προσθέσει τῆς αλ συλλαβῆς καρπαλίμως.

Καρπὸς κυρίως. ὁ ἀπροσμάχητος στάχυς. παρὰ τὸ κάρφος τὸ σημαῖνον τὸ ξηρὸν. καρφός, καρπός. ἔνθεν καὶ ὁ τῆς κηρὸς

ξηρὸς τόπος· καὶ ἄδαρκος καρπὸς λέγεται.
παρὰ τὸ κάρφος ὦρος·
Κάρρων. οἷον καὶ κάρρων βοῦς. τρίτος
τύπος ἐστὶ τῶν συγκριτ(ικῶν)· ὡς παρὰ τὸ
βαρὺς γίνεται βαρύτερος βαρίων ὁ
τρίτος τόπος. βάσσων. ἔνθεν παρ᾽ ἐπι-
χάρμῳ. βασσῶν τὸ χωρίον. ἐλαχὺς ἐλα-
χίων. ἐλάχιστος ἐλάσσων. ταχύτερος.
ταχίων τάχιστος. ὁ τρίτος τάσσων καὶ
θάσσων. βραχὺς βραχύτερος βραχίων
βράσσων. ὅπερ συνεμπίπτει ἀπὸ τοῦ
βραδύς. διὰ τὸ ἀμαυροῦσθαι τὸ σύμφω-
νον. γλυκὺς γλυκύτερος γλυκίων γλυ-
κιστος. ὁ τρίτος τύπος γλύσσων. κέ-
χρηται δὲ ξενοφάνης τῷ ὀνόματι. οἷον
γλύσσονα σῦκα. καὶ πάλιν παχύτερος
παχίων πάχιστος. ὁ τρίτος τύπος πάσ-
σων. μείζονα τ᾽ εἰσιδέειν. καὶ πάσσονα.
ἀντὶ τοῦ μείζονα καὶ παχύτερον.
πάλιν μακρότερον. οἷον μῆκος μηκίων.
μήκιστος. ὁ τρίτος τύπος μήσσων.
οἷον οἴομαι ἢ ἔτι μάσσων ἀντὶ τοῦ
μακρότερος. οὕτως οὖν καὶ κρατὺς κρα-
τύτερος. κρατίων κράτιστος. ὁ τρί-
τος κράσσων. ὑπερθὲν κράσσων καὶ κάρ-
ρων. ὡς ἡ μυρσίνη μυρρίνη. οὕτως Ἡρωδιανός

ἐν τῷ περὶ παθῶν

Κάρτα παρὰ τὸ κρατὺς κρατέα· ὡς ταχὺς ταχέα· καὶ κατὰ συγκοπὴν καὶ μετάθεσιν κάρτα.

Καρύκη· ἔψημά τι δι' αἵματος καὶ ἀρτυμάτων παντοίων. ὁ δὲ δίδυμος λύδιον βρῶμα φησί· ἐκ πολυτελοῦς σκευασίας συγκείμενον. ἐγὼ δὲ οἶμαι καρύκην αὐτὴν λέγεσθαι, ἐπειδὴ μέλαν ἐστί· φησὶ γὰρ ἐν τῇ κωμικῇ λέξει· οὕτω καρύκειον καρυοβαφὲς καὶ καρυροόσβοιον μὴ μέλανος ῥόος· οὐκ οἶδ' ἐκ τούτου οἶμαι λέγεται καρύκη. ὥρος.

Καρχαλέος· καρχαλέοι κύνες· ὥστε περὶ βρώμης ὀλέκοιεν ἀλλήλους. καρχαλέος ὁ τραχὺς ἀπὸ τοῦ κάρφος.

Καρχαρόδους· τὰ ζῶα τοὺς κεχαραγμένους ἔχοντας τοὺς ὀδόντας· τουτέστι στρογγύλους· καὶ ὀξεῖς· καὶ ἐναλλάσσοντας ἑαυτοῖς, ὥσπερ λύκος λέων. πάρδαλις. εἴρηται παρὰ τὸ χαράσσω ῥῆμα ὅπερ ἐν συνθέσει μετὰ τοῦ ὀδοὺς· γίνεται χαρόδους καὶ κατὰ ἀναδιπλασιασμὸν καρχαρόδου καὶ καρχαρόδους. ἀμφόδοντα

δὲ λέγει ζῶα, ὅσα οὐκ ἐνηλλαγμένους ἔχει τοὺς ὀδόντας· στρογγύλους καὶ ὀξεῖς· ἀλλὰ παχεῖς καὶ πλατεῖς. ὡς ἐστὶν ἄνθρωπος, ἵππος καὶ τὰ ὅμοια. χαυλιόδοντα δὲ ὅσα ἔξωθεν ἔχει τοὺς ὀδόντας ὑπερφερεῖς. ὡς ἐστι σῦς· ἐλέφας, ἀσπάλαξ.

Κασσαβάς· λέγεται ἡ πόρνη παρὰ τὸ καλεῖν καὶ σοβεῖν.

Κασίγνητος· Ἡσίοδος·

Μηδὲ κασιγνήτω ἶσον ποιεῖσθαι ἑταῖρον.
Εἰ δὲ καὶ ποιήσῃς μή μιν πρότερος κακὸν ἔρξαι
Μηδὲ ψεύδεσθαι γλώσσης χάριν· εἰ δὲ σέ γ' ἄρχῃ
Εἴτ' ἔπος εἰπὼν ἀποθύμιον, ἢ καὶ ἔρξας
Δὶς τόσα τίνυσθαι μεμνημένος· εἰ δέ κεν αὖτις
Ἡγεῖται φιλότητα, δίκην δ' ἐθέλῃσι παρασχεῖν
Δέξασθαι· δειλός τοι ἀνὴρ φίλον ἄλλοτ' ἄλλον ποιεῖσθαι.
Σὲ δὲ μή τι νόος κατελεγχέτω εἶδος
Μηδὲ πολύξεινον μηδ' ἄξεινον καλέεσθαι.
Μηδὲ κακῶν ἕταρον μηδ' ἐσθλῶν νεικεστῆρα. β.

χο. τοῦ ἀδελφοῦ σου μὴ προτίμα τὸν φίλον σου· ἐὰν δὲ καὶ ποιῇ φίλον, μὴ σὺ πρῶτον αὐτὸν ἀτιμάσῃς· μηδὲ καταψεύσῃ αὐτόν· ἐὰν δὲ αὐτὸς ἀρχὴν ποιήσῃ τοῦ ἀτιμάσαι σε· διπλάσιον αὐτῷ κακὸν ἀπόδος· μεμνημένος ὧν εἰς σὲ διεπράξατο.

ἐὰν δὲ πάλιν βουληθῇ διαλλαγῆναι· καὶ φιλιωθῆναι σοι καὶ προσπέσῃ σοι, δέξαι αὐτόν· ἄθλιος γὰρ ἐκεῖνος ὅστις ἀπὸ τούτου εἰς τοῦτον μεταβάλλει φίλον· σὺ δὲ εἴπερ ἔχεις καλὴν εἰδέαν, μὴ ἔσο μωρός, ἢ μὴ ἡ μωρία σου ἀτιμάσῃ τὴν εἰδέαν σου· μηδὲ πολύξεινος· ὡς καταφρόνητον γὰρ τοὺς πολλοὺς ξενίζειν· τὸ δὲ ἄξεινον ἀμφιλαφές. μὴ δὲ κακοὺς εἴποις τοὺς ἀγαθούς. εἴρηται κασίγνητος παρὰ τὸ κάσιος ὁ ἀδελφὸς καὶ τὸ γνῶς· γνωτός· ὁ σημαίνει τὸν γνήσιον· καὶ ὀγνῆται οἱ ἑόδιοι.

β Κάσσα· ἡ πόρνη· παρὰ τὸ καίω· κάσσω κάσσα· λυκ...

λίποντα κάσσης ἐκβαλοῦν πελειάδος.

Κασανεῖα· πόλις Μαγνησίας· ὅθεν καὶ κασανεῖτα κάρυα· εἴρηται ἀπὸ κασάνης τινός

β Κασωρεύουσα· πορνεύουσα· παρὰ τὸ κάσωρις· κασωρεύουσα λυ

μονδοῖς γυναικόπλωψι ἡ δὲ ὤσσαρα μηρινη κασσωρεύουσα κοιλανεῖ δόμους.

β. Κασωρὶς ἡ καταφερής· ἡ πόρνη· κασσαβὰς λέγεται ἡ πόρνη· παρὰ τὸ καλεῖν καὶ σοβεῖν· ἐξ αὐτοῦ γίνεται παρὰ σχηματισμὸν

καθωρεῖς. λυ...

ὅταν κόρη καθωρεῖς εἰς ἐπίσιον

χλεύην ὑλαπτήσασα καθυγάμεις

β νυμφεῖα πρὸς κυλοστὰ καρβάνων τελεῖν. β.

ἐπίσιον σημαίνει τὸ γυναικεῖον καὶ ἀν-

:δρεῖον αἰδοῖον. κυλοστὰ δὲ τὰ ἀκόλαστα

τὸ ἑξῆς ὅταν ἡ τοῦ νεάλεως θυγάτηρ

τύπτουσα εἰς τὸ αἰδοῖον χλευάσῃ.

τὰ νυμφεῖα προσάξῃ. βαρβάρων κυλοστὰ

τουτέστιν εἰς τοὺς παρὰ τῶν καρβάνων

κοινοὺς τόπους ἐν αἷς αἱ ἑταιρίδες

διατρίβουσι. κυλοστὰ γὰρ ἐκαλοῦντο

ἀτα βόστρυχος. κομῶν τοῖς βοστρύχοις.

τὸ γὰρ κατὰ πλήθους ἐμφατικόν ἐστι:

Καταδραθεῖν. εἰς τὸ δραθεῖν. καταρ-

:τίζω. ἁρμόζω. ἐκ τοῦ ἀρτίζω.

Καταείνυον

Θρίξὶ πάντα νέκυν καταείνυον.

ἀντὶ τοῦ κατεκάλυπτον. πάντα ἀντὶ

τοῦ ὅλου. δασέος. ἀπὸ τοῦ ἕω. ἕνδω.

καὶ εἴνδω.

Καταθύμιος. κατὰ ψυχήν, κατὰ νοῦν.

Καταΐγδην. ἀπὸ τοῦ καταΐσσω, ἢ

εἰς τὸ ἔμπροσθεν ὁρμῶσα καὶ ἀΐσσουσα

οἷον.

Ἡ δ᾽ ἄφαρ ὥστε κυλινδρος ἐπέτρεχε κύμασι λάβρως.

προκαταΐγδην κοίλης ἄλλος ἐνδαραμης.

Καταιβάτο· καθωρμῆσε κατῆλθε
——— ὅθ' οἱ καταιβάτο γαίης.

Κατακάββα· ἡ κατωφερὴς καὶ πόρνη
Καλλίμαχος·

β σκύλα γυνὴ κατακάββα καὶ οὐ φάθος ὄνομ' ἔχουσα
εἴρηται ἢ παρὰ τὸ καταχεῖσθαι ἐπὶ παντὶ
ἢ ἡ τοῦ κατακαυθῆναι ἀξία διὰ τὴν
ἀσέλγειαν αὐτῆς·

Κατάκλεις· κλεῖς καὶ κατάκλεις ἀπὸ
τοῦ ἐγκλεῖσθαι μέχρι αὐτῆς τὰ ἐντός·
καὶ αἱ μὲν τοῦ σώματος κατακλεῖδες
εἴρηνται διὰ τὸ ἐπικαμπεῖς εἶναι·
καὶ ἐοικέναι ταῖς τῶν θυρῶν κλεισί·
καὶ ὅτι μέχρι αὐτῆς τὰ ἐντὸς ἐγκλεί=
=ονται· παρὰ τὸ κλεῖς κατακλεῖδες.
ἐπὶ δὲ τῶν ἐρεσσόντων, ὅτι ἐπ' αὐταῖς
ἑζόμενοι τὸ ζεῦγμα ἔχουσι.

Καταπέμψει· καταχεῖ· καταδαπα=
=νήσει· ἤτοι καταπεραίνει ἢ μεταφο=
=ρὰ ἀπὸ τῶν ἐν ζυγῷ ... καταπον=
=τίζεσθαι. Ἀττικοὶ ἀντὶ τοῦ καταπον=
=τισθῆ.

Καταδημοβορῆσαι· καταναλῶσαι.

Κατακλῶθες· αἱ ἐπικλώσεις τῶν
μοιρῶν· παρὰ τὸ κλώθω· τοῦτο δὲ

παρά τό κάτω καθέλκειν τοὺς τῶν κυμάτων ὁλκούς. κλώθειν γάρ τό νήθειν. ὅθεν καί κλῶσις. παρά τόν κλώσω μέλλοντα. εἴρηται καταπτανέσθαι. ἀπό τοῦ καταπτάνομαι. ἀλλά καί ὡς ὀλέσθαι κακόν μόρον ἀπό τοῦ ὀλῶ. ὀλῶ μελλ. ἰωνικῶς.

Καταῖτυξ. εἶδος περικεφαλαίας. μή ἔχουσα λόφους κατωφερούς. παρά τό κάτω τετύχθαι. ὡς πρός τήν αὐλωπίδα τήν ἀνάστασιν ἔχουσα.

Κατακρῆθεν. παρά τό κάρη ὀξυνόμενον γίνεται καρῆθεν. καί κατά συγκοπήν κρῆθεν. τοῦτο καί Ἡσίοδος β ἐξεδέξατο εἰπών.

καί ἀπό κρῆθεν βλεφάρων.

Καταπλ. εἰς τό κατέκταθεν.

Καταμῆρε ἔκαη. Πτολεμαῖος ἐν τελευταίῳ παραλαμβάνει μηρία. ἵνα ἰωνικῶς ἔκαη. μεταπλασμός γάρ λέγεται ἐκ τοῦ μηρία μῆρα, ὡς τά ὄσσα ὄσσε. καί ὄψα ὄψε. οὐχ ἔ ρον δέ τοῦτο ἀλλά μᾶλλον ἀποκοπήν. φαμέν τοῦ μῆρα ἅπερ εἰσί τά ἁγιαζόμενα τοῖς θεοῖς. τό δε μήρ. ἀπό τοῦ μηρία κατά συγκοπήν.

Καταπέφνην· ἔρχεται εἰς τὸ ἔπεφνον.
Κατεμύξατο· κατημάτωσε, κατέξυσε
εἰς τὸ ἀμύσσω ἡ ἐτυμολογία.
Καταπροΐξασθαι ἀπὸ τῆς προικός
ἣν διαιροῦντες οἱ Ἴωνες πρόϊκα λέ-
γουσι· ὥσπερ δῶρον ἡ προὶξ δωρεὰν
δίδοται. οὕτω φασὶν οὐ δωρεὰν μου
καταγνωσθήσεταί τις· ἀλλ' ἀποδώσει
μισθὸν ὧν ἔπραξα· καὶ ὁ ἐπαίτης
καὶ ὁ προῖκα αἰτῶν· προΐκτης λέγε-
ται· οὕτως εὗρον ἐν ὑπομνήματι ἐπω-
δῶν ἀρχιλόχου.
Καταρρεπής.
Ἔνθεν δ' αὐτίκα πάντα καταρρεπὲς ἔσσυτο κῦμα.
Καταχεύειν ἀπὸ τοῦ χῶ· χεύσω καὶ καταχεύ-
ειν.
Κατέχευε· ἔρχεται εἰς τὸ χεῦ.
Καταχήνη· ἡ χάσμωσις παρὰ τὸ χαί-
νω ῥῆμα γίνεται χήνη καὶ καταχήνη.
Καταψήχειν· τὸ ἠρέμα κολακεύειν.
καὶ κρατεῖν. ἔρχεται ἀπὸ τοῦ
καταψῶ καταψήσω· καὶ ἀνεδόθη εἰς
ἐνεστῶτα καταψήχω. τὸ δὲ κατάψηκτον
σύνθετον ἀπὸ τοῦ ψῆκα ταψῶ. καὶ
τὸ ψαύω. ἐκ τούτου τοῦ ψώχω καὶ
τοῦ ψήχω τὸ κρατῶ κατὰ τροπήν

τοῦ η εἰς ω. ὡς εὔδω· εὔξω εὖξ καὶ
ἔωξ· καὶ ἀπορῶξ.

Κατειμένον ὕλη· μεταφορικῶς ἠμφι-
εσμένον ἐν αὐτῷ.

Κατέκταθον. ἀπὸ τοῦ τείνω. κτείνω
ὁ ἀόριστος παθητικὸς ἐκτάνθην. ὡς
φαίνω ἐφάνθην. τὸ πρῶτον τῶν πλη-
θυντικῶν ἐκτάνθημεν. ἐκτάνθητε.
ἐκτάνθησαν. ἔκτανθεν. ὡς ἐφάνθημεν
ἐφάνθησαν ἔφανθεν. ἢ ἐπὶ ἕτερον θέμα
κτῶ. ὁππότε κεν τοῦτον κλέομεν.
ἀπὸ τούτου γίνεται παράγωγον τῶν
εἰς μι. κτῆμι. ὁ δεύτερος ἀόριστος ἔκτην.
ὅπερ γίνεται ἔκταν. οἷον τὸ βοῦν κατέκ-
ταν πόδα καὶ πάλιν.

— ὅτε δῖον ἐρευθαλίωνα κατέκταν.
τὸ δεύτερον ἔκτας. τὸ τρίτον ἔκτα.
οἷον ζεὺς ὃς κατέκτα ὑμμερχίκτας.
ἄνδρα κατακτάς. ὁ μέσος ἀόριστος ἐκτά-
μην. ὡς ἔφην· ἐφάμην. τὸ τρίτον
ἔκτατο καὶ ἀπέκτατο.

— δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος.
ὁ δεύτερος ἀόριστος ἐκτάθην. ὡς ἐφάθην.
τὸ πρῶτον τῶν πληθυντικῶν ἐκτά-
θημεν ὡς ἐφάθημεν. τὸ τρίτον τῶν

πληθυντικὸν ἐκτάθησαν ὡς ἐφάνθησαν. καὶ ἔκταθεν. ἕτεροι δὲ κατεκτάθη. Κατέκτανεν ἀπὸ τοῦ κταίνω. ὁ δεύ-
-τερος ἀόριστος ἔκτανον.

Κατεμαυτόν. ἰστέον ὅτι ἡ εὐθεία τού-
-των ἡ ἐμαυτός. εἶχεν εἶναι ὡς ἑαυ-
-τός. ἀλλ' ἔστιν ἀδύνατος. οὔτε γὰρ ἐμαυτὸς δύναται εἶναι. οὔτε ἑαυτός. καὶ ἐμαυτὸς μέν. ὅτι πᾶσα σύνθετος ἀντωνυμία, θέλει εἶναι καὶ ὁμοιόπ-
-τωτος. καὶ ὁμοιοπρόσωπος. καὶ ἰσάριθμος. οἷον τὸ ἐμαυτοῦ ἐστιν. ἀπὸ τοῦ ἐμοῦ αὐτοῦ. τὸ δὲ ἐμαυτοῦ καὶ ἰσάριθμόν ἐστι. καὶ ὁμοιόπτωτον. καὶ ὁμοιοπρόσωπον. ἀμφότερα γὰρ τό τε ἐμοῦ καὶ αὐτοῦ. ἑνικά ἐστι. καὶ τρίτα πρόσωπα. καὶ πτώσεως γενι-
-κῆς. ἐὰν οὖν γένηται ἡ εὐθεία τούτων ἐμαυτός ἔμελλεν εἶναι ὁμοιόπτωτος. ὅπερ ἐστὶν ἀδύνατον, ἐπὶ συνθέτου ἀντωνυμίας. τὸ γὰρ αὐτός ἐστιν εὐθεία. τὸ δὲ ἐμὲ οὐκ ἔστιν εὐθεία. ἀπὸ γὰρ τοῦ ἐμὸς οὐκ ἠδύνατο γενέσθαι. ἐπει-
-δὴ οὐδέποτε κτητικὴ ἀντωνυμία

ποιεῖ σύνθετον ἀντωνυμίαν· ἀπὸ γὰρ τῶν
πρωτοτύπων ἀντωνυμιῶν γίνονται
αἱ σύνθετοι ἀντωνυμίαι· οἷον ἐμοῦ·
αὐτοῦ· ἐμοὶ αὐτῷ· ἐμαυτῷ· ἐμὲ αὐτόν.
ἐμαυτὸς δὲ οὐκ ἠδύνατο εἶναι· ἐπειδὴ
αἱ σύνθετοι ἀντωνυμίαι πρότερον ἐν
τῇ ἁπλότητι τὰς δύο συνθέσεις ἀνα
:δέχονται· τήν τε αὐτοπαθῆ καὶ τὴν
ἀλλοπαθῆ· καὶ οὕτω συντίθενται. οἷον
ἐμοῦ ἤκουσας· καὶ αὐτοῦ ἤκουσα· διὰ
τοῦτο γὰρ καὶ ἐπενοήθησαν αἱ σύνθετοι
ἀντωνυμίαι· ἵνα καὶ διάκρισιν ποιήσω
:σι τῆς ἀλλοπαθοῦς· καὶ σχῶσι τὸ
αὐτοπαθὲς μόνον. αἱ δὲ ἁπλαῖ τὸ ἀλλο
:παθές. τὸ οὖν ἐγὼ αὐτός. ἐπειδὴ ἐν
τῇ ἁπλότητι οὐκ ἐπιδέχεται τὰς
δύο συντάξεις τήν τε αὐτοπαθῆ καὶ
τὴν ἀλλοπαθῆ· εἰκότως οὐ δύναται
ποιῆσαι σύνθετον ἀντωνυμίαν. ὅτι
γὰρ ἡ ἐγὼ αὐτὸς τὴν ἀλλοπαθῆ μόνην
ἔχει. καὶ οὐχὶ τὴν αὐτοπαθῆ· δῆλον
ἐντεῦθεν. λεγόντων γὰρ ἡμῶν αὐτὸς
ἤκουσα. λέγει τινός, ἆρα Σωκράτους.
ἆρα Ἀλκιβιάδης. ὡς τὸ οὖν ἀλλοπαθὴς
ἐστίν. αὐτοπαθὴς δέ. οὐ δύναται εἶναι

ἢ ἐγὼ αὐτός. ἐπειδὴ οὐδέποτε εὐθεῖα εἰς
εὐθεῖαν δρᾷ, ἤγουν ἐνεργεῖ. οὐδεὶς γὰρ
λέγει σωκράτης πλάτων ἤκουσεν. ἀλλὰ
σωκράτης πλάτωνος ἤκουσεν. ἐπεὶ
οὖν ἐν τῷ ἐγὼ αὐτὸς εὐθεῖαι εἰσὶ δύο.
ἢ ἐγὼ καὶ αὐτός. τούτου χάριν οὐ
δύναται εἶναι αὐτοπαθής. τοιαῦτα
ἔχομεν εἰπεῖν, καὶ περὶ τοῦ μὴ δύνασθαι
συστῆναι τὸ ἐγὼ αὐτός. εὐθεῖα τῶν
δυϊκῶν καὶ τῶν πληθυντικῶν. ἔστω
ζήτει.
Κατιχνωθέντα. ἀπὸ τοῦ ἰχνῶ ἰχνῶ.
τρίτης συζυγίας τῶν περισπωμένων
Κατενῶπα. ὡς κατὰ σῶμα ἀπὸ εὐθείας
τῆς ὤψ. ἥτις ἔχει τὴν αἰτιατικὴν
ὦπα. ὁ δὲ Ἀλεξίων καὶ οἱ πλείους
κατενῶπα. οἷς καὶ δεῖ πείθεσθαι. ἵνα
ᾖ ἀπὸ τοῦ ἐνώπια. καὶ ἐν συγκοπῇ
ἐνῶπα. καὶ τῷ Ἀριστάρχῳ. οὕτως ἐστὶν
ἐνώπιον ἡ πρόσωψις. παρ' ὧν ἡ αἰτια-
τικὴ ἐνώπην. ὃν οὖν τρόπον τὴν
ἰωνικὴν ἴδηκα εἶπε μεταπλάσας.
οὕτως οὖν καὶ τὴν ἐνώπην ἐνῶπα.
Κατεπόθη. ἔστι ῥῆμα παθ. παράγωγον

πῶμι· ὁ μέλλων πώσω. ὁ παρακείμε-
:νος πέπωκα. ὁ παθητικὸς πέπομαι
διὰ τοῦ ο̄ ὡς δέδωκα, δέδομαι, ὁ ἀόριστος
πρῶτος ἐπόθην καὶ κατεπόθην. οὕτω,
Χοιροβοσκός.

Κατήραξεν· κατέτριψε· κατεπράϋνε.

Κατερύκω· κατέχω· καταλαμβάνω.

Κατηγορεῖν· λέγεται κοινῶς. τὸ κατά τι-
:νος ἀγορευόμενον κατηγορεῖσθαι τῶν
εἰδῶν. κατηγορεῖν δὲ λέγεται καὶ τοὺς
περί τινων ἀδίκως λέγοντας. ὧρος καὶ
ζη´.

Κατηλυσίη· οἷον

——— καταλυσίη ζεφύροιο·

σημαίνει δὲ τὴν κάθοδον καὶ τὴν ἐπέ-
:λευσιν, ἐλευσίη τις οὖσα καὶ ἐλυσίη.
καὶ ἠλυσίη· καὶ μετὰ τῆς κατὰ προθέσε-
:ως γέγονε καταλυσίη.

Κατηοῦς. ἔχει τὸ ι. ἀπὸ γὰρ τοῦ καταιονῶ
καταιονᾶς, καταιονᾶ σημαίνει δὲ τὸ
κατήντλουν.

Κατήρεε. κατελάμβανε. παρὰ τὸ αἱρῶ
περισπώμενον. ὃ σημαίνει τὸ καταλαμ-
βάνω. μηδέ σε λήθη αἱρείτω.

Κατηφής· ὁ ὑπὸ αἰσχύνης κάτω νεύων
τοὺς ὀφθαλμοὺς, ἤγουν αἰσχυνόμενος—

παρὰ τὸ φῶ. τὸ φαίνω. γέγονε παρά-
-γωγον φάω καὶ φάος. καὶ ἐν συνθέσει
μετὰ τῆς κατὰ προθέσεως γέγονε
καταφαής. καὶ τροπῇ τοῦ ᾱ. εἰς η
καὶ ἐν συγκοπῇ κατηφής. ὁ ἔχων
κάτω τὰ φάη ἤγουν τοὺς ὀφθαλμοὺς
ἐξ οὗ καὶ τὸ θηλυκὸν ἡ κατήφεια.

Κατήφονες. αἰσχύνης μεστοί· ἀπὸ τοῦ
κατηφὴς θηλυκὴν προσηγορίαν ὀνει-
-δίσαι αὐτοὺς ἠθέλησεν.

Κάτθανε ἡ κατὰ συγκοπήν· ἐὰν
ἔχῃ ἐπαγόμενον δασὺ τὸ τ ἑαυτῆς.
εἰς τὸ ἀντίστοιχον τοῦ ἐπαγομένου
δασέος ψιλὸν μεταβάλλει διὰ τὸ μὴ
δύνασθαι συλλαβὴν εἰς δασὺ καταλή-
-γειν. οἷον καταθανεῖν κατθανεῖν
κατάθανε. κάτθανε. καὶ πα ---
καταφάλλαρα καπφάλαρα.

Κατουλάς. κατουλὰς καλεῖται ἡ σκο-
-τεινὴ νύξ, διὰ τὸ οὐλοὸν αὐτὴν
εἶναι. οἷον.

νὺξ ἐφόβει τὴν πρὶν κατουλάδα κικλήσκουσι.

Κατωμαδόν. κατὰ τοὺς ὤμους τῶν
ἵππων.

—— κατωμαδὸν ἤλασεν ἵππους.

Κατόπιν ---- μετὰ τοῦτο κατόπιν
ἔος τῆς ἥκομεν.

Καύηξ· ὁ λάρος, διὰ τὸ ἀδηφάγον·
καύη γὰρ ἡ τροφὴ ἣν φορεῖ ------
οὐδ' αἴθυιε οὐδὲ κηρύεσαι καὶ ----
ἀπὸ τοῦ καὺ λέγειν καύηξ ἐρεῖνου
προσκαθήμενος κλαδ. --------

Καύκωνες ἔλικας βόας· ἀποκοπὴ
καὶ συγκοπὴ καύκωνες· πτολίεθρον
καὶ κατὰ συγκοπὴν καύσων Ἡρωδια-
-νὸς περὶ παθῶν.

Καυκωνία· αὐλωνία· καὶ πλεονασ-
-μῷ τοῦ κ καυλωνία· περὶ παθῶν.

Καυλός. τὸ ἄκρον τοῦ δόρατος· ὁ
εἰς τὸ ὀξὺ ἐντίθεται· γέγονε δὲ κατὰ
πλεονασμὸν τοῦ κ· αὐλῷ γὰρ ἔοικε.
πᾶν γὰρ ἐπίμηκες αὐλὸς λέγεται.

Καῦμα τὸ κεκαυμένον ἄημα.

Καΰστρου ---- ἀπὸ καυστρίου
τινός.

Καῦρος ὁ κοῦφος ταῖς φρεσίν· οἱονεὶ
αὖρος τις ὤν· πλεονασμῷ τοῦ
κ· καῦρος· τὸν γὰρ κατὰ νοῦν ἐλα-
-φρὸν καῦρον ἐπονομάζουσι· βέλτιον
δὲ διὰ τὸ γαῦρον λέγειν. ἵν' ᾖ ὁ σφοδρός

καὶ ὑπερήφανος· παρὰ τὸ ἀπὸ γῆς
αἴρεσθαι·
Καυσία εἴρηται μὲν καμηλαύκιον·
παρὰ τὸ ἐλαύνειν τὸ καῦμα· καὶ γὰρ
ἡ καυκασία ἔοικε διὰ τὸ πρὸς καῦμα
εἶναι ἐπιτήδειον· ἔστι γὰρ τι κάλλυ-
μα κεφαλῆς τοῦτο· Ἀντίπατρος Θεσ-
β σαλονικεὺς ἐν ἐπιγράμμασι

Καυσίη ἥτοι πάροιθεν μακηδόσιν εὔκολον ὅπλον
καὶ σκέπας ἐν νιφετῷ καὶ κόρυς ἐν πολ:

Καυστειρός· ἀπὸ τοῦ καίω· καύσω·
κέκαυμαι κέκαυσται· καυστειρός· ὥρος·
κατὰ τροπὴν Δωρικὴν τοῦ η εἰς
τὴν ει δίφθογγον.
Καχλάζω· οἷον· — κοῖλαι δὲ σπήλυγγες
ὑπὸ σπιλάδας τρηχείας λευκὴ καχλά-
ζοντος ἀν.. πλε καύματος ἄχνη
ὁ λευκὸς ἀφρός· τοῦ κύματος καχλά-
ζοντος· οἱονεὶ ταρασσομένου ταῖς
σπιλάσι ταῖς τραχείαις καὶ ταῖς
κοίλαις ἐκβράσσειν ἀνέπεμπεν· πεποί-
ηται δὲ τὸ καχλάζω - - -
ὁ γὰρ ἦχος τοῦ κύματος ἐν τοῖς κοι-
λώμασι τῶν πετρῶν γινόμενος δοκεῖ

μιμεῖσθαι τὸ κάχλα κάχλα.
Κάψα· παρὰ τὸ κάπτω. εἶμα, τὸ
δηλοῦν τὸ χορὸν γέγονεν· ἡ χωριστικὴ
οὖσα τῶν ἐντιθεμένων ἐν αὐτῇ.
ὥσπερ ἀπὸ τοῦ δόξω· δόξα· καὶ
ἄξω· ἄξα· οὕτω Φίλων ἐν τῷ περὶ
Ῥωμαίων διαλέκτω λέγει δὲ ὅτι δύνα-
ται· καὶ παρὰ τὸ κάμπτω κάμψα-
εἶναι· ἐπειδὴ ἐκ κεκαυμένων ξύλων
αὐτὴν συνεστήσαντο.

τὸ Κ. μετὰ τοῦ Ε

Κέαρ ἡ ψυχή· παρὰ τὸ κεκρᾶσθαι
ἐκ ψυχροῦ καὶ θερμοῦ ἐπίσης ἔχον.
- - - - κέρδε ἀπὸ τοῦ δίκην
κηροῦ ἀπομάττεσθαι τὰ μαθήματα.
Κέαται· ὅτι οὐ μόνον ἐπὶ παρακειμέ-
νου καὶ ὑπερσυντελίκου παθητικοῦ
ποιοῦσιν οἱ Ἴωνες. τρίτον π - - -
ἀλλὰ καὶ ἐπὶ ἐνεστῶτος. οἷον κεῖμαι
κεῖσαι καὶ — κέαται ψυχὰς ὀλέσαντες.
καὶ ἧται ἕαται. οἷον δύνω ἕαται σιγῇ
καὶ ἧστο ψυχὴν ὀλε. - - - -
Κέβλη· κεφαλὴ κατὰ συγκοπήν· καὶ
τροπῇ κέβλη.

Κεγχρίνης· εἶδος ὄφεως· ὡς Νίκανδρος·
οἷον

~~θήρ~~ κεγχρίνεω δολιχὸν τέρας, ὅν τε λέοντα
ἔτερον δὲ ὀνομάσαι διά τό φαίνεσθαι ἀσ:τόν τόν καιρόν τοῦ κέγχρου. ἢ διά τό ποικίλον εἶναι καί κατεστίχθαι. ὥσπερ γάρ κέγχρους τινάς ἐπί τά νῶτα ἔχει.

Κέδρος· κέντρος· κεντρώδης γάρ ἐστι.

Κεδνός· σεμνός· σώφρων· τίμιος· κηδαιμονικώτατος. ἔστι ῥῆμα κήδω τό σημαῖνον τό νοῶ. ὁ μέλλων κή:σω. καί ῥηματικόν ὄνομα κοεδνός. ὡς τέρπω τερπνός. καί κατά συγ:κοπήν κεδνός. ἢ κηδανός τις ὤν. ἐξ ἄν τις κήδοιτο.

Κεῖθεν. ἐκ τοῦ ἐκεῖνος. ἐκεινόθεν. καί κατά συγκοπήν ἐκεῖθεν καί κεῖθεν. ἢ ἐκ τοῦ κεῖνος. ὡς λέσβος λεσβόθεν. ἄβυδος· ἀβυδόθεν. καί κατά συγκοπήν κεῖθεν. οὐδέν εἰς θεν λῆγον ἐπίρρημα τῇ ει διφθόγγω παραλήγεται. χωρίς τούτου. δηλονότι συγκοπῇ. τό γάρ ἐντελές αὐτοῦ ἐπίσταται ἅπας.

Κεῖθι. ἐκ τοῦ ἐκεινόθι. ἢ κεινόθι. καί

ἐκ τοῦ ἔκειθε· κεῖθε·

Κεῖμαι· ἰστέον ὅτι τὸ κεῖμαι καὶ ἧμαι
ἐλέγχονται μήτε ἀπὸ τῶν εἰς ω εἶναι,
μήτε ἀπὸ τῶν εἰς μι· ὅτι τὰ ἀπὸ
τῶν εἰς ω ἢ τῷ ο παραλήγεται· οἷον
τύπτομαι λέγομαι· ἢ τῷ ω· οἷον βοῶμαι
νικῶμαι· ἢ τῇ ου διφθόγγῳ· οἷον χρυ-
σοῦμαι· νοοῦμαι· ἄρα οὐκ ἔστιν ἀπὸ
τῶν εἰς ω· ἀπὸ δὲ τῶν εἰς μι· ἢ τῷ
ε παραλήγεται ἐν τῷ παθητικῷ ἐνεσ-
τῶτι· οἷον τίθεμαι· ἢ τῷ α συνεσταλ-
μένῳ· οἷον ἵσταμαι· ἢ τῷ ο οἷον δίδο-
μαι· ἢ διχρόνῳ συνεσταλμένως ζεύγνυ-
μαι· ἄρα οὐκ ἔστιν ἀπὸ τῶν εἰς μι·
ἀλλ' ἔστιν εἰπεῖν ὅτι ἐλέγχονται
ταῦτα εἶναι ἀπὸ τῶν εἰς μι ἀπὸ
τῶν δευτέρων προσώπων τοῦ ἧσαι.
πᾶς γὰρ ἐνεστὼς εἰς μαι λήγων, εἰς
σαι ἔχων τὸ δεύτερον πρόσωπον,
ἀπὸ τῶν εἰς μι ἐστίν· οἷον τίθεμαι
τίθεσαι· ἵσταμαι ἵστασαι· εἰ οὖν ἐστι
τὸ ἧσαι καὶ κεῖσαι δεύτερα πρόσωπα
οἷον κεῖσαι ὀρεωτέρῃ· δῆλον ὅτι
ἀπὸ τῶν εἰς μι ἐστίν. ἔστι δὲ σχημα-
τίσαι αὐτὰ οὕτως· ἔστιν ἕω καὶ

κέω βαρυτόνως καὶ περισπωμένως
γίνεται ἔω καὶ κέω. καὶ κατὰ παρα-
γωγὴν τῶν εἰς μι. γίνεται ἔημι
καὶ κέημι. καὶ ὁ παθητικὸς ἐνεστώς.
ἔεμαι καὶ κέεμαι. καὶ κατὰ κρᾶσιν
τῇ μὲν τῶν δύο ε εἰς τὴν ει
δίφθογγον ἀκραίθη. ἐπὶ δὲ τοῦ ἧμαι
εἰς η ἐπειδὴ τὸ μὲν ἀπὸ φωνήεντος
ἄρχεται. τὸ δὲ ἀπὸ συμφώνου. τούτου
χάριν καὶ ἡ κρᾶσις γέγονε. ποῦ
μὲν εἰς η ποῦ δὲ διὰ διφθόγγου.
Κειμήλια. ἀπόθετα χρήματα. ὡς
παρὰ τὸν θήσω μέλλοντα γίνεται
θεμέλιον. οὕτω καὶ παρὰ τὸν κεί-
σομαι μέλλοντα γίνεται κειμήλιον.
ἢ παρὰ τὸ ἐκεῖ κεῖσθαι τὰ μήλια.
δι' ὧν τινα ἐκμειλισσόμεθα.
Κεῖνος. ἔστιν ἐνταῦθα σχηματισμὸς
θεματικὴ γάρ ἐστιν. ἔστι γὰρ εἰπεῖν.
ὅτι τὸ ε φωνῆεν πέφυκε πλεονάζειν.
οἷον ἥνδανεν. ἑήνδανεν. ὥρων ἑώ-
ρων. ἧκεν ἕηκεν. εἴκοσιν ἐείκοσι.
ἀφαιρεῖσθαι δὲ ὅτε μετὰ συμφώνου
ὑπάρχει. οἷον ἔσβη. σβῆ. ἔφη. φῆ.

ἕστη· στῆ· ἐμοῦ μοῦ· οὗτιον ἐκεῖνος· κεῖνος· ἀφαίρεσις ἄρα· καὶ πάλιν οὐδέποτε μονοπρόσωποι ἀντωνυμίαι ἀπαθεῖς οὖσαι ἀπὸ συμφώνου ἄρχονται· ἀλλ᾽ ἀπὸ φωνήεντος· οἷον αὐτός· οὗτος· ὅδε· μήποτε ἄρα ἐκεῖνος· καὶ κατὰ ἀφαίρεσιν κεῖνος. πρόσθεσις δὲ λέγεται τοῦ ε· ἐπειδὴ αἱ πρωτότυποι ἀντωνυμίαι ἀπαθεῖς οὖσαι οὐ θέλουσιν ὑπερβαίνειν τὴν δισυλλαβίαν· οἷον· ἐγώ· ἐμοῦ· αὐτός οὗτος· πρὸς ἀπαθεῖς· διὰ τὰς ἐπεκτεταμένας αὐτοσί· οὑτοσί· ἐκεινοσί· ὅθεν τὸ ἐκεῖνος ὑπερβαίνει τὴν δισυλλαβίαν· μήποτε τὸ κεῖνος ἐστὶ κυριώτερον. ὥσπερ πρὸς μὲν τὴν ποσότητα τῶν συλλαβῶν κεῖνος· πρὸς δὲ τὸ ἀπὸ φωνήεντος ἄρχεσθαι ἐκεῖνος· ὅθεν δίφθογγον γράφεται· ἐπειδὴ οἱ δωρικοὶ κῆνος λέγουσι διὰ τοῦ η· ὡς πλεῖον· μεῖον. μῆον.

Κεῖος· σημαίνει δὲ τὸν πολίτην τῆς κέω· γέγονε κέιος· καὶ κατὰ συναίρεσιν κεῖος.

Κειρία σημαίνει τὰ σχοινία· ἤγουν τὰ ἐντάφια δεσμά· λέγεται δὲ αἰολικῶς· παρὰ τὸ κείρω τὸ κόπτω· τουτέστι· παρὰ τὸ εἰς λεπτὰ κατακόπτεσθαι αὐτά· ἢ παρὰ τὸ κέρας τὸ σημαῖνον τὰς τρίχας· κερεία γὰρ γέγονε καὶ πλεονασμῷ τοῦ ι κειρία· καὶ γὰρ ἐκ τριχῶν ἦσαν κατὰ τὸ παλαιόν.

Κείω· σημαίνει τὸ καίω· ἀντέφανε γὰρ τὸ ε· ὡς ἐν τῷ κέδρου τ᾽ εὐκεάτοιο.

Κεδάζω σκεδάζω σκορπίζω· ἀπὸ τοῦ χέω σκεδάζω καὶ σκεδάζω.

Κείρειν ἀπὸ τοῦ ἀείρειν καὶ ἀποκόπτειν τὰς τρίχας· οὕτως ἐγώ.

Κείων· ὁ κοιμησόμενος· ἀπὸ τοῦ κέω ὦρσο κέων· πλεονασμῷ τοῦ ι κείω· κίω τὸ πορεύομαι διὰ τοῦ ι. ἀπὸ τοῦ ἴω.

Κεκαδήσει· ἀπὸ τοῦ χάζω· ὃ σημαίνει τὸ ὑποχωρῶ· ὁ δεύτερος ἀόριστος ἔχαδον· ὁ μέσος δεύτερος παθητικὸς ἐχαδόμην· ἐχάδοντο· καὶ κατὰ τροπὴν ἐκάδοντο· καὶ

ποιητικὸν ἀναδιπλασιασμὸν κεκά
=δοντο. ἀπὸ τοῦ χάζω γίνεται κα
=δῶ καδήσω. τὸ τρίτον χαδήσει.
καὶ τροπῇ καδήσει. καὶ κατὰ ἀνα
=διπλασιασμὸν κεκαδήσει.

Κεκαδησόμεθα. λυπηθησόμεθα. φρον
=τιοῦμεν. οἶμαι ἀπὸ τοῦ ἄχος ἀχῶ
ἀχάσω. ἀχαδῶ καὶ ἀποβολῇ χαδῶ.
χαδήσω χαδήσομαι. καὶ καδήσομαι.
καὶ κατὰ ἀναδιπλασιασμὸν κεκα
=δήσομαι. καὶ τὸ . . . τῶν πλη
=θυντικῶν κεκαδησόμεθα.

Κεκαδών. στερήσας. χωρήσας. παρὰ
τὸ χάζω. ἔχαδον. ἡ μετοχὴ χαδών.
καὶ κατὰ ἀναδιπλασιασμὸν κεχαδών.
καὶ κεκαδὼν θυμοῦ καὶ ψυχῆς κεκα
=δών.

Κεκάμω. ἐπεὶ κεκάμω πολεμίζων.
ἐὰν γράψω ἐπεί. ὁ κε σύνδεσμος πα
=ραπληρωματικός. εἰ δὲ ἐπὴν κεκά
=μω. ἀναδιπλασιάζεται ἡ κε συλλα
=βή. καὶ ἔστιν ἔνε . . . .

Κεκαμένε κεκοσμημένε. ἀπὸ τοῦ
κάζω τὸ κοσμῶ.

Κεκινέαται. οἷον οἱ δὲ μοῦ ὀδόντες ἐν

τοῖς δὲ γνάθοισι πάντες κεκινέαται.
ἀπὸ τοῦ κινῶ· κινήσω· κεκίνηκα
κεκίνημαι· κεκίνηται· καὶ ἰωνικῶς
κεκινέαται· ζήτει.

Κεκαφηότα· ἐκπεπνευκότα· κάφος γὰρ
τὸ πνεῦμα· παρὰ τὸ κάπω· καφῶ
ὅθεν καφήσω.

Κεκλαυμένη· ἰστέον ὅτι τὸ παρ' Αἰσχύ-
β λῳ ἐν χοηφόροις λεγόμενον· οἷον
τροφὸν δ' ὀρέστου τὴν δ' ὁρῶ κεκλαυμένην
ἀντὶ τοῦ κεκλαυκυῖαν κεῖται· ἀλλ'
εἴπομεν ὅτι τὰ τοιαῦτα ποιητικά
ἐστιν.

Κεκλασμένην· οἷον κεκλασμένην φωνήν.
οἱ μὲν οὕτως ἀντὶ τοῦ κεκλασμένην·
εἰσὶ δέ τινες εἰρηκότες· κεκλιμένην.
ὥστε πρὸς ἀντίθεσιν εἶναι πρός τι
ἔνδειαν τοῦ σ· περὶ παθῶν.

Κέκλεικα· ὁ μέν τοι κέκλικα· ὀφεί-
λων ἐν τῷ κέκλεισμαι προσλαμβά-
νεσθαι· περὶ τούτου ἱστορεῖ γνῶναι
ὁ χοιροβοσκός.

Κέκληκα· ἐκ τοῦ καλῶ κεκάληκα·
καὶ κατὰ συγκοπὴν κέκληκα· ἐξ οὗ
καὶ τὸ κεκληγός· τροπῇ τοῦ κ εἰς γ.

σημαίνει δὲ κεκραγώς. βοῶν.
Κεκλήγοντες. ὡς ἀρήγοντες. οὐ γὰρ
τὸ κεκληγότες ἐπλεόνασε τὸ ν. ἤδη
παρὰ τὸ ὀξέα κεκληγώς ἐκλήθη. ἀλλ'
ἀπὸ τοῦ κέκληγα γίνεται κεκλήγω.
ἐνεστώς. ὡς παρὰ τὸ πέπληγα πε=
=πλήγω. ἔνθεν τὸ ἐπέπληγον τοῦ
ἵππων. ἡ μετοχὴ τοῦ κεκλήγω γίνεται
κεκλήγων. ὅθεν τὸ κεκλήγοντες.
Κεκλίαται. ἰστέον ὅτι οἱ καθαρεύον=
=τες παρακείμενοι τὸ α μόνον προσ=
=λαμβάνοντες κατὰ τὸ τρίτον πρό=
=σωπον τῶν ἐνικῶν. καὶ εἰ μὲν μακρὰ
παραλήγονται. ταύτην συστέλλουσι.
καὶ οὕτως τὸ ἰωνικὸν ποιοῦσιν. οἷον
ἔρρω. ἔρρυται. ἐρρύαται. οὕτως οὖν ἀ=
=πὸ τοῦ κλείω κέκλειται. κεκλίαται.
καὶ κατὰ συστολὴν τῆς ει διφθόγγου
οἷον αἱ θάλιον κεκλίαται.
Κεκλιμένος. ἐστὶ κλείω. ὁ παρακεί=
=μενος κέκλεικα. ὁ παθητικὸς κέκλει=
=μαι. παρ' ἕλλησι λέγεται χωρὶς τοῦ
σ ἐλλείψει τοῦ ε κέκλιμαι. οὐ γὰρ
τὸ κλίνω ἀλλὰ τὸ περικλειμένος. οἷον

στήλῃ κεκλιμένος. ἀντὶ τοῦ ὑπὸ στήλης
περιεχόμενος. ὅθεν καὶ τὸ ἐκέκλιτο
λίμνῃ. ἔλλειψις ἄρα τοῦ ἐν. ὥσπερ
καὶ ἀπὸ τοῦ κλείσω. κλεὶς δικλεὶς καὶ
δικλίς. οἷον

κόσμε δὲ ὂν τέλεχος. καὶ δικλίδες.

οὐ γὰρ ἀναγκαῖον δὲ τοῦ Ἡρωδιανοῦ.
Κεκλήατο. ὅσοι κεκλήατο βουλήν
ἀντὶ τοῦ ὅσοι κεκλημένοι εἰς τὸ συμ-
βούλιον.
Κεκλόμενοι ἐπικελευόμενοι. ἀπὸ τοῦ
κέλω κελόμενοι. πλεονασμῷ τοῦ κ
κεκλόμενοι. ἀλλήλοισί τε κεκλόμενοι
ἰστέον ὅτι τὸ κέκλυθι. καὶ κέκραχθι οἱ
πλεῖστοι ὡς καὶ ἡ χρῆσις μαρτυρεῖ. πα-
ρακειμένου ἐστί. τοῦ γὰρ παρατατικοῦ τὰ
προστακτικὰ ποτὲ μὲν εἰς θι λήγουσιν. οἷον
τέτυφθι. ἕτως οὖν καὶ κέκλυθι. ἕτως.
ἕτερον
Κέκλυτε. ἐστὶ τῶν εἰς μι προστακτικῶν.
χρόνου ἐνεστῶτος. ἀπὸ τοῦ κλείω κλῦμι.
κλῦθι. τὸ ὡ. τὸ πληθυντικὸν κλῦτε.
καὶ κατὰ ἀναδιπλασιασμὸν κέκλυτε.
ἀλλ' ἴσως τις ἐρεῖ, ὅτι ταῦτα συστέλλουσι.

τὸ δὲ κλῦθι· μακρὸν ἔχει· τὸ ῡ. ἴσω ὅτι πολλὰ παρατίθησιν ἡμῖν Ἀπολλώνιος μακροκατάληκτα· ὡς τὸ δῦθι· οἷον

δῦθι δή μοι κλέος ἐσθλόν ——

ἀπὸ τοῦ δίδωμι· οὐδὲν οὖν ἄτοπον, καὶ τὸ κλῦθι μακρὸν ἔχει τὸ ῡ.

Κεκορυθμένος· καθωπλισμένος· ἀπὸ τοῦ κόρυθος· κορυθῶ· κεκορυθωμένος καὶ κεκορυθμένος.

Κεκορυθμένα· ἐστομωμένα. ἠκονημένα. ἀπὸ τοῦ κορύσσω τὸ καθοπλίζω. οἷον τῷ σιδήρῳ ἠμφιεσμένα ἤ ὑπερεσπισμένα. ἢ ἠκονημένα τῷ σιδήρῳ· ἀπὸ τοῦ τὴν κορυφὴν λήγειν· ἤγουν ἀκονᾶν εἰς ὀξύτητα.

Κέκλω· εἰ παρὰ τὸ κέλω λάβοιμεν. πλεονασμὸς ἐστι τοῦ κ. εἰ δὲ παρὰ τὸ καλῶ κλῶ. οὐ πλεονασμὸς ἀλλὰ ἀναδιπλασιασμός· ἔστι γὰρ κλῶ καὶ κατὰ ἀναδιπλασιασμὸν κέκλω. οὐ γὰρ μόνον διὰ τοῦ ι γίνονται οἱ ἀναδιπλασιασμοί. ἀλλὰ καὶ διὰ τοῦ ε. μένω μέμνω, καὶ φένω φνῶ· πέφνω. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

Κέκμηκα ἀπὸ τοῦ καμῶ καμήσω ——

κεκάρμηκα· καὶ συγκοπῇ κέκμηκα.

Κέκονα· παρὰ Σοφοκλεῖ ἀπὸ τοῦ
κτείνω ὁ παρακείμενος ἔκτονα·
πλεονασμῷ τοῦ κ καὶ ἐκβολῇ τοῦ τ
κέκονα.

ζαλι Κέκεικα· ἰστέον ὅτι λέγει ὁ κανών· ὅτε
δὲ ἀμεταβόλου ὁ μέλλων· ὁ παρακεί-
μενος δι' αὐτοῦ τῆς ἀμεταβόλου καὶ
τοῦ η· κείρω· κερῶ· κέκαρκα. πλὴν
τῶν ἡμαρτημένων τοῦ νενέμηκα καὶ
τῶν ὁμοίων εἰσὶ δὲ ταῦτα· τέμω τε-
μῶ· νέμω· νεμῶ· δέμω· δεμῶ· βρέμω·
βρεμῶ· τούτοις συνεξηκολούθησε καὶ
τὸ μένω μενῶ. δεῖ δὲ γινώσκειν·
ὅτι σεσημείωνται καὶ ταῦτα· κείνω
κεινῶ κέκεικα· πλύνω πλυνῶ πέπλυ-
κα· κλίνω κλινῶ κέκλικα· καὶ τείνω
τενῶ τέτακα· ταῦτα γὰρ ἀπέβαλε
τελείως κατὰ τὸν παρακείμενον κε-
κέρδα κεκέρδακα ζήτει εἰς τὸ ῥηματι-
κὸν τοῦ Χοιροβοσκοῦ

Κέκτημαι· εἴρηται ὡς τὸ κέκμηκα·
λέγει δὲ ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ πα-
θῶν, ὅτι κατὰ πλεονασμὸν ἐστὶ τοῦ
κ Αἰολικῶς· τὸ γὰρ κοινόν ἐστιν—

ἔκτημαι. ὁ τὸ ἴλιον ἐκπέπαθαι. τὰ γὰρ ἀπὸ τοῦ κ. π. ὁμοίως καὶ τὸ πέπταμαι. ἀπὸ τοῦ ἔπταμαι. πλε:ονασμῷ τοῦ π ἐστί.

Κελαδεινὸς ὁ θόρυβος. παρὰ τὸ κέλαδος κελαδεινός.

Κέλαδον ταραχώδη θόρυβον. πεποιη:μένη ἡ λέξις.

Κέλαιον. κέλω. ὁ παθητικὸς ἐνεστὼς κέλομαι. καὶ τὸ δεύτερον ἰωνικῶς κέλεαι.

Κέλεος. ὄρνεον ταχύτατον. ἀφ' οὗ τὸ κέλλειν. τὸ ταχέως βαδίζειν. καὶ τὸν ἰσόποδα κέλεον λέγουσι ἀττικιζόμενοι.

Κέλευθος. ἡ ὁδός. παρὰ τὸ ἐλεύθω. ἔλευθος. καὶ κέλευθος. πλεονασμῷ τοῦ κ.

Κέλευθα. ἰστέον ὅτι τὰ ὑγρὰ κέλευθα. κατὰ πλεονασμὸν γένους ἐστίν. ἀντὶ τοῦ θηλυκοῦ τὸ οὐδέτερον εἶπε. γίνε:ται γὰρ μεταβολὴ γένους εἰς ἕτερον γένος. ὡς ἀπὸ τοῦ ὁ τράχηλος, τὸ τράχηλον. ἔνθεν καὶ παρὰ Καλλι:μάχῳ πληθυντικῶς τὰ τράχηλα γυμνάζει. καὶ λύχνους λύχνα. δι:φρους δίφρα καὶ δακτύλους δάκτυλα. καὶ ὁ τάρταρος καὶ ἡ τάρταρος. β

παρὰ πινδάρῳ. καὶ οὐδέτερον τὸ ταρταρον. οἷον τάρταρα τ' ἠερόεντα. οὗτως εὗρον χοιροβοσκοῦ.

Κέμας. ἡ ἐκ νεκροῦ μεταβάλλουσα ἔλαφος. ποιμάς τις οὖσα. ἢ νεογνὸν ἔλαφον. ἢ δορκάδα.

Κέλωρ σημαίνει τὴν φωνὴν παρὰ τὸ καλεῖν. κάλωρ. καὶ κελωρός. ἄρταμις ἄρτεμις.

Κενός. οἶμαι ὅτι παρὰ τὸ καίνω κανὸς καὶ κενὸς ὁ κεκαυμένος καὶ σποδὸς ὤν. ἢ ὅτι τὰ κεκαυμένα κοῦφα καὶ ἐλαφρὰ γίνεται. ἢ παρὰ τὸ σκηνῶ σκῆνος. καὶ σκενὸς καὶ κενός. ἐν ᾧ ἐστί τις σκηνοῦσθαι καὶ βάλλειν. ἢ παρὰ τὸ σκινῶ σκι-νὸς καὶ κενός, τὰ γὰρ κοῦφα καὶ κενὰ εὐκίνητα καὶ εὐβάσταντα. ἢ παρὰ τὸ χῶ τὸ χωρῶ χένος. καὶ κενὸς ὁ χωρῆσαι δυνάμενός τι διὰ μηδὲν ἔχειν. ἢ ξένος ὁ καταξεσ-μένος. καὶ κενός.

Κένται. ἐστὶ δὲ διάλεκτος. ὡς γὰρ τὸ παρ' ἡμῖν φίλτατος. φίντατος. τὸ δὲ δέλτα δέντα ὁ ὑπερσυντέλικος

κέλται· κένται περὶ παθῶν

Κένταυρος· ἀφ' οὗ τὸ τῶν κενταύρων γένος· ὃς πρῶτος ὠνομάσθη ἀπὸ ἰξίονος τινός. ὁ γὰρ ἰξίων ἐρασθεὶς τῆς ἥρας, ἀπόπειραν ποιησάμενος. ὁ ζεὺς ἄρα τολμήσει τοῦτο ποιῆσαι. ποιήσας ἑαυτὸν νεφέλην ὁμοίαν τῆς ἥρας· παρέκλινεν ὀφθῆναι αὐτῷ. ὁ δὲ νομίσας εἶναι τὴν ἥραν. συνεγένετο αὐτῇ. καὶ ἔσχεν υἱὸν ὀνόματι κένταυρον· παρὰ τὸ τὸν πα αὐτοῦ ἰξίονα κεντᾶν τῇ αὔρα τουτέστι τῇ νεφέλῃ.

Κεντηνεκέας· παρὰ τὸ κεντῶ. κέντρον. καὶ πλεονασμῷ τοῦ ε κέντειον.

Κέντρον· παρὰ τὸ κέντω ῥῆμα βαρύτονον. καὶ πλεονασμῷ τοῦ ε.

Κέπφος ἀπὸ τοῦ ὀρνέου. ὅ ἐστι κοῦφον. καὶ ἐπὶ πλεονασμῷ τοῖς κύμασι.

Κεντρότυπτον καὶ τὸν μαστιγίαν ἀπὸ τοῦ τύπτειν.

Κεραβάτης· ὁ τὰ ἀκρωτήρια τῶν ὀρέων. τουτέστι τὰς κορυφὰς βαίνων. οἱονεὶ ὀρειβάτης. κέρατα γὰρ καλοῦσι πάντα τὰ ἄκρα. ὡς φησὶ πίνδαρος. οἷον ὑψικέρατα πέτρα. ἀντὶ τοῦ ὑψηλὰ ἀκρωτήρια. β

Κέραμος· Ἀπολλόδωρος φησὶ πλεονασ-
μὸν ἀπὸ τοῦ κ· παρὰ τὴν ἔραν·
ἔραμος· καὶ πλεονασμῷ τοῦ κ κέρα-
μος· οἱ δὲ παρὰ τὸ κεκάμφθαι τῇ
ἔρᾳ.
Κεραΐζειν· διαφθείρειν· ἀφανίζειν·
ἡ μεταφορὰ ἀπὸ τοῦ κέρασι χρωμέ-
νων ζώων· παρὰ τὸ κέραος.
Κεραΐστης· τόπος μιλήτου· ἀπὸ τοῦ τῶν
ὅτι κέρατα τοῦ ἄρρενος τράγου ἀμελ-
γομένου ὑπ' αὐτοῦ πῆξαι ἐκεῖ· ὡς
β. Καλλίμαχος ἐν ἰάμβοις·
Κεραμεϊνός· ἀπὸ τοῦ κεραμεύς· κερα-
μέως· κεραμεϊνός· καὶ κεραμεινός.
Κέραιρε· κίρνα· ἀπὸ τοῦ κερῶ· κε-
ραίρω· ὡς μενῶ· μεναίνω· ἢ κέραιρε.
κερῶ· κεραίω.
Κεραννύς· ἀπὸ τοῦ κερῶ κεραννύω.
κεράννυμι· καὶ ἡ μετοχὴ κεραννύς.
καλ. διὰ τῶν δύο ν· τὰ ἀπὸ τῶν εἰς ω
περισπώμενα· διὰ τοῦ νύω γινόμενα.
διὰ τοῦ ν γράφεται· οἷον πετῶ
πετάννυω· χῶ χώννυω· ἑῶ· ἐῶ·
ἑώννυω· καὶ ζῶ ζώννυω.
Κέρας· ἡ θρίξ· διὰ τὸ τοῖς κέρασιν
ἐκφύεσθαι· οἱ δὲ φασιν ὅτι ἡ ἐκ τοῦ

βάθους ἡμᾶς ὑπὸ τῆς θερμασίας ἀνα-
φερομένη.

Κεραυνός· ἡ μεταφορὰ ἀπὸ τῶν ζώων τοῖς κέρασι χρωμένων· καὶ διαφθει-
ρόντων· παρὰ τὸ καίζειν καὶ τὸ ἄζειν. ὅ ἐστι καίειν.

Κερδαλεόφρων· πανοῦργε τὸ φρόνημα. ἢ παρὰ τὸ κέρδη τὸν νοῦν ἔχων. τουτέστιν ὁ κερδαίνειν φρονῶν· παρὰ τὴν φρένα καὶ τὸ κερδαλεχ. τουτέστιν ὁ κερδαίνειν φρονῶν· ἢ διὰ λόγον τὴν ψυχὴν ἀπατῶν.

Κερδαίνειν· παρὰ τὸ κέρδος· ἢ παρὰ τὸ κέαρ· ἰαίνειν. ὅ ἐστιν εὐφραίνειν.

Κέρδιον· βέλτιον· κρεῖσσον· ἀπὸ τοῦ κέρδος.

Κέρδος· παρὰ τὸ κέαρ ἡδύνειν. ὅ ἐστιν εὐφραίνειν.

Κερδὼ ἡ ἀλώπηξ· ὑποκοριστικῶς· ὡς παρ' Αἰσχύλῳ· ἡ εἰδὼ· καὶ ὑψώ· ἀντὶ τοῦ ἡ εἰδόθεια καὶ ὑψιπύλη· καὶ τὸ κερδὼ δέ· ἀντὶ τοῦ κερδαλέα· ἢ ἀ-
πατηλική. β

Κερκίς· κρέκω γὰρ προκατάρχει ἔπημα. οἷον. β.

Γλυκεῖα μᾶτερ οὔτι δύναμαι κρέκειν τὸν ἱστόν.

κέρκω· κερκὶς· καὶ καθ' ὑπερβιβασμὸν
κρεκὶς· ὅ ἐστιν ἠχεῖν· περὶ παθῶν·
Κέρκουρος· τὸ μακρὰν ἔχον πρύμναν
σκάφος· ὦρος·
Κέρκυρ· πρὸς τὰ τοῦ Κέρκυρ οὐκ εἴρη-
ται· οὐ πρόκειται ἡμῖν· εἰ ἄρα δύναται
γενέσθαι· ἀλλὰ τί εἰρήκασιν Ἕλληνες.
β. Ἀλκμὰν φησὶ καὶ Κέρκυρος· ἡ γενικὴ
ἀπὸ εὐθείας τῆς Κέρκυρ· ἀλλ' οὐκ εἴ-
ρηται· οὐκ ἄρα ἔρχεται τῆς ἀποκοπῆς.
ἀλλὰ κλίσεώς ἐστι μᾶλλον ἢ μεταπλασ-
μός· εἴπερ εὐθεία Κέρκυρ ὁ μὴ εἴ-
ρηται· ὥσπερ φίλυρ· ἀλλὰ μὴν
οὐδὲ ἴλλυρ· ἀλλὰ τὸ ἴλλυρ μεταπέ-
πλασαι κατὰ τὴν αὐτὴν κλίσιν.
ὥστε ταῦτα μεταπλασμός· τοὺς Ἰλλυ-
ρίους καὶ Κερκυραίους· οὐ γὰρ εἴρηται
οὔτε ἡ εὐθεία· οὔτε γενικὴ ἢ δοτική.
ἀλλὰ κατὰ τὴν αὐτὴν κλίσιν εἴρηται.
μεταπέπλασαι· εἴρηται δὲ φίλυρ
καὶ μάρτυρ· ἀφ' ὧν ἡ κλίσις· οὕτως
Ἡρωδιανός.
Κέρκωπες· οὕτω πρότερον ἐκαλοῦν-
β. το οἱ κύκλωπες· ὅθεν καὶ τοὺς πο-
νηροὺς καὶ κακοὺς ἄνδρας κέρκωπας
φαμέν· κέρκωπες δὲ ἐκλήθησαν—

ἢ διὰ τὸ κερδαλέον αὐτῶν καὶ πανοῦρ-
:γον. ἢ ἀπὸ μητρὸς κερκώπης. ἢ
κέρκωπες λέγονται. οἱ ἀπατεῶνες.
ἀπὸ τῶν κοινῶν ἡ μεταφορά. οἷον
τοῖς ὄφεσι καὶ τοῖς κερκώποις ἔδακ-
:νον. οὕτως ὧρος.

Κέρω. ὅτι ἐν τοῖς κέρασιν οἱ πα-
:λαιοὶ ἔπινον. πρὸ τοῦ εὑρεθῆναι
αὐτοῖς τῶν ποτηρίων τὴν χρείαν.

Κερόεις. παρὰ τὸ κέρατος γέγονε
κερατόεις. καὶ συγκοπῇ τοῦ ατ
κερόεις. ἐξ οὗ τὸ θηλυκὸν κερατόεσσα,
καὶ συγκοπῇ κερόεσσα. καὶ κράσει
κεροῦσσα. οἷον ὁ νόμος δέ τι κεροῦσσα
πρεῖ πάθος.

Κέρσαι. κόψαι. κείρω αἰολικῶς κέρ-
:σω.

Κέρτομος. ὁ κέαρ τέμνων τῶν ἀκου-
:όντων. διὰ τὸ παραλογιστικὸν τῶν
λόγων.

Κερτομῶν. ἐρεθίζων. χλευάζων.
καὶ κερτομίοις ἐρεθιστικοῖς παροξυν-
:τικοῖς. χλευαστικοῖς. ἀπατηλοῖς.

Κεστός. ὁ διαπεποικιλμένος καὶ διακε-
:κεντημένος λῶρος. παρὰ τὸ κάζω
τὸ κοσμῶ γίνεται ῥηματικὸν ὄνο-
:μα. καστὸς καὶ κεστὸς ὁ κεντημένος.

ἢ παρὰ τὸ κέντω ῥῆμα βαρύτο-
νον· ἔνθα καὶ κέντορες ἵπποι· ὁ
μέλλων κένσω· κένσῃ ὁμοκλήσας·
γίνεται ῥηματικὸν ὄνομα κέστος·
καὶ κεστός· ἐξ οὗ καὶ ποικιλόκεστος
ἱμάς· ὁ πολυκέντητος·

Κευθμός· ἐκ τοῦ κεύθω κευθμός·
καὶ Αἰολικῶς· κευθμός· ὡς κλαύσω·
κλαυσμός· καὶ κλαυθμός· καὶ μηνισμός
μηνιθμός· ἐκ δὲ τοῦ κευθμός γίνεται
κευθμών·

ναίης ἐν κευθμῶνι κακοῦ δ' ἐπιπέρητος·

Κεφαλή· παρὰ τὸ κάρφος· καρφαλή,
καὶ κεφαλή· ὁ κατάξηρος τόπος
ἐρῶν· καὶ ὀστώδης· ἢ κατὰ Ἀπολλώνι-
ον κέλυφός τις οὖσα· παρὰ τὸ κα-
λύπτειν καὶ σκέπειν τὸν ἐγκέφα-
λον· τινὲς δὲ παρὰ τὸ ἐκεῖσε
κεῖσθαι τὰ φάη· κεφαλή τις οὖσα,
καὶ κεφαλή, οἱ δὲ παρὰ τὸ κάπω
τὸ πνέω· καπαλή καὶ κεφαλή οἱονεὶ
ἡ διαπνέουσα· ὅθεν, καὶ κῆπος ὁ
διαπνεόμενος τόπος· διὸ καὶ ἐν ταῖς
οἰκίαις τὸν ἀποτεμνόμενον τόπον
πρὸς ἀνάπαυσιν κῆπον λέγομεν·
παρὰ τὸ κάπω τὸ πνέω·

— ἀπό δέ ψυχῆς ἐκάπυσε.
τουτέστιν ἀπέπνευσεν.

Κεχανδότα. χάζω. χάδω. κέχαδα. κεχα=δώς. κεχαδότος. κεχαδότα. καί πλεο=νασμῷ τοῦ ν κεχανδότα. ὁ ἀόριστος ἔχαδον. ἔχαδες. ἔχαδε.

Κεχαρηότα.
— ἐμῷ κεχαρηότα θυμῷ.
οὔτε ἀπό τοῦ χαίρω γέγονεν. ἐπειδή ὁ παρακείμενος κέχαρκα ἐστίν. οὔτε ἀπό τοῦ χαιρῶ. ἀλλ' ἀπό τοῦ χαίρω. γίνεται χαρῶ. ὡς φαίνω. φανῶ. οὗ ὁ παρακείμενος κεχάρηκα. ἡ μετοχή κεχαρηκότος. καί κατά ἀφαίρεσιν ἰω=νικήν τοῦ κ. κεχαρηότα.

Κεχαροίατο. χαίρω. χαρῶ. ὁ δεύτερος ἀόριστος ἔχαρον. καί τό παθητικόν ἐχάρην. καί τό εὐκτικόν ἐχαροίμην. ἐχάροιο. ἐχάροιτο. πλεονασμῷ τοῦ κ κεχάροιτο. καί ἰωνικῶς κεχαροίατο.

Κεχολώσεται. ἀπό τοῦ χολῶ χολώσω. κεχόλωκα κεχόλωμαι. κεχόλωσαι καί ὁ μετ' ὀλίγον μέλλων κεχολώσεται. διαφέρει δέ ὁ μέλλων τοῦ μετ' ὀλίγου μέλλοντος. ὅτι ὁ μέν μέλλων ἀόριστος ἐστίν. ὁ δέ μετ' ὀλίγον μέλλων ὡρισμένος.

τὸ κ̄ μετὰ τοῦ η̄.

Κήδεσθαι· τὸ λυπεῖσθαι, ἀλλὰ καὶ τὸ
φροντίζειν· εἴρηται εἰς τὸ κήδω.
Κηδεός· ὁ νέκυς· ὁ φροντίδος καὶ
κηδεμίας ἄξιος· καὶ κηδεύσεως παρὰ
τὸ κήδω· τὸ φροντίζω· γέγονε δὲ κη-
δέω· κηδεός· ὡς φολέω· φωλεός.
Κηδεστής· ὁ κατ' ἐπιγαμβρείας συγγε-
νής· τουτέστιν, ὅτε πατὴρ τῆς γεγα-
μημένης· καὶ αὐτὸς ὁ γαμῶν· παρὰ
τὸ κήδω· τὸ φροντίζω· γίνεται ῥημα-
τικὸν ὄνομα κῆδος· κῆδος δὲ εἴρηται
ἡ κατ' ἐπιγαμβρείαν συγγένεια· ἐπεὶ
ἐκ προνοίας· καὶ κηδεμονίας συνίσταται·
παρὰ τὸ κῆδος οὖν γίνεται κηδεστής·
ἢ παρὰ τὸ κήδω· τὸ φροντίζω· κηδεστής·
ἐκ προνοίας γὰρ καὶ φροντίδος οἱ
ἀμφότεροι συνίστανται· τὸ δὲ κηδέστης
τὸ κύριον ὄνομα βαρύνεται· ὡς θύος
θυέστης· τὸ δὲ κηδεστής ὀξύνεται ὡς
προσηγορικόν.
Κήδιστοι· οἰκειότατοι, φροντικώτατοι,
παρὰ τὸ κήδω.
Κήδειν· λυπεῖν· βλάπτειν· καλοῦνται

σου ἐμοὶ τὸ κήδειν.

Κήδεα. κακά. λύπας. πένθη. ὅτι ἀνιῶνται καὶ οἱονεὶ καίονται ἐπ' αὐτοῖς.

Κήδιστος. ὁ φροντιζόμενος. οἷον.

Ὅς μοι κήδιστος ἑταίρων ἦν κεδνότατός τε.

παρὰ τὸ κήδω. τὸ φροντίζω. γέγονεν ὄνομα ῥηματικὸν κῆδος. καὶ ὥσπερ παρὰ τὸ κάλλος γίνεται καλλίων. καὶ τὸ ὑπερθετικὸν κάλλιστος. οὕτω κῆδος. κηδίων. κήδιστος.

Κικάς. ἡ κακόλογος. κικὰς γὰρ ἡ λοιδορία. ἐξ οὗ καὶ κικασμὸς ἡ λοιδορία.

Κικάς. ἀλώπηξ. κακοτική. κακόδεχος καὶ πονηρά. Νίκανδρος ἐν θηριακοῖς.

πιστέεαν ὅτε βότρυω ἐπήσατο κικὰς ἀλώπηξ.

Κῆλον τὸ ξύλινον βέλος. παρὰ τὸ κᾶλον τὸ δηλοῦν τὸ ξύλον. κατὰ δὲ γλωσσογρά' βέλη θεῖα. τουτέστιν ἀστραπὰς καὶ βροντάς.

——— ᾤχετο κῆλα θεοῖο.

παρὰ τὸν κήσω μέλλοντα. τὸ

ἆσα πάλαι πρείκηλα ———

Κηλώνειον. ὁ ξύλινος ἀντλητήρ. τὸ παρ' ἡμῖν λεγόμενον γεράνιον. παρὰ τὸ κᾶλον τὸ δηλοῦν τὸ ξύλον. ὅθεν καὶ καλοπόδιον. ὁ ξύλινος πούς. καὶ μετὰ τοῦ νεύειν. γέγονε καλώνειον καὶ κηλώνειον. τὸ ἀνάπτυον

καὶ κατακαῖον ξύλου.

Κήλων. ὁ θερμὸς εἰς συνουσίαν. παρὰ τὸν κήσω μέλλοντα. ὃ δηλοῖ τὸ καύσω.

Κῆπος. ὁ ἀποτετμημένος τόπος πρὸς ἀνάπαυσιν καὶ κατασκεπόμενος. παρὰ τὸ κάπω τὸ πνέω. κάπος καὶ κῆπος.

Κὴρ. ὀξυτόνως μὲν τὴν ψυχήν. παρὰ τὸ κέαρ, ἢ παρὰ τὸ δίκην κηροῦ ἀπο-μάττεσθαι τὰ μαθήματα. περισπω-μένως δὲ τὴν θανατηφόρον μοῖραν ἤτοι καινὰ ἐπιφέρουσαν. καὶ ἐν ᾅδου ποταμοὶ πυριφλεγέθων. ἀχέρων.

Κηρύκειον. εἰσί τινὰ ἀπὸ τῶν εἰς διπλοῦν ληγόντων γινόμενα διὰ τοῦ ειον. ἅτινα διὰ διφθόγγου γράφεται. οἷον κύκλωψ. κυκλώπειον. σημαίνει δὲ τὸ τοῦ κύκλωπος. φοῖνιξ. φοινίκειον. σημαίνει δὲ τὸ τοῦ φοίνικος. οὕτως οὖν καὶ κῆρυξ. κηρύκειον. ἰστέον ὅτι ἔστι καὶ κηρύκιον διὰ τοῦ ι. ὅπερ ἐπὶ μό-νης τῆς ῥάβδου τοῦ ἑρμοῦ λέγεται. ἔστι καὶ κηρύκειον ὅπερ προσηγορικόν ἐστι. καὶ σημαίνει πᾶσαν ῥάβδον κήρυκος. ἔστι καὶ κηρύκειον, ὅπερ κτητικόν ἐστι. καὶ σημαίνει τὸ τοῦ

κήρυκος· ὡς παρὰ Σοφοκλεῖ· γράμμα β
κηρύκειον· ἔστι καὶ κηρύκειον ὄνομα
λόφου τῆς Ἐφέσου· ἐν ᾧ ἀνῄλθεν ὁ ε
Ἡρακλῆς· κατὰ βούλησιν τῶν θεῶν·
καὶ ἐκήρυξε τὴν γέννησιν τῆς ἀρτέμι
-δος· ἔστι δὲ καὶ κηρύκειον· ὃ καὶ πλη
:θυντικῶς λέγεται κηρύκεια καὶ σημαί
:νει· τὸν μισθὸν τὸν διδόμενον ἐν τῷ
κηρύξαι· ὅπερ λέγεται ἐν τῇ συνη
:θείᾳ· μίνυτρα· ἔστι καὶ κηρύκειον
καὶ σημαίνει τὴν λέξιν.

Κῆρυξ· ὡς παρὰ τὸ πλέον γίνεται
πλεῶ καὶ πλεύσσω· οὕτω καὶ παρὰ
τὸ ῥέω ὃ δηλοῖ τὸ λέγω· ῥεύσσω καὶ
ἠρύσσω· καὶ πλεονασμῷ τοῦ κ· κηρύσ
:σω· ὁ μέλλων κηρύξω ἀποβολῇ τοῦ
ω κῆρυξ.

τὸ κ̄· μετὰ τοῦ ι.

Κιβωτός· ὤφειλε διὰ τῆς ει διφθόγγου.
ἐπειδὴ παρὰ τὸ κεῖσθαι ἐκεῖ τὴν
βρῶσιν εἴρηται· ἀλλ' ἡ παράδοσις.
τὸ ι· ἔχει· καὶ λέγει ὁ ὧρος· ὅτι
ἴσως παρὰ τὸ κίβος γέγονεν· ὃ σημαί
:νει τὴν τροφήν· ἄλλως τε δὲ διὰ τοῦ ι

γράφεται· τῷ λόγῳ τοῦ θλίβω·

Κιγκλίδαι· σφαλίδαι·

Κίδαρις· ἐκ τειχῶν· ὕφασμα καμαλαυ-
κίον ἢ περίθεμα κεφαλῆς βασιλικῆς·
ἀνὴρ παρὰ πέρσαις· τὴν κίδαριν ἀνε-
δήσατο·

Κίε· κίω τὸ πορεύομαι· ὅπερ ἀπὸ
ἴω τὸ πορεύομαι πλεονασμῷ τοῦ κ̄·

Κίδαρις· ἀπὸ τοῦ κεύθειν τὸν ἔρωτα·

Κικύω· σημαίνει τὸ ἰσχύω· καὶ γέγονε
παρὰ τὸ κίκυς· ἔχει δὲ καὶ τοῦτο
τὸ ῡ κατὰ τὴν δευτέραν συλλαβήν·

Κικλήσκω· ἀπὸ τοῦ κλῶ· τὸ καλῶ·
γίνεται κλήσκω καὶ κατὰ ἀναδιπλα-
σιασμὸν κικλήσκω· ὡς τράσκω·
τιτράσκω· σημαίνει τὸ καλῶ·

Κίναιδος· ὁ κενὸς αἰδοῦς· ὡς διόναιδος·
ὦρος· ἢ ἀσελγής·

Κίνδωνος· ἰστέον ὅτι τὰ εἰς ων λή-
γοντα προσλάβει τοῦ σ̄· ποιεῖ τὴν
γενικήν· οἷον γόρτω· γόρτωνος· ἔστι
δὲ ὄνομα πόλεως· μόσσω μόσσωνος
σημαίνει δὲ τὸν ξύλινον πύργον·
φόρκω· φόρκωνος· ἡ γὰρ φόρκω αἰτια-
τική· οἷον·

Φόρκω θ᾽ ἱπποθόοντε·

ἀπό τῆς Φόρκυς εὐθείας· ἐστίν· οἷον
Φόρκυς· Φόρκυος· ὡς βότρυς βότρυος.
τὸν βότρυν καὶ τὸν Φόρκυν· κίνδυνος.
αὕτη δὲ ἡ κίνδυνος γενικὴ· μετάγε-
-ται εἰς εὐθεῖαν· καὶ γίνεται ὁ κίνδυνος
τοῦ κινδύνου· ὥσπερ ὁ ψὰρ τοῦ ψαρός.
καὶ ὁ ψάρος· τοῦ ψάρου· ἡ κυνὸς γενι-
-κή· οὐκ ἔστιν ἀπό τῆς κύς εὐθείας.
ἀλλ' ἀπό τῆς κύων κύονος· καὶ συγκο-
-πῇ κυνός.
Κίνησις· ἀπό τοῦ κινῶ· κινήσω· κί-
-νησις καὶ κινησίας· ὥσπερ καὶ παρὰ
τὸν σείσω μέλλοντα γίνεται σεισίας.
γράφεται δὲ διὰ τοῦ ι· τῷ λόγῳ
τοῦ Ἀμειψίας.
Κινάμωμον· Ἡρόδοτος ἐν τρίτῃ οὕτω
λέγει· ὄρνιθας λέγουσι ταῦτα τὰ
κάρφεα φέρειν· ἃ ἡμεῖς παρὰ Φοι-
-νίκων μαθόντες· λέγομεν κινάμωμον.
Κινύμενος· ἐπὶ πρᾶξιν ὁρμῶν· ἀπό
τοῦ κινῶ· κινύω· κίνυμι.
Κινῶ παρὰ τὸ ἴς ἰνός· ὅπερ καὶ ἦν
λέγεται, δικατάληκτον γάρ ἐστι τὸ
ὄνομα· καὶ δηλοῖ τὴν δύναμιν· τοῦ-
-του ἡ γενικὴ ἰνός· ἀφ' ἧς ῥῆμα ἰνῶ.

καὶ πλεονασμῷ τοῦ π κινῶ.

Κίρκη· ἡ κιρνῶσα τὰ φάρμακα· ἢ παρὰ τὴν κερκίδα· ἡ δὲ κερκὶς ἀπὸ τοῦ γινομένου ψόφου· τοὺς δὲ πεπαλώδεις γυναῖκας ἀπ' ἐκείνης κίρκας καλοῦμεν· ἐπεὶ φαρμακὶς ἦν ἐκείνη.

Κίρκος· κρίκος· κίρκος· καὶ τὸ κρικώσω. κιρκώσω. ἀττικοὶ λέγουσιν. οἱ δ' ἄλλοι ἕξαντες· ὑπέτρεσαν ἠΰτε κίρκους

ὠκυπέτας ἀγεληδὸν ὑποτρέσωσι πέλειαι.

ἔστι δὲ εἶδος ἱέρακος.

Κίσιρις· κίσιλις ἦν· καὶ κατὰ μεταβολὴν τοῦ λ εἰς τὸ ρ· ἢ παρὰ καὶ τὸ λῖς· ὁ ὑποκιός· λίθος γάρ ἐστιν ἐκβεβρωμένος.

Κισσύβιον· τὸ ἀγροικικὸν ποτήριον. ἴσως ἀπὸ τοῦ κισσοῦ· ἐξ οὗ κατεσκευάζοντο τὰ ποτήρια. κοινοτέρως δὲ καὶ ἐπὶ πάντων τῶν ξυλίνων ποτηρίων· ἡ λέξις τίθεται· παρὰ τὸ κέχυσθαι εἰς αὐτὸ τὸν οἶνον. οἷον χύω· χύσω· χυσσίβιον καὶ κισσύβιον Ἡσίοδος. β.

ὀλίγω δύσεται κισσυβίω.

Κισσῶ· παρὰ τὴν κίσσαν· κισσῶ· κίσσα δέ ἐστιν ὄρνεον λιχνότατον καὶ πρὸς τὰς συνουσίας καὶ ἡδονὰς καταφερέστατον.

ἐτυμολογεῖται δὲ παρὰ τὸ κίειν καὶ μετὰ σφοδρότητος δύνασθαι πρὸς τὸ συνουσιάζειν. σημαίνει δὲ τὸ κισσῶ τὸ μεθ' ἡδονῆς τὰς γυναῖκας. συλλαμβάνειν.

Κιχῶ. τὸ καταλαμβάνω. καὶ εὑρίσκω ἀπὸ τοῦ κι κιχῶ. ἰχνέω. κιχῶ κιχνέω. ὡς τελῶ τελνέω. ὄφω. ὀφέω. ἀπὸ δὲ τοῦ κιχῶ γίνεται κιχανόω. ἥδω. ἁνδά-νω.

Κιχηλάς. πλεονασμῷ τοῦ η. κίχλας. κέχατ' ὀρνίθια κιχλ. Aristoph:

Κίων. ὁ λίθος. ἀπὸ τοῦ κίειν. καὶ ἀνίεναι εἰς ὕψος. παρὰ τὴν ἰὼν μετοχήν. γέγο-νεν ἴων καὶ κίων. τοῦτο οἱ μὲν Ἀττικοί. ἀρσενικῶς λέγουσιν. οἱ δὲ Ἴωνες θηλυκῶς.

## τὸ Κ. μετὰ τοῦ Λ.

Κλαίω. κλῶ. τὸ κλαίνω. γίνεται κατὰ παραγωγὴν κλαίω. κλᾶται γὰρ ἡ τῶν ἀνθρώπων φωνή. καὶ ἡ ψυχή. τοῦτο πάσχουσα. ἢ παρὰ τὸ καλῶ. κλῶ. κλαίω. ἐπικαλοῦνται γὰρ τοὺς ἀποθανόντας οἱ κλαίοντες. οἷον.

ᾤμωξέν τ' ἄρ' ἔπειτα φίλον δ' ὀνόμηνεν ἑταῖρον.

Κλέα. ἰστέον ὅτι τὸ κλέα καὶ χρέα οὐ-δέ τρεα ἀπὸ τοῦ κλέεα καὶ χρέεα.

γέγονε κατὰ συγκοπήν. εἰς τὸν πρω-
τον κανόνα τοῦ χοιροβοσκοῦ.

Κλάζω. κλαγγηδόν. μετὰ κραυγῆς. κλαγ-
γηδὸν δὲ πέτονται. ἀπὸ τοῦ κλάζω. ὁ
μέλλων κλάγξω. ὤφειλε δὲ ἔχειν τὸ γ
ὁ ἐνεστώς. ἀλλ' ἐπειδὴ οὐδέποτε ἐν
μιᾷ λέξει εὑρίσκεται τὸ γ πρὸ τοῦ ζ.
τούτου χάριν ἀποβάλλει τὸ γ. ἐπὶ δὲ
τοῦ μέλλοντος. ἐπαναλαμβάνει. προσ-
κεῖται ἐν μιᾷ λέξει διὰ τὸ ἐνζεῦξαι.
τοῦτο γὰρ οὐκ ἔστι μία λέξις. ἀλλὰ δύο.
τοιοῦτον ἐστὶ καὶ τὸ πλάγχθη. ἀπὸ τοῦ
πλάζω γενόμενον.

Κλεῖν. ἀπὸ τοῦ κλεῖς. κλειδός. κλεῖδα.
καὶ συγκοπῇ τῆς δα συλλαβῆς. κλεῖ.
ἀλλ' ἐπειδὴ πᾶσα αἰτιατικὴ μονοσύλλα-
βος ἑνικὴ ἀρσενικὴ ἢ θηλυκὴ αὐτὴ
καθ' ἑαυτὴν οὖσα εἰς ν θέλει λήγειν.
οἷον μῦν. σῦν. δρῦν. τούτου χάριν προσ-
έλαβε τὸ ν. καὶ γέγονε κλεῖν.

Κλειαλένης. παρὰ τὸ κλέος καὶ τὸ
ἀλένος. γέγονε κλεοαλένης. καὶ κράσει
τοῦ εο εἰς τὴν ει δίφθογγον κλειαλένης
ὥσπερ δέον δεῖν. πλέον πλεῖν.

Κλειταγόρας. παρὰ τὸ κλειτὸς γέγονε.

Κλειτή· μία τῶν ἀμαζόνων ἥτις ἐλθοῦ=
=σα· εἰς ἰταλίαν ᾤκησε καὶ πόλιν ἔκτισε
ἣν ἀπ' αὐτῆς κλειτὴν ὠνόμασεν· καὶ
ἐβασίλευσε τοῦ τόπου· καὶ ἀπ' αὐτῆς
αἱ δεχόμεναι τὴν βασιλείαν κλειταὶ
ὠνομάσθησαν· οὕτως ὧρος· ὁ δὲ Ἀπολλώνιος. β
καὶ στίχον ἐπιφέρει· οἷον

Κλειτὴ ἐϋπλόκαμος τὴν μὲν νέον ἤγετο περ.
κῶθεν δὲ χόλειον ἐν αὐτῷ· ὅτι κυζίκου
γαμετὴ ἦν· μέροπος θυγάτηρ περκώτις·
τὸ γένος μάντεως· διχῶς δὲ ὁ τόνος·
οἱ δὲ πλείους ὀξυτονοῦσι· σημαίνει δὲ
καὶ τὴν ἔνδοξον, παρὰ τὸ κλειτός.

Κλειτοφῶν· παρὰ τὸ κλείω τὸ δοξάζω· κλει=
=τός· καὶ ἐκεῖθεν κλειτοφῶν.

Κλείω παρὰ τὸ κλέος· κλέω καὶ κλείω.

—— ἐγὼ δὲ σε κλείω, κατ' ἀπείρονα γαῖαν.

Κλείομεν· ὀνομάσωμεν· οἷον

τὴν δ' ἐρέην κλείωμεν· ἐπεὶ πάντεσσι φαάνθη.

Κλέος παρὰ τὸ κλείω· ἢ παρὰ τὸ κλύειν.
ὅ ἐστιν ἀκούειν· λέγεται κλέος ἡ δόξα.
ἡ ἐξακουομένη καὶ ἡ φήμη·

Κλεός· πίνδαρος· οὐκ οἶδα ὅπου φησὶ κλεός. β
κελεός· κατὰ συγκοπὴν κλεός ὀξύνεσθαι
δὲ δεῖ.

κλέπτης ἀπὸ τοῦ καλύπτειν· καλύπτης· λάθρα γὰρ ἀφαιρεῖ·

Κλεοφόντης· τὰ εἰς ΗΣ παρ' οὐδέτερον συντιθέμενα πάντα εἰς ους ἔχει τὴν γενικήν· παρ' οὐδέτερον συντιθέμενα εἴρηται· ἵνα κατὰ τὸ τέλος ἔχωσι τὸ οὐδέτερον· καὶ μὴ κατ' ἀρχήν· τὸ γὰρ Κλεοφόντης· κλεοφόντου· παρ' οὐδέτερον ἐστὶ συντιθέμενον· ἀλλ' ὅμως οὐκ ἔχει εἰς ους τὴν γενικήν· ὅτι οὐ κατὰ τὸ τέλος· ἀλλὰ κατὰ τὴν ἀρχὴν ἔχει τὸ οὐδέτερον· παρὰ τὸ κλέος γὰρ καὶ τὸ φόντης ὃ σημαίνει τὸν φονεύσαντα.

Κλεάδας· ἰστέον ὅτι τὸ κλέας καὶ τὸ κέας οὐ κλίνεται διὰ τοῦ ντ. ὥστε τὸ Αἴας αἴαντος· ἐπειδὴ οὐκ ἔχουσι τὸ α φύσει μακρόν· κλέης γὰρ ἦν· καὶ κέης καὶ τροπῇ δωρικῇ κλέας καὶ κέας· καὶ ἐφύλαξε τὴν ἰσοσύλλαβον κλίσιν· δηλοῦσι δὲ τὰ πατρωνυμικὰ κλεάδης καὶ κεάδης ὄντα· ζήτει εἰς τὸν πρῶτον κανόνα τοῦ χοιροβοσκοῦ.

Κληδών· θεία φήμη· παρὰ τὸ κλέος·

ὃ σημαίνει τὴν φήμην. ὅμηρος

Ἡμεῖς δὲ κλέος οἶον ἀκούομεν —

ἢ ἀπὸ τοῦ καλῶ. κλῶ. κληδών. ἐξ οὗ καὶ κλῆσις.

Κληΐζω. σημαίνει δὲ τὸ φημίζω. εἰς τὸ καλύζω.

Κλῆθρα. ἀπὸ τοῦ κλεῖς. γέγονε κλῆθρα. ἢ ἀπὸ τοῦ κλείω. τὸ κλείω δὲ οἱ ἴωνες διὰ τοῦ η καὶ ι γράφουσιν. ἐξ οὗ καὶ τὸ κληΐθρα. διὰ τοῦ η καὶ ι γράφουσι.

Κλήδην καλοῦντας. κηρύσσοντας, ἀπὸ τοῦ καλῶ. κλῶ. κλήδην.

Κληΐς. ὥσπερ ἀπὸ τοῦ τρώσω γίνεται τρώς. καὶ ἀπὸ τοῦ θήσω. θής. οὕτω καὶ ἀπὸ τοῦ κλείσω κλεῖς. εὑρίσκεται δὲ καὶ κατὰ διάστασιν τοῦ ι. καὶ ἐκτάσει τοῦ ε. εἰς η. κληΐς. ἔστι δὲ τὸ κληΐς. μονῆρες. τὰ γὰρ εἰς ις θηλυκὰ ἔχοντα καθαρὸν τὸ ι. συστέλλουσιν αὐτό, οἷον χρυσηΐς. βρισηΐς. νηρηΐς. τὸ δὲ κληΐς μόνον ἐκτείνει τὸ ι καθαρὸν ὄν. οἷον.

— οἴξασα κληῗδι θύρας ἱεροῖο δόμοιο.

τοῦτο δὲ τὸ κλεῖς ἐν συνθέσει καὶ βαρύνεται καὶ φυλάσσει τὴν ει δίφθογγον.

οἷον κατάκλεις. πρόκλεις. τὸ γὰρ δικλῒς
οὐκ ἔστι παρὰ τὸ κλεῖς. ἐπεὶ εἶχε καὶ
βαρύνεσθαι. καὶ διὰ τῆς ει διφθόγγου
γράφεσθαι. ἀλλ' ἀπὸ τοῦ δὶς καὶ τοῦ
κληῒς γέγονε δικληῒς. καὶ κατὰ συγκο-
πὴν τοῦ η. καὶ συστολὴν τοῦ ι δικλῒς.
ὅμοιον δέ ἐστι καὶ τὸ ἐγκλίς. οὕτως δὲ
λέγεται ἡ κάγκελα τῇ ἰδέᾳ. σημαίνει
δὲ τὴν κατακλεῖδα. παρὰ τὸ κατακλεί-
εσθαι ὑπ' αὐτῆς. τόν τε αὐχένα καὶ τὸν
ὦμον. ὅθεν καὶ Δημοσθένης φησὶ τὴν
κλεῖν κατεαγότα.

Κληῗδες. αἱ τῶν ἐρεσσόντων καθέδραι.

καὶ φεύγειν σὺν νηυσὶ πολυκληῗσι κελεύσω.

παρὰ τὴν κλάσιν τῶν γονάτων. ὅθεν καὶ
τὸ μετοκλάζειν. παρὰ τὸ ἐγκλάζειν
καὶ κάμπτειν τὰ γόνατα.

Κληρονόμος. παρὰ τὸ κλῆρος καὶ τὸ
νόμος. ζήτει εἰς τοὺς ἐπιμερισμούς.

Κλῆρος. παρὰ τὸ κλῶ μονοσύλλαβον.
ὅπερ γέγονεν ἀπὸ τοῦ καλῶ. κλῶ.
ὁ μέλλων κλώσω. ῥηματικὸν ὄνομα
κλῆρος. ὁ καλῶν ἐφ' ἑαυτὸν τοὺς λαχόν-
τας. ὁ δὲ Ἡρωδιανός. παρὰ τὸ κάλον
τὸ ξύλον γέγονε κλῆρος. ἐπειδὴ ἐν—

ξύλοις ἐχαράσσοντο οἱ κλῆροι.
ὃς μὲν ἐπιγράψας κυνέῃ —
ἀντὶ τοῦ ἐπιξέσας.
Κλίμαξ· παρὰ τὸ κλίνω· κλίμαξ· ὡς χλαί-
να χλαμύς.
Κλίνη· παρὰ τὸ κλίνω· τοῦτο δὲ παρὰ
τὸ κλῶ· κλάσιν γὰρ λαμβάνουσι τὰ κλι-
νόμενα στερισκόμενα τῆς ὀρθότητος.
εἰς τὸ κλείνω.
Κλισμοῖσι· θρόνοις ἔχουσιν ἀνακλίσεις.
παρὰ τὸ κλίνω.
Κλειτύς· ὁ μὲν ἀπὸ x τὸ κατωφερὲς
τῶν ὑδάτων· ἄμεινον δὲ τὰ ἀποκλίμα-
τα καὶ ἔχοντα τῶν ὀρ x. παρὰ τὸ
κεκλίσθαι ἢ παρὰ τὸ κλιτός· ὅπερ
σημαίνει τὸ αὐτὸ γέγονε κλιτύς· καὶ
πλεονασμῷ τοῦ ι· κλειτύς.
Κλειτοριάζειν· κλειτόριον ἐστὶν ὄνομα
πόλεως· οὔσης ἐν τῇ ἀρκαδίᾳ· παρὰ
τὸ κλύω γέγονε κλυτόριον· καὶ κλειτό-
ριον· σημαίνει δὲ τῆς γυναικὸς τὸ αἰ-
δοῖον· ὅθεν καὶ κλειτοριάζειν λέγεται, β.
τὸ αἰσχρῶς ἅπτεσθαι τοῦ αἰδοίου τῆς
γυναικός x· δεῖ δὲ γινώσκειν ὅτι πηγὴ
ἐστὶν ἐν τῇ πόλει ταύτῃ ἧς τινος ὁ

γινόμενος ἀποσείεσθαι τοῦ οἴνου·

χοιροβοσκ(οῦ)·

Κλισίον· σημαίνει τόπον ἔνθα ἵσαντο τὰ ζεύγη· ὁ μὲν τεχνικὸς διὰ τῆς ει διφθόγγου· ὁ δὲ ὦρος, διὰ τοῦ ι· λέγε(ται) παρὰ τὸ κλίνω ἐστί· τὸ σημαῖνον τὸ περιέχω· καὶ ἐκεῖθεν κλισίον τόπος· τοῦτο παρὰ μὲν ὁμήρῳ· καὶ συστέλλει τὸ ι καὶ προπαροξύνεται· οἷον

—— παρὰ δὲ κλίσιον θέε πάντη·

τὰ γὰρ διὰ τοῦ ιον παρώνυμα τρισβράχεα παροξύνεται· οἷον στόμα· στόμιον· θρόνος θρόνιον· πτύξ· πτυχός· πτύχιον· οὕτως οὖν καὶ κλίσις κλίσιον· παρὰ δὲ τοῖς Ἀττικοῖς ἐκτείνει τὸ ι· καὶ παροξύνεται. τὰ γὰρ διὰ τοῦ ιον παρώνυμα δακτυλικά· πρὸ μιᾶς τὸν τόνον ἔχουσιν· ὠτός· ὠτίον· κλεῖς· κλειδός· κλειδίον·

χοιροβοσκός·

Κλισία· οἶμαι ὅτι καὶ τοῦτο ἀπὸ τοῦ κλείνω τὸ σημαῖνον τὸ περιέχω γίνεται· κλίνω· κλίσις· κλισία·

Κλοιός· σημαίνει τὰ σίδηρα· ἃ φοροῦσιν οἱ κατάδικοι· παρὰ τὸ κλείω· κλοιός· κλείει γὰρ περιτιθέμενον· εἶτα

τὸ κλειός· γίνεται κατ' ἔκτασιν κλωϊός.
μετὰ τοῦ ι.

Κλονίος· ὄνομα κύριον· παροξύτονον·
τὰ γὰρ εἰς ος λήγοντα τριβραχέα· ἐπὶ
κυρίων τασσόμενα· παροξύνεται· οἷον
Φεδίος· χρομίος· δολίος· ὄδιος· ἀντιπίπ-
-τει δὲ τὸ ἀλῖος· κατὰ παράδοσιν καὶ
τὸ ἄνιος καὶ τὸ κρόνιος καὶ τὸ ξένιος.

Κλῦθι· ἀπὸ τοῦ κλύω· κλῦμι· τὸ προσ-
-τακτικὸν κλῦθι.

Κλυτός· ὁ ἔνδοξος· παρὰ τὸ κλύω τὸ
δοξάζω γίνεται κλυτός· καὶ κλυτὰ ἔν-
-δοξα· λαμπρά.

Κλυταιμνήστρα· παρὰ τὸ κλυτός· ὁ σημαί-
-νει τὸν ἔνδοξον· καὶ τὸ μνῶ τὸ φρον-
-τίζω· γίνεται κλυτομνήστρα· τουτέστιν
ἡ ἔνδοξα φροντίζουσα· καὶ τροπῇ τοῦ
ο εἰς α· καὶ πλεονασμῷ τοῦ ι· γίνε-
-ται κλυταιμνήστρα.

Κλύω τὸ ἀκούω· κέκλυτέ μευ πάντες θεοί.
παρὰ τὸ καλῶ· κλῶ· ὃ σημαίνει τὸ φωνῶ.
γίνεται κατὰ παραγωγὴν κλύω.

ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ.
ἀντὶ τοῦ πλέον ἐπακούουσιν αὐτοῦ.

Κλωσῆρ· παρὰ τὸν κλώσω μέλλοντα.

κλωστήρ· ὥσπερ τὸ λάμπω λαμπτήρ.

Κλώψ· ὁ κλέπτης καὶ ὁ λῃστής· παρὰ τὸν κλέψω μέλλοντα· γίνεται κατὰ ἀποβολὴν τοῦ π κλέψ· καὶ κλόψ· καὶ κατ' ἔκτασιν κλώψ· ὡς βλέψω· βλέψ· καὶ βλὼψ ὁ στραβός.

τὸ Κ μετὰ τοῦ Μ· στοιχείου.

Κμέλεθρα· δεῖ γινώσκειν ὅτι τὸ κ πρὸ τοῦ μ· οὐδέποτε εὑρίσκεται ἐν ἀρχῇ λέξεως· τὸ γὰρ πολύκμητος· οὐχ εὑρίσκεται ἐν χρήσει τὸ ἁπλοῦν αὐτοῦ, ἤγουν τὸ κμῆτος· καὶ πάλιν τὸ κέκμηκα· οὐκ ἔστιν ἀπὸ τοῦ κμῶ· ἀλλ' ἀπὸ τοῦ καμῶ καμνύω· κεκάμηκα· καὶ κατακέκμηκα· σημαίνει δὲ τὸ κεκοπίακα· λέγει δὲ ὁ Ἡρωδιανός· τὸν Πάμφιλον ἀναγαγεῖν ἐν ταῖς γλώσσαις· τὸ κμέλεθρα· σημαίνει δὲ τὰς δοκούς· τὸ δὲ πολύκμητος σημαίνει ὁ μετὰ πολλοῦ καμάτου γινόμενος.

τὸ Κ μετὰ τοῦ Ν.

Κναφεύς· παρὰ τὸ κνήθω· ὅπερ ἐστὶν ἀπὸ τοῦ κνῶ· τὸ ξύω· ξύουσι γὰρ τὴν τῶν ἀκνάπτων ἱματίων κροκίδα· οὕτω —

Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥη-
-μάτων. ἐὰν δὲ διὰ τοῦ γ. γναφεὺς παρὰ
τὸ κάμπτω. γνάμπτω. καὶ γνάπτω γναφεύς.
Κνάμψω. εἰς τὸ κνάφος. ἀπὸ τοῦ κνῶ γί-
-νεται κνάφος. ὡς παρὰ τὸ χῶ. χάπτω.
καὶ ῥηματικὸν ὄνομα κνάφος. σημαίνει
δὲ τὸ ἀκανθῶδες φυτόν. ᾧ τὰ ἄθικτα
τῶν ἱματίων ἐπιξέοντες κατεργάζονται.
Ἀλκαῖος. μὴ μέγαν περὶ κνάφον περιστίχ. β.
ἕνα κύκλον.
Κνέφας. σημαίνει τὸ σκότος. παρὰ τὸ
κενὸν εἶναι φάους. κένεφας. καὶ ἐν συγκο-
-πῇ. κνέφας. ἢ παρὰ τὸ νη στερητικὸν
καὶ τὸ φάος. γίνεται νήφας. καὶ κατὰ
συστολὴν καὶ πλεονασμῷ τοῦ κ. κνέφας
εἴρηται δὲ καὶ κνέφος. ὡς οὖδας. οὖδος.
Κνήμη ἀπὸ τοῦ κινῶ. κινήμη καὶ κατὰ
συγκοπὴν κνήμη. οἱονεὶ τὰ κινήσεως
αἴτια. ἰστέον ὅτι τὸ ἔμπροσθεν λέγε-
-ται ἀντικνήμιον. τὸ δὲ ὄπισθεν
γαστροκνήμιον. κυρίως δὲ κνῆμαι λέγον-
-ται, τὰ διαιροῦντα ξύλα τὴν χοινι-
-κίδα τοῦ τροχοῦ. σημαίνει δὲ καὶ τὰς
ἐξοχὰς καὶ προβάσεις καὶ καθύγρους
τόπους τῶν ὀρῶν.
Κνηστρόν. εἰς τὸ κνήθω ἐξ οὗ καὶ
τὸ κνῆστις. σημαίνει δὲ μάχαιραν.—

ἀπὸ τοῦ κνῶ κνῆσις

—— ἐπὶ δ' αἴγειον κνῆ τυρόν.

κνήστι χαλκείῳ ——

Κνίσα· ἡ ἀναθυμίασις· τοῦ καπνοῦ· παρὰ τὸ κνῶ κνίζω· ὁ μέλλων κνίσω καὶ κνίσα· τὸ δὲ κνῶ· σημαίνει τὸ ξύω· κνισμὸς γὰρ γίνεται κατὰ τῆς ὀσφρήσεως· ἔστι δὲ καὶ τὸ λίπος· καὶ ὁ ἐπίπλους·

Κνύζω· σημαίνει τὸ διαφθεῖραι καὶ κακῶσαι· οἷον·

Κνύζωσε δέ οἱ ὄσσε περικαλλέ' ἐόντε·

ἔστι ῥῆμα κνύζω πρώτης καὶ δευτέρας συζυγίας τῶν περισπωμένων· οἷον κνυζῶ· ἐξ οὗ καὶ τὸ κνυζηθμός· ὡς μυκηθμός· κνυζηθμός ὡς μυκηθμός.

κνυζηθμῷ δ' ἑτέρωσε διὰ σταθμοῖο φόβηθεν·

καὶ πάλιν Σοφοκλῆς

β φρίξω κωκυδὸν ἐξέπραξαν κνιζόμενοι·

ἔστι δὲ καὶ δευτέρας·

κνύζωσε δέ τοι ὄσσε ——

καὶ τινὲς μὲν λέγουσιν ἀπὸ μεταφορᾶς τῶν κυνῶν· κυνὸς γὰρ καὶ κυνῶ τὸ κνύζω· ὅπερ ἐστὶν ἀπρεπές· οἱ δὲ παρὰ τὴν κνύζαν· οἷον χαμαιζήλοιο κνύζης· γίνεται κονίζω· ὡς ῥίζα ῥίζω

ὅπερ ἀπίθανον. ἄμεινον οὖν Φιλοξένῳ
συγκατατίθεσθαι. ὅτι ἀπό τοῦ κνῶ
γίνεται παράγωγον κναίω. τὸ σημαῖνον
τὸ διαφθείρειν. ὡς Ἀριστοφάνης. ἱππεῦσιν β.

ἐπὶ ταύταις κατακναίεται μυτωτ[illegible] κατὰ τυρόν.

παραιτητέον δὲ τοὺς γράφοντας κατακνη-
-θῆναι. περί τε ἀριστοφάνους ἀναγνώσεως.

ἀλλὰ εἵμεθα δέδοικα μὴ τὰ πράγματα
ἡμῶν διακνισθῇ.

παρὰ γὰρ τὸ κνῶ μονοσύλλαβον γίνεται
κνῆμος. ἀλλ' ἔστι γογγύλιόν τι συγκνωμο-
-θέντος. παρὰ οὖν τὸ κνῶ κνίζω. ὡς
στῶ. στίζω. πρῶ. πρίζω. ἐξ οὗ κνίζα ἡ
τῆς ὀσφρήσεως προΐζουσα. ἀπὸ δὲ τοῦ
κνίζω. γίνεται κνίσω. ἐξ οὗ τὸ κνῖσα.
τοῦτο δὲ ὡς λέγει Ἡρωδιανὸς ἐν τῷ κα-
-νόνι. εἰ μὲν ἐπὶ τοῦ φυτοῦ κατὰ συγ-
-κοπήν ἐστι. οἷον.

—— χαμαιζήλοιο κονύζης.

ἀλλ' ἀπὸ τοῦ κνύω. ἀφ' οὗ κνύος ἡ φθορά.
οἷον κατὰ κνύος ἔκχευεν.

Κνύσσω. παρὰ τὸ ὄσσω τὸ βλέπω. ἢ
παρὰ τὸ κενόν. τουτέστι κενοῦσθαι τοῦ
βλέπειν.

Κνώδαλα κυρίως μὲν τὰ τῆς θαλάσ-
-σης ζῶα. διὰ τὸ ἐνάλιον κινεῖσθαι.

κινώδαλα τινά ὄντα· καταχρηστικῶς δέ καί ἐπί πάντων τῶν θηρίων ἡ λέξις τίθεται· κνώδαλα τινά ὄντα· διά τό ὑπό τῶν κυνῶν ἁλίσκεσθαι· Ἡσίοδος ἐν θεογονία

κνώδαλα ὅσσ᾽ ἤπειρος· πολλά τρέφει δέ θάλασσα·

Κνώσσειν τό κοιμᾶσθαι· παρά τό κενά καί ἀργά εἶναι τά ὄσσα τουτέστι τούς ὀφθαλμούς· εἰς τό κοιμᾶσθαι· κνώσσειν καί κατά συγκοπήν κνώσσειν.

τό Κ· μετά τοῦ ο στοιχείου.

Κόβαλος· ὁ ληστής· ἀπό τῆς κοπίδος· κοπίβαλός τις ὤν· ὅθεν καί τό κολακεύειν· καταχρηστικῶς εἴρηται· τό κερδαίν[illegible] τά ἀλλότρια μισθοῦ κατ᾽ ὀλίγου· Ἀπολλώνιος δέ ὧν ἐστίν ὦρος· ὅτι κόβαλα λέγονται τά κατεστωμυλμένα, καί κοβάλους τούς κάλους ἀπό τοῦ κόψαι πεποιημένης τῆς λέξεως.

Κοβρίτης σημαίνει τόν τοῦ κόβρου· ἀπό γάρ τοῦ κόβρος γέγονε κοβρίτης· ὥσπερ καί ἀπό τοῦ κέδρος κεδρίτης· γράφεται δέ· διά τοῦ ι· ὥσπερ τό λογχίτης·

Κόθορνος· γυναικεῖον ὑπόδημα τετράγω-
:νον· ὑπὸ τοὺς κοθόρνους τὸ σχῆμα· ἁρ-
:μόζον ἀμφοτέροις τοῖς ποσί·
Κόθουρος· σημαίνει τὸν κολοβόουρον·
παρὰ τὸ κολοῦσθαι τὴν οὐράν·
Κοιλία· ἀπὸ τοῦ κοῖλον εἶναι· ἢ ἀπὸ
τοῦ λεαίνειν τὴν τροφὴν καὶ χυλοῦν.
κολοία καὶ κοιλία σῦ:
Κοιμῶμαι· ἀπὸ τοῦ κω, τοῦ σημαίνοντος.
τὸ ὑπνῶ· γίνεται κείω· ὡς θῶ θείω.
σῶ· σείω· ὁ παθητικὸς ἐνεστὼς κείομαι·
καὶ ἐν συγκοπῇ κεῖμαι· ἀφ' οὗ ὄνομα
ῥηματικόν· κοίμη· ἐξ οὗ ῥῆμα δευτέ-
:ρας τῶν περισπωμένων· κοιμῶ κοι-
:μᾶς· τὰ γὰρ ἀπὸ τῶν εἰς η θηλυκῶν
γινόμενα ῥήματα δευτέρας συζυγίας
ἐστίν· ὡς ἐπιτοπλεῖστον· ὁ δὲ ὦρος παρὰ
τὸ κείω κοιμός· ὡς λείπω· λοιμός· καὶ
ῥῆμα κοιμῶ· τὸ δὲ πρῶτον· ἀχρηστ.
Κοινός· οἶμαι ὅτι παρὰ τὸ κείω· κεῖμαι·
κεινός· καὶ κοινός· ὁ πᾶσι προκείμε-
:νος· ἢ γινόμενος· καὶ κοινὸς ὁ εὐκόλως
γινόμενος πᾶσιν· ἢ κοῖμος· ὁ συγκειμέ-
:μενος τινί· ἢ παρὰ τὸ χῶ τὸ δέχο-
:μαι· γίνεται χοινός· καὶ κοινὸς ὁ —

δεκτικὸς καὶ ὁ πρὸς δεκτός. λέγεται δὲ κοινὸς βασιλεὺς Μακεδονίας. μαρσύας ἱστορεῖ ὅτι κνῶπις. τὸ γένος κόλχος εἰς Μακεδονίαν ἐλθών. διέτριβε παρὰ καράνῳ. γνωρίμου δὲ γενομένου τοῦ Καράνου. καὶ βουληθέντα τὸν παῖδα ἀπὸ τοῦ ἰδίου πατρὸς, ὀνομάζειν ἀλάκωνος, ἀντιθέσατο ἡ μήτηρ. καὶ αὐτὴ ἀπὸ τοῦ ἰδίου πατρὸς ὀνομασθῆναι τὸν παῖδα βουλομένη. Κνῶπις δὲ ἐρωτηθεὶς εἶπε, μηδ' ἕτερον ὀνομάζεσθαι αὐτόν. διόπερ κοινὸς ἐκλήθη. ἔνιοι δὲ ἁμαρτάνοντες, τὸν καινὸν αὐτὸν καλοῦσι.

Κοῖος. ὁ πατὴρ λητοῦς. παρὰ τὸ κοεῖν ὅ ἐστι νοεῖν. καὶ συνιέναι ὅ ἐστι συνετός:

Κοίρανος ὁ ἀρχηγὸς. καὶ ἡγεμών. ὥσπερ παρὰ τὸ ἀθρεῖν τὸ βλέπειν λέγεται ὄθρυς τὸ ὄρος. κατὰ τροπὴν τοῦ α. εἰς ο. ἀφ' οὗ ἐστιν τὰ μακρόθεν διεστῶτα θεωρεῖν. καὶ παρὰ τὴν ἀρχὴν ἄρχαμος. καὶ ὄρχαμος. οὕτω καὶ παρὰ τὸ καιρὸς γέγονε κοίρανος. μεταθέσει τοῦ α. εἰς ο. οἱονεὶ καίρανός τις ὁ ἐν καιρῷ ἀρχ.

Κοιρανέων διατάσσων ἐπερχόμενος.

καὶ τὸ τοῦ κοιράνου ἔργον ἐπιτελῶν.

Κοίτη· παρὰ τὸ κέω· τὸ κεῖμαι. ὁ παθητικὸς ἐνεστὼς τῶν εἰς μι. κεῖμαι. κεῖται, καὶ ἐξ αὐτοῦ κοίτη· ἐν ᾗ ἔστι κεῖσθαι κοιμωμένους. ὁ δὲ Διονύσιος. παρὰ τὸ κῶ τὸ σημαῖνον τὸ ὑπνῶ. γίνεται κείω· ὡς θῶ. θείω. σῶ. σείω. παρὰ τὸ κείομαι· κεῖται· καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν κοίτη.

Κοιτὶς Ἀττικῶς ἡ μικρὰ κίστη· τὴν γὰρ κίστην κοίτην λέγουσιν. ἔστι δὲ ἐν αἷς κοιταζόμεναι αἱ γυναῖκες ἀπετίθεντο τὰ χρύσια.

Κόκοι. Ἀττικῶς τὸ ταχύ.

Κοκκοτὶ ὁ δῆμος· ἑλληνιστὶ· κύριος ἁπάσης γῆς οἰκουμένης.

Κορύδες· παρὰ τὴν κρόκω· κροκὺς κροκύδος· κροκύδες. Ἐπίχαρμος τὴν χρῆσιν.

Κοκκύδας· ὁ πρόγονος· ἔστι δὲ ἰακὴ ἡ λέξις· σημαίνει δὲ τοὺς ἤδη κεκομμένους.

Κόκκυξ· ὄρνεον ἐαρινόν· παραπλήσιον ἱέρακι· ἢ ὄρνεον δειλότατον· ὡς Ἀνακρέων φησίν. β

ἐγὼ δ' ἀπ' αὐτῆς φεύγω· ὥστε κόκκυξ.

Κόλαξ· οἱονεὶ ὁ τεταπεινωμένως —

θεραπεύων τινά· παρὰ τὸ κόλον πα-
ράγωγον, κόλαξ. κόλον δὲ τὸ ταπεινὸν
καὶ μὴ ὁλόκληρον. τινὲς δέ φασι· παρὰ
τὸ κολλᾶσθαι κόλλαξ τὶς ὤν. ἐξ οὗ καὶ
εὔκολος· ὁ εὐχερῶς τινὶ κολλώμενος.
σημαίνει δὲ τὸ κόλαξ. τὸν παράσιτον.
καὶ παραμένοντα τινί· οἷον κόλακος
γὰρ φύσις, καὶ μνημονικὸν πρὸς κακί-
αν καὶ τῶν ἀγαθῶν ἐπίλησμον.

Κολαφίζω· καὶ κόλαφος· παρὰ τὸ κόλον
ἅπτεσθαι κατὰ τοῦ τυπτομένου μέρους.
ἤγουν ἀσθενὲς καὶ ταπεινὸν πρὸς τὰ
λοιπὰ μέρη· κόλον γὰρ τὸ ταπεινόν.
καὶ μὴ ὁλόκληρον. ὡς δὲ Ἀπίων· ἀπὸ
τοῦ κολᾶσθαι· τὸ δὲ ὄνομα ἑλληνικόν.
παρ' Ἐπιχάρμῳ. ὡς ταχὺ κόλαφος
περιπατεῖ δεινός· ἔστω σωρανός· ἢ
ἀπὸ τοῦ κονδύλους ἅπτεσθαι ἐν ἐκεί-
νῳ τῷ μέρει· κόνδυλος. κόλαφος. ἡ
διδομένη διὰ τῶν μέσων δακτύλων
πληγή· ἄλλοι δὲ παρὰ τὸ κωλύειν
τὸ φῶς.

Κολεός· ἡ ξιφοθήκη· παρὰ τὸ κεκοιλάν-
σθαι· ἢ παρὰ τὸ χήλει τὰ τόξα.

κολοίφευξ· ὁ ὀλόφευξ· τὸ π περισσεύει.
Κόλον τὸ μὴ τέλειον· ἀλλὰ κολοβόν.
Κόλις· ἐπὶ τινος ἐντέρου παρὰ τὴν
κοιλότητα.
Κολοσσός· σημαίνει καὶ τὸ εἴδωλον· κυ=
=ρίως δὲ κολοσσοὶ λέγονται· οἱ ὑπερμε=
=γέθεις ἀνδριάντες· παρὰ τὸ κολούειν.
ὅ ἐστιν ἐλαττοῦν τὰ ὄσσε· τουτέστι
τοὺς ὀφθαλμοὺς διὰ τὸ μέγεθος.
ὡς μὴ ἐφικνουμένων τῶν ὀφθαλμῶν
ὁρᾶν.
Κολοσυρτός.
— κονιός τε καὶ ἀργαλέου κολοσυρτοῦ.
ἡ ἐκ φρυγανῶν κόνις· διαφέρει δὲ κόνις
κολοσυρτοῦ· κολοσυρτὸς γὰρ· ἡ ἐκ
φρυγάνων συρφετός· ἀπὸ τοῦ τὰ κῶ=
=λα σύρειν· τουτέστι τὰ φρύγανα.
σημαίνει δὲ καὶ ταραχὴν καὶ θόρυβον.
ἀνδρῶν ἠδὲ κυνῶν κολοσυρτόν.
Κόλλαβοι· μικροὶ ἄρτοι· παρὰ τῶν με=
=γάλων κολοβοῦσθαι· λέγεται δὲ ἄλλο
τοῦτο σημαίνειν· εἰς τὸ κόλλοπες.
Κόλλοπες· τὰ τῶν ὑῶν καὶ βοῶν θηλυ=
=ρὰ δέρματα περὶ τῶν τραχήλων· ἐξ
ὧν καὶ τοὺς νῦν λεγομένους κολάβους ἐ=
=ποίουν· ἔλεγον δὲ καὶ τὸ νωτιαῖον —

δέρμα, διὰ τὸ τὴν κόλλαν ἐξ αὐτοῦ γίνεσθαι·
β ὅθεν Ἀριστοφάνης τὴν σκληρότητα Αἰ-
σχύλου ἐνδεικνύμενος ἔφη·

οἶμαι γὰρ αὐτὸν κόλλοπι ἐοικέναι.

Κολλούρια· τὰ κολοβὰ ἔχοντα τὰς οὐρὰς· τοῦτο δὲ καὶ ἐπὶ ἄρτων σώζεται, καὶ ἐπὶ τῶν φαρμάκων ἰατρικῶν λέγεται.

Κόλλοψ· ὁ ἐκ τῶν αὐχενίων δερμάτων γινόμενος πασσαλίσκος· ᾧ δεσμεύουσι τὴν νευράν. κόλλοπας δὲ τὰ μέρη ἐκεῖνα καλοῦσιν ἐπειδὴ ἐξ αὐτῶν ἑψόμενα ἐγίνετο ἡ κόλλα. οὕτως εὗρον ἐν ὑπομνήματι Ἀνδρονίκου εἰς τὴν Ὀδύσσειαν.

Κολυμβᾶν· ἐτυμώτερον οἱ Δωριεῖς λέγουσι κολυφᾶν· ἀπὸ τοῦ κόλους ὅ ἐστι κολοβοὺς φαίνεσθαι τοὺς ἐν ὕδατι καὶ μὴ ὁλοτελεῖς.

Κολοιός· παρὰ τὸ κλῶ ῥῆμα τὸ φωνῶ· γίνεται κλός· καὶ πλεονασμῷ τοῦ ο καὶ ι. κολοιός· κρακτικὸν γὰρ τὸ ζῶον. ἀπὸ δὲ τοῦ κλῶ ῥῆμα γίνεται κλώω· κλώκος· καὶ καθ' ὑπερβιβασμὸν καὶ μετάθεσιν τοῦ λ κόκκος. ἢ παρὰ τὸ κῶλος τὸ κυκλοτερὲς ἔχον τὸν τράχηλον.

Κολώνη· εὔκοσμος·
— καὶ δή μιν ἐπικείοντι κολωνῷ.
Φαίνετο δ' ἱερὸν στόμα ἠδὲ κολῶναι·
τὸ μὲν κολωνὸς ὀξύνεται· τὸ δὲ κολώνη
βαρύνεται· σημαίνει δὲ ἄμφω τὰ ἀπεω-
-τήρια·
Κολωός· θόρυβος· παρὰ τὸ κλῶ ῥῆμα·
τὸ δηλοῦν τὸ καλῶ· γίνεται ῥηματικὸν
ὄνομα κλώς· ὡς σῶ· σώς· καὶ πλεονασ-
-μῷ τοῦ ο κολωός· ἢ παρὰ τὸ κολοιός·
ὃ δηλοῖ τὸ ὄρνεον γέγονε κολωός· καὶ
ἐκτάσει τοῦ ο εἰς ω· ὅθεν καὶ τὸ κολῳῶ
ῥῆμα· κραυγαστικὸν γὰρ τὸ ὄρνεον·
Κομμαγήνη· πόλις κόμμανα· ἄλλως με-
-θερμηνεύεται σωσκία κατὰ τὴν τῶν
Σύρων φωνήν· ἔνθεν ἡ κομμαγήνη· καὶ
ἡ κόμη· ὅτι σκιάζει τὴν κεφαλὴν ὥρος·
Κομείτην· ἐπιμελείας ἠξίουν· ἀντὶ τοῦ
ἐκόμουν· ἀπὸ τοῦ κομῶ· κομεῖς·
Κομμεῖν τὸ τὸ σῶμα ὡραΐζειν· ἐπεὶ
καὶ κομμωτικὴν λέγουσι τὴν κοσμοῦσαν.
καὶ τὸ κομμῆσαι· τὸ ἐπιμελείας ἀξιοῦσαι.
Κόμη· παρὰ τὸ κόσμον εἶναι· τοῦ σώμα-
-τος· οἱ δὲ παρὰ τὸ κομᾶν· καὶ κυρίως
ἐπὶ τῆς κεφαλῆς· παρὰ τὸ ἐπιμελείας
ἀξιοῦσθαι· ἀλλὰ τὰ εἰς μη ὀνόματα

δισύλλαβα τῷ ο̄ παραληγόμενα ὀξύνεσθαι
θέλουσι· οἷον νομή· δεσμή· καταδεσμή·
τομή· σημαίνει δὲ τὴν κεφαλήν.
Κομίζω· τὸ ἐπιμελοῦμαι καὶ περιποιῶ.
παρὰ τὸ κομῶ, ὅθεν καὶ ἱπποκόμος· ὁ
ἐπιμελούμενος τῶν ἵππων.
Κομμός· παρὰ τὸ κόπτω· κομμός· κόφω
γὰρ ὀφείλων· ὡς καὶ παρὰ τὸν γράφω
γραμμὸς καὶ ὑπογραμμός.
Κόμπος· παρὰ τὸ κενὴν ὅπα ἔχειν.
ὅ ἐστι φωνήν.
Κομιδή· θεραπεία· ἡ ἐπιμέλεια· παρὰ
τὸ κομίζω· κομιδή.
Κομψός· εἴρηται μὲν ἡ λέξις καὶ ἐπὶ τοῦ
πανούργου· καὶ ἐπὶ τοῦ μετρίου καὶ
ἐπιεικοῦς· ἀμφότερα οὖν παρὰ τὸ
κάμπτω εἴρηται· ἀλλ᾽ ἐπὶ μὲν τοῦ πα-
νούργου παρὰ τὸ εὐκάμπυλον καὶ
διεστραμμένον τῇ διανοίᾳ· ἐπὶ δὲ ἐπι-
εικοῦς· παρὰ τὸ εὐκαμπῆ αὐτὸν εἶ-
ναι· οἷον εὐπειθῆ καὶ προσηνῆ. οὕτως
Εἰρηναῖος ὁ Ἀττικός.
Κόναβος· κοναβίζει· ἠχεῖ· παρὰ
τὸ κόναβος· κοναβῶ· ~~[illegible]~~ τὸ παρὰ
τὴν βοὴν κινεῖν.

Κόνδυλοι· παρὰ τὴν κάμψιν τῶν δακ-
:τύλων· οἱονεὶ κάνδυλοι ὄντες· περὶ
αὐτοὺς γὰρ ἡ κάμψις τῶν δακτύλων
ἐγγίνεται. ἢ κένδυλός τις ὤν· ὁ εἰς
τὰ κενὰ δυόμενος τῶν ἐρραπιζομένων
κενὰ διὰ σαρκῶν τὰ μέρη.

Κόνις καὶ μάχη· παρὰ τὸ κονῶ. κόνις.
κόνιος. κονία. ὡς κόπεος κοπεία· κόπεις,
κοπεία.

Κονίησι· παρὰ τὸ κονῶ κονία. ὡς ταί-
:νω ταινία. ἢ διὰ τοῦ σ ἐπέκτασις.
εἰ μὲν ἔχοιεν δύο σσ, ἑνὶ φωνήεντι
παραλήγεται· οἷον θύρεσσι. κώεσιν.
εἰ δὲ δύο φωνήεντα, ἑνὶ τῷ σ. ἄνοισιν.
ἀχαιοῖσιν. ἐλάτησι. ὡ κονίησιν. ὁ κα-
:νὼν ἔστηκεν. εἰ μὴ μέτρον βιάζοιτο.
σεσημείωται δύο λιμέσι τε καὶ ἄκτισι.

Κονίοπους· πολυσχιδὴς ὑπόδημα· τὸ
μὴ σκεπάζον τὸ σῶμα· ἀλλὰ κατα-
:πασσόμενον ὑπὸ τῆς κόνεως. ἡ δὲ
κόνις ἀπὸ τῆς χύσεως.

Κονιορτός· παρὰ τὸ ὄρω ῥῆμα· ὃ
σημαίνει τὸ διεγείρω· ὁ μέλλων ὄρ-
:σω Αἰολικῶς ῥηματικὸν ὄνομα ὀρτός.
ὡς κείρω κορμός· ὁ ἐν σωθεῖσι μετὰ

τοῦ κόνις κονιορτός· ὁ τὴν κόνιν
ὀρσοῦ καὶ ὀρμῶν:

Κόνις· παρὰ τὸ καίνω τὸ κόπτω. καὶ
θραύω. ἡ εἰς μικρὰ κατακεκομμένη
γῆ. δηλοῖ γὰρ τὴν εἰς λεπτὰ μερῆ οὐ-
σίαν χωρήσασαν γῆν. ἀπὸ μεταφορᾶς
τῶν ξυσμάτων. ἢ παρὰ τὸ κνῶ· κνίς
καὶ ἐπειδὴ οὐκ ἠδύνατο μονοσύλλαβον
ὄνομα· βραχυκαταληκτεῖ πλεονασ-
μῷ τοῦ ο.

Κονίζω· τὸ ἀγωνίζομαι· καὶ παρασκευ-
άζομαι πρὸς τὸν πόλεμον ἀπὸ τῆς
κόνις. οἱ γὰρ ἀρχαῖοι ὅτε ἔμελλον
ἀγωνίζεσθαι· εἰς τὰς χεῖρας αὐτῶν πτύ-
οντες κόνιν προσελάμβανον· διὰ τὸ ἰσχυ-
ρῶς κρατεῖν.

Κονίσαλος· ὁ κονιορτός. οἱονεὶ ἡ σαλευομέ-
νη κόνις. ἢ παρὰ τὸν κονίσω μέλλοντα
γίνεται κονίσαλος. ὡς παρὰ τὸ ἴζω ἴσα-
λος. σημαίνει δὲ τὸ κονίσαλος καὶ κονι-
ορτὸν καὶ αἰδοῖον.

Κονίσουσιν· ὠρεῦ κονήσουσι πεδίον. ἐκ
τοῦ παρακολουθοῦντος· νοεῖται τὸ
φεύξονται. οἱ γὰρ φεύγοντες κατὰ τὸν
δρόμον ἐγείρουσι κόνιν. οὕτως εὗρον.

Κονίω· ὥσπερ ἀπὸ τοῦ μῆτις· μητίω
διὰ τοῦ ῑ· δῆρις δηρίω· καὶ μῆνις μηνίω.
οὕτω καὶ ἀπὸ τοῦ κόνϊς· κονίω.
Κόντϊλος· εὔπολις· εἰμὴ παίζῃ· αὐτὸ β
δ' ὄπισθε κατέλαβε τὸν κόντϊλον· ἔστι
κοντὸς κοντὸς κόντιλος.
Κοντός· παρὰ τὸ κεντῶ κεντός· ὡς
τρέφω· τροφός.
Κόπρεα· Αἰολικῇ διαλέκτῳ· κοπρία
κόπρεα· ὡς ὁ πρίαμος· πέρραμος.
ἀλλότριος· ἀλλότερος.
Κόπις σύντομος· ὀξὺς τῷ λόγῳ· ἤγουν
λάλος· ὅθεν καὶ ὁ δημοκόπος καὶ κόβαλος
καὶ κατεστωμυλμένος, κόβαλοι λέγονται.
καὶ τὰς τῶν λόγων τέχνας κοπίδας ἐκά:
λουν· καὶ τὸν πυθαγόραν εὕρωμεν ὄντων
ἀληθινῶν κοπίδων· Εὐριπίδης. β

πρὶν ὁ ποικιλόφρων κόπϊς ἡδυλόγος
δημοχαριστής.

Κόπρος· οἱονεὶ κόπος τὶς οὖσα, βαρεῖ
γὰρ πρεισβὸν ἐγκείμενον· καὶ κοποῖ.
ἢ χὸς πορός τις οὖσα, ἀπὸ τοῦ χεῖσθαι
διὰ τοῦ πόρου, κατὰ συγκοπὴν καὶ
τροπὴν τοῦ χ εἰς π κόπρος.
Κόρη ἐπὶ τοῦ ὀφθαλμοῦ· οἱονεὶ χώρη

τὶς οὖσα· ἀπὸ τοῦ δι' αὐτῆς χεῖσθαι τὸ
ὁρατικὸν πνεῦμα· κόρη δὲ ἡ παρθένος
ἡ ὑγροφυὴς καὶ τρυφερά· ἀπὸ τοῦ κο-
ρεῖν τὸ καλλωπίζειν· ὃ καὶ ἐπὶ τοῦ
ὀφθαλμοῦ λέγεται· ἢ ἡ καθαρὰν καὶ
ἄφθορον ἔχουσα τὴν ἡλικίαν· κορεῖν
γὰρ τὸ καθαίρειν· ἔνθεν καὶ νεωκόρος·
ἢ παρὰ τὸ κείρω· ἡ κειρομένη ἔτι
νεάζουσα.

Κορήσατε· σάρατε· ποιήσατε· κόρη-
μα γὰρ τὸ σαρὸν· καὶ κορέω τὸ σαρῶ.

Κορυνθεῖται· κορυφοῦται· αὔξεται· ἀπὸ
τοῦ κορύσσω· ἢ ἀπὸ τῆς κόρυθος. ἔνιοι
δὲ ἀπὸ τοῦ σωρεύεσθαι ἤκουσαν· κόρ-
υθος γὰρ ὁ σωρός.

Κορυθάλη· ἡ πρὸ τῶν θυρῶν δάφνη
τιθεμένη· ὅτι οἱ κλάδοι τοὺς κόρους
καλοῦσι, θάλλουσι· ὥς καὶ ὁ Χέρσιππος·
ἀλλὰ δᾶδας ἡμμένας μοι δότω τις·
ἔνθεν καὶ κόρους πλέκτους ἀκραπνεῖς
μυρρίνης· οἱ γὰρ ποιηταὶ ἀνάπαλιν
τοὺς κλάδους καὶ ὄζους καὶ ὅρπηκας·
λέγουσι τινὲς δάφνας προσετίθουν
ἐφ' ἱερείοις καὶ γάμοις.

Κόρειον· παρὰ τὸ κόρον ἐστίν· οἷον καὶ κανηφόρειον. κόρειον.
Κορύβαντες· δαίμονές τινες· οἵτινες ἐτάχθησαν φυλάσσειν τὸν δία· παρὰ τὸ κρύβειν τὸν δία. κρύβαντες πλεονασμῷ τοῦ ο· ἢ οἱ τὴν κόρην καταβάντες ἀναγαγεῖν· καὶ μὴ ὑποστρέφειν.
Κόρση· ἡ κεφαλή. ὡς μὲν ἀπολλόδωρος· ἀπὸ τοῦ κορυφοῦσθαι. οἱ δέ φασι. παρὰ τὸ κείρεσθαι· ὅθεν κορσωτὴρ λέγεται· ὁ τὰς τρίχας κουρεύων. οἷον.

ὡς δ' ἐνὶ κορσωτῆρος ἀπὸ τρίχα καλλύνονται.

καὶ κόρσαι αἱ τρίχες· Αἰσχύλος· β

λευκὰς δὲ κόρσας τῇ δ' ἐπαντέλλει νόσῳ.

Κορεσθῆναι· ὅτι κουροτρόφον τὴν γῆν καλοῦσι· καὶ τὸν ἐκ ταύτης καρπόν, κόρην. ὅθεν καὶ τὸ πληρωθῆναι τροφῆς κορεσθῆναι λέγουσιν· ἀπὸ τῆς κόρης. ἣν παρὰ Πλάτωνι κατὰ τὴν γῆν οὖσαν κἀκείνου νομίζομεν γυναῖκα. ὅμως κόρην λέγουσι· διὰ τὴν τοῦ καρποῦ κατ' ἐνιαυτὸν γινομένην γέννησιν φω
Κόρταφος· τὸ ἐντελὲς τέον παρέλαβε.

εἰ μὴ ἄρα πρὸς τὴν συνήθειαν παρὰ τὴν κόρσην εἶναι· κόρσαφος καὶ κόρταφος· καὶ ἐν ὑπερβιβασμῷ κρόταφος· ἢ ὅτι τῆς κόρσης ἀφή ἐστι· παρὰ τὸ κόρση καὶ κρόση ἐστὶ κρόσας μὲν πύργων καὶ τὸ κρόσος. οὕτως ἐτυμολογεῖται ἀπὸ τοῦ τέλους· φησὶ γὰρ ἡ κεφαλὴ τὸ τελευταῖον· ὁ κόρσος καλεῖται.

Κόρση ἡ κεφαλὴ ἀπὸ τοῦ κείρεσθαι καὶ γὰρ τὸ κεῖραι κόρσαι λέγουσι· κάρα δὲ ἀπὸ τοῦ τετειχῶσθαι· κέρα γὰρ ἡ θρίξ· κάρατα δὲ αὐτὴν ἐκάλουν ἀπὸ τοῦ κέρατος. ὡς ἐν αὐτῇ τοῦ ἡγεμονικοῦ τυγχάνους.

Κορυθάϊξ· ἀπὸ τοῦ ἀΐσσω· ἀΐξω· καὶ τοῦ κόρυθος. γίνεται κορυθάϊξ. τὰ δὲ εἰς ξ λήγοντα ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον πέρδιξ.

Κορυθαίολος· ἔστιν αἰόλλω τὸ δηλοῦν τὸ κινῶ καὶ συνεχῶς στρέφω· οἷον

ὡς δ' ὅτε γαστέρ' ἀνὴρ ἐμπλείω κνίσης τε.

αἰόλλειος καὶ αἰόλαι ἐλαί· ὅπερ ἀπὸ τοῦ ἀέλλης γίνεται· ἢ ἀπὸ τοῦ ἀείν

καὶ τοῦ εἰλεῖν. ἀφ' οὗ ῥηματικὸν ὄνομα,
αἰόλος. καὶ ἐν συνθέσει μετὰ τῆς κόρυ-
θος κορυθαίολος. ὡς πάλλω πάλλος. καὶ
σακέσπαλος. κορυθαίολος. οὖν ὁ τὴν κό-
ρυθα εὐκίνητον ἔχων. ἢ ποικίλην ἐξ
οὗ πολεμικήν.

Κόρυθος φάλον. τὸ προμετωπίδιον.
ἀνάστημα τῆς περικεφαλαίας. εἰσὶ
γὰρ τινὲς ἧλοι λαμπροί. ἕνεκα κόσμου
τῆς περικεφαλαίας. φαλὸν γὰρ τὸ λαμ-
πρόν. ὅθεν καὶ φαλακρός. ὁ ἔχων φα-
λὸν τὸ κάρα.

Κορώνη ἔσπαλον. παρὰ τὸ κάρη. ὅπερ
ἀπὸ τοῦ κάρηνον γέγονε κατὰ ἀποκοπήν.
καρήνη καὶ κορώνη. καὶ κορωνίτης:

Κόρυς ἡ περικεφαλαία. παρὰ τὸ κάρη,
κάρυς. καὶ κόρυς. ἢ παρὰ τὸ κόρση
γέγονε κόρυς. κόρση δὲ ἡ κεφαλή. καὶ
τὸ κορσοῦσθαι. ἐπὶ τοῦ κείρεσθαι ἔλεγον.
οἱ ἴωνες. καὶ κουρεωτῆρα τὸν κουρέα.

Κορυφή. τὸ μέσον τῆς κεφαλῆς. ὅτι
τῆς κάρας ἐστὶν ὀρυφή. τινὲς δὲ ἀπὸ
τοῦ κεκρύφθαι αὐτὴν ὑπὸ τῶν τριχῶν
κρυφή τις οὖσα. καὶ πλεονασμῷ τοῦ ο

κορυφή· ὁ δὲ Φιλόξενος· ἐν τῷ περὶ ἰάδι διαλέκτῳ λέγει, ὅτι παρὰ τὸ κάρη γέγονε καρύπτω καὶ κρύπτω· καὶ μεταθέσει τοῦ ᾱ εἰς ō ὡς παρὰ Θεοκρίτῳ·

β. οἷον

τὸ λιβυκὸν κνάκωνα φυλάσσεο μή τι κορύψῃ

ἐκ τοῦ οὖν κορύπτω· γέγονεν ὄνομα ῥηματικὸν κορυφή· ἰστέον δὲ ὅτι τὸ αὐτὸ ἐστὶ τὸ κορύσσω· ὅθεν καὶ Ὅμηρος εἶπεν·

πρῶτον μὲν τὰ πρῶτα κορύσσεται·

ἐπήγαγε·

κυρτὸν ἐὸν κορυφοῦται —

εἰς τὸ αὐτὸ καταστρέφοντος τοῦ ῥεύματος. σημαίνει δὲ τὸ κορύσσω καὶ τὸ καθοπλίζον καὶ τὸ παρασκευάζον.

Κορώνη· κορωνίς· ἐπὶ τῶν νεῶν· οἷον αἱ καμπυλόπρυμνοι.

σὺν νηυσὶ κορωνίσιν —

παρὰ τὸ ἄνω ἐξηρμένας εἶναι. διὰ τὸ εἰς ὕψος ἀνέχειν. καὶ κορώνη τὸ ὄρνεον· παρὰ τὸ καυρον· ὅπερ σημαίνει τὸ κα-

β κόν. Ἀνακρέων. κόρωνα βαίνων φαιδί-

τίθεται δὲ ἡ λέξις. καὶ ἐπὶ τοῦ ὀρνέου. καὶ ἐπὶ τοῦ ἐπικαμποῦς τόξου καὶ ὁ τῆς θύρας κρίκος.

Κορωνός· ὁ γαῦρος· καὶ ὑψαυχήν. παρὰ
τὸ κάρη· κατὰ μετάθεσιν τοῦ α εἰς ο.
ἀρχή. βοῦς ἐστὶν ἡμῖν ἐργάτης ἐν οἰκίᾳ
κορωνός· ἔργων ἴδρις. ἤδ᾽ ἄρ.

Κόσμος· παρὰ τὸ κοσμῶ. ὁ πάντα ἐν
ἑαυτῷ ἔχων κεκοσμημένα· καὶ διατεταγ-
μένα. ἢ παρὰ τὸ κάζω· κάσω· κέκασ-
μαι· κασμός· ῥηματικὸν ὄνομα· καὶ με-
ταθέσει τοῦ α εἰς ο καὶ ἐναλλαγῇ
τοῦ τόνου κόσμος. οὕτω Φιλόξενος.

Κοτταβίζω· συνεπίνομέν τε καὶ κοτταβί-
ζομεν. καὶ τῶν κοτταβίων τὰ πολλὰ
ἡμέτερα ἦν.

Κότος· ἡ ὀργή· παρὰ τὸ κέω· ὃ σημαί-
νει τὸ κεῖμαι· κέκηκα· ὁ παθητικὸς
κέσμαι· καὶ τὸ τρίτον κέσται· ῥηματι-
κὸν ὄνομα κότος· ἡ ἐναπομένουσα
ὀργή, κότος λέγεται.

Κοτύλη· ὅπου ἐγκλίνεται ἡ κεφαλὴ τοῦ
μηροῦ· παρὰ τὴν κοιλότητα τὴν ἐν αὐ-
τῇ τῇ κοτύλῃ γενομένην. λέγεται
κοτύλη καὶ τὸ κοῖλον τῆς χειρός.
ὅθεν καὶ τὸ κοτυλήρυτον· τουτέστι
τοσοῦτον τὸ πλῆθος ὥστε καὶ κοτύλαις
ἀρύεσθαι· παρὰ τὸ ἀρύω· ἀρύσω· ἀρυστόν

καὶ ἐν διωθέσει κοτυλήρυτον· ὥστε ψι-
λωτέον τὸ ε. λέγεται κοτύλη· καὶ εἶδος
ποτηρίου καὶ εἶδος μέτρου. κυρίως δὲ
τὸ ὁπωσοῦν μέτρον. κοτύλην ἔλεγον
οἱ ἀρχαῖοι κατὰ τὴν κοιλότητα.

Κότινος. ὁ στέφανος. ὁ ὀλυμπιακός.
ὅτι πάλαι ἐφυλλοβόλουν τοὺς νικῶν-
τας. ἀπὸ τῶν παρακειμένων φύλλων
ἐπιρριπτοῦντες. ἃ δὴ στέμματα αὐτοῖς
πρὸς τὴν ζώνην ἔπιπτον. ὅθεν καὶ κό-
τινον φησὶ κεκλῆσθαι τὸν στέφανον
τὸν ὀλυμπιακόν. ἀπὸ τῆς κοίτης.
ἀρξάμενον στέφανον εἶναι τοῖς νενική-
κόσι. σημαίνει δὲ καὶ ἀγριέλαιον.

Κουρά. κείρω. κέκαρμαι. κορὰ καὶ
κουρά.

Κραδάων. κινῶν. ἐξ οὗ καὶ τὸ κραδαίνω.
τὸ σημαῖνον τὸ αὐτό. οἶμαι ἀμφότε-
ρα γεγενῆσθαι, ἀπὸ τοῦ καρὰ καραί-
νω κραδαίνω καὶ κραδάω.

Κουρῆτες. οἱ μὲν ἀπὸ ὄρους τοπικοί.
οἱ τὴν πλευρῶνα κατοικοῦντες. οἱ δὲ
ἀπὸ τῆς κουρᾶς. παρὰ τὸ μὴ κείρεσθαι.

κουρεῦντες δέ· οἱ τὸν δία θρέψαντες.
κατ' ἀπέκτασιν κουρῆτες. προπερισ-
πωμένως ἐπὶ τοῦ ἔθνους. ἐπὶ δὲ τοῦ
νέου. προπαροξύνεται.

Κοχλίδιον. ὥσπερ ἀπὸ τοῦ κοιλία γί-
νεται κοιλίδιον οὕτω καὶ ἀπὸ τοῦ κοχλί-
ας κοχλίου γίνεται κοχλίδιον.

Κοχλιάριον. παρὰ τὸ κόχλιος κοχλιά-
ριον πλεονασμῷ δὲ τοῦ ι. Φιλόξενος.

Κόχλος. παρὰ τὸ χαλῶ. καὶ συγκοπῇ
χλῶ. καὶ κατὰ ἀναδιπλασιασμὸν κόχλος.
καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων.
κόχλος. τὸ κατ' εἴλησιν χαλώμενον.
καὶ τὸ πᾶν. ὅθεν καὶ Θουκυδίδης. ἐν τῷ τετάρτῳ,
διὰ τοῦ α λέγει κάχλακας. ὥσπερ παρὰ
τὸ ἱερός γίνεται ἱέραξ. καὶ νέος νέαξ.
ὥσπερ παρὰ Καλλιμάχῳ. β

Καὶ τῶν νεήκων ᾄσειδς οἱ τομώτατοι,
καὶ μύερμος. μύερμαξ. οἷον αὐτίκα
μυέρμων πλεονασμῷ ἢ διαστολῇ. οὕτω
κόχλος κόχλαξ.

τὸ Κ μετὰ τοῦ Ρ.

Κράδη ἡ συκῆ. διὰ τὸ συνεχῶς κραδαί-
νεσθαι. Ὅμηρος. τῷ δὲ Θηριππίδῃ ἐστί

περ πυμίνον. καὶ μόνον οὐ παραχεῖν τοῦ θαλοῦς τῶν κραδῶν.

Κράβη. κοράμβη. ἡ ἀμβλύνουσα τὰς κόρας. βέλτιον δὲ ἡ τῷ κόρῳ ἀντιβαίνουσα. ὅθεν καὶ πρώτη ἐν τοῖς συμποσιακοῖς δίδοται. καὶ παρὰ ἀμπέλῳ οὐ φύεται.

Κραίνω τὸ ἐπιτελῶ. παρὰ τὸ κάρα καραίνω. ὡς χεῖμα χειμαίνω. καὶ συγκοπῇ κραίνω. εἴρηται δὲ κυρίως ἡ λέξις ἐπὶ τοῦ τελειοῦσθαι. καὶ τῇ κεφαλῇ κατανεύειν, τὸν ὑποσχόμενον.

—— εἰ δέ τοι κεφαλῇ κατανεύσω.

Κραναῆς τραχείας ὀρείου. κάρηνα ἰχθύης ὦρος. παρὰ τὸ κραναόν. τοῦτο παρὰ τὸ κρανίον. ὅπερ ἐστὶ παχὺ καὶ ὀστῶδες.

Κράπαλος. κάρπαλος καὶ καρπάλιον. οὕτω λέγεται παρὰ τῷ ποιητῇ. κραπαλός.

Κράτεια. παρὰ τὸ κρατῶ, κράτεια. ὡς ἀνθῶ ἄνθεια.

Κρατευταῶν. τῶν βάσεων. ὅ ἐστι τῶν λίθων. ἐφ' ὧν οἱ ὀβελίσκοι τίθενται. ὀπτωμένων τῶν κρεῶν. οἱ δὲ τῶν λαβῶν τῶν ὀβελίσκων εἶπον κακῶς.

Κρᾶτα· τὴν κεφαλήν· ἀπὸ τοῦ κράτους ἐνταῦθα τοῦ ἡγεμονικοῦ τυγχάνοντος· ἢ παρὰ τὸ κραίνειν καὶ βασιλεύειν τοῦ λοιποῦ σώματος· ὅθεν καὶ κρανίον. καὶ κέρατα τὰ ἐκ τοῦ κρανίου φυόμενα. οὕτω Ῥωμανός. ὁ δὲ Χοιροβοσκός· παρὰ τὸ ὁ κράς· τοῦ κρατός· τῷ κρατί· τὸν κρᾶτα· καὶ κρᾶτα.

Κρανίον· ἀπὸ τοῦ κάρα, κρανίον· καὶ κρανίον.

Κρανέεσθαι· τελειωθήσεσθαι· ἢ τελείως λήψεσθαι· ἀπὸ τοῦ κραίνω· κρανῶ.

Κραῦρα· νόσος περὶ τὰς ὗς γινομένη· ἔστι δὲ εἴδη τρία· βράγχη· κραῦρα· διάρροια.

Κραιπνός ὁ ταχύς· καὶ τὸ συγκριτικόν· κραιπνότερος· παρὰ τὸ κάπω τὸ πνέω· ὅθεν καὶ κάπος τὸ πνεῦμα. καὶ καπνὸς τὸ ἐκ ξύλων καυθέντων ἀναπεμπόμενον πνεῦμα· τοῦτο κατὰ πλεονασμὸν τοῦ ρ· γίνεται κναρπός. καὶ καθ' ὑπερβιβασμὸν καὶ πλεονασμῷ τοῦ ι· κραιπνός· Φιλόδωρος.

Κράσπεδον τὸ κρεμάμενον ἤτοι κεχαλασμένον εἰς τὸ πέδον· παρὰ τὸ

ἄκρα καὶ τὸ πέδον τὴν γῆν. κατὰ ἀφαί-
ρεσιν τοῦ α. καὶ πλεονασμῷ τοῦ σ
κράσπεδον. οἷον τὸ ἔξω ὂν καὶ τῇ
γῇ πλησιάζον.

Κραταίπεδον. λιθόστρωτον ἔδαφος. ἢ
ψηφολόγητον. τὸ ἀντίτυπον.

Κραταιρός. ἰσχυρός. ἀπηλητικός. τὰ εἰς
ρεος τρισύλλαβα. οἷον βεβαρεος.
πρότερος. κυρτερος. τὸ κραταιρὸς οὐκ ἦν
εἰς τέλος. τὸ γὰρ ῥ οὐκ ἐν τῇ παραγωγῇ
ἔχειν. ἀλλ' ὡς ἀπὸ τοῦ βλάβω. γίνεται
βλαβερός. οὕτω καὶ ἀπὸ τοῦ κράτος.
κραταιρός. ὡς θάλος. θαλερός.

Κραταιπεδς. ἀπὸ τοῦ γινομένου ἐλέγετο.
κράμα γὰρ ἐγίνετο.

οἱ μὲν ἄρ' οἶνον ἔσμιγον - - - —

Κρατύς. ἀπὸ τοῦ κράτος. κρατύς.
ὡς πλάτος πλατύς.

Κραυρον. ξηρόν. καπυρόν. εὔθραυστον.

Κρατῶ. παρὰ τὸ κράτος. τοῦτο παρὰ
τὸ κάρα. κάρατος καὶ κράτος. ὁ γὰρ
κρατῶν καὶ ἀρχῶν ἐκεῖνος ἐστὶ κεφαλή.

Κέρας παρὰ τὸ κέαρ ὃ σημαίνει τὴν
ψυχήν. καθ' ὑπέρθεσιν πᾶν γὰρ κέρας
ἔμψυχόν ἐστιν. εἴγε πᾶν ἔμψυχον—

κρέας ἔχει· ἢ παρὰ τὸ κεράω· τὸ συγκεκρασμένον ἐκ τεσσάρων στοιχείων. τινὲς δὲ παρὰ τὸ κρατύνειν ἰσχυροποιεῖν τὸ σῶμα. οὕτω καλῶς.

Κρεῖον· παρὰ τὸ κρέας γέγονε κρέον, καὶ κρεῖον· διὰ τῆς ει διφθόγγου. λέγει ὁ ὧρος ἐν τῇ ἰλιακῇ προσῳδίᾳ. ὅτι τὸ κρεῖον ὅμοιόν ἐστι τῷ θρεῖω. ἰστέον δὲ ὅτι ἡ μὲν κοινὴ δόξα· ἔχει, ὅτι τὸ κρεῖον· κρεοδόχον ἀγγεῖον σημαίνει. ὁ δὲ Εὐφορίων· τὸ κρέας λέγει αὐτὸ εἶναι. ὡς καὶ ὅμηρος.

αὐτὰρ ὅγε κρεῖον μέγα κάμβαλε.

ὁ δὲ ἡρωδιανὸς τὴν ἐκ τῶν ὤμων κρεάτων πεπληρωμένην τράπεζαν· ὁ δὲ πολέμαχος· τὸν ἀπὸ στέατος πλακοῦντα· φιλόξενος αὐτὸ σημαίνειν χ.

Κρείουσα· σημαίνει τὸ βασίλισσα. παρὰ τὸ κρατῶ· κρατείω· ὡς κιχῶ κιχείω· καὶ ὀλῶ· ὀλείω. καὶ ἡ μετοχὴ κρατείων· καὶ τὸ θηλυκὸν κρατεῖσα· καὶ συγκοπῇ κρείουσα.

Κρείσσον. ὡς ἀπὸ τοῦ ταχὺς γί-
νεται ταχίων· καὶ ὁ τρίτος τύπος
θάσσων. οὕτω καὶ παρὰ τὸ κρατὺς
γίνεται κρατίων. καὶ ὁ τρίτος τύ-
πος κράσσων καὶ τροπῇ τοῦ ᾱ
εἰς ε̄ κρέσσων. καὶ πλεονασμῷ τοῦ
ῑ. κρείσσων. οὐδέποτε πρὸ τῶν δύο σσ
δίφθογγος εὑρίσκεται. οἷον φείσσω.
ἑλίσσω. ἀΐσσω. πλὴν τοῦ κρείσσων.
καὶ τοῦ ῥήματος τοῦ ἐξ αὐτοῦ γινομέ-
νου· καὶ χωρὶς τοῦ λεύσσω. σημαίνει
δὲ τὸ θεωρῶ καὶ τοῦ γλαύσσω. σημαί-
νει δὲ τὸ φωτίζω. ταῦτα διὰ δύο
σσ ἐκφέρεται. ἐπειδὴ τετάρτης συ-
ζυγίας ἐστί· τῶν βαρυτόνων. ἡ δὲ τε-
τάρτη συζυγία τῶν βαρυτόνων.
διὰ τοῦ ζ̄ ἢ δύο σσ ἐκφέρεται.

Κρείων σημαίνει τῶν κρεάτων. παρὰ
τῶν κρεάτων γέγονεν. ἀποβολῇ τοῦ
τ̄ κρεάων. καὶ κατὰ κρᾶσιν κρεῶν.
καὶ πλεονασμῷ τοῦ ῑ κρειῶν. οὐκ ἔστι
δὲ μετοχή, ἀλλ' ὄνομα ὡς ὧρος.

Κρεκόδειλος. κροκόδειλος. κατὰ ἐναλ-
λαγὴν στοιχείων.

Κρεμόω. ἀπό τοῦ κρεμῶ. κρεμᾶς.
γίνεται ποιητικῶς πλεονασμῷ τοῦ
ο κρεμόω. ὡς παρά τό γελῶ γελόω.
καί ὁρῶ. ὁρόω. ἐνεστῶτος. δέ ἐστί καί
οὐ μέλλοντος. ἐάν γάρ τό κρεμῶ καί
ἀγορῶ δῶμεν μέλλοντας εἶναι. ἀπό
τοῦ κρεμάζω καί ἀγοράζω. εὑρίσκονται
ἐλάττονας συλλαβάς ἔχοντα τοῦ ἐνεσ-
τῶτος. ὅπερ ἐστίν ἀδύνατον. ἀλλ' ἐστιν ἀπορία
εἰπεῖν. ὅτι ἀπό τοῦ ἀγοράζω καί
κρεμάζω γίνεται ὁ μέλλων ἀγορά-
σω καί κρεμάσω. ἀποβολῇ τοῦ σ
ἀγοράω καί κρεμάω. καί κατά κρᾶ-
σιν ἀγορῶ καί κρεμῶ. καί μετάγε-
ται εἰς ἐνεστῶτα. ταῦτα δέ. μετά
τοῦ παρατατικοῦ γίνε λίνονται. ὁ γάρ
κρεμάσω μέλλων, οὐκ ἐστιν ἀπό τοῦ
κρεμῶ. ἐπειδή κρεμήσω ὤφειλεν
εἶναι. ὥσπερ βριμῶ. βριμᾶς βριμή-
σω. ἀλλ' ἐκ τοῦ κρεμάζω καί τό ἀγο-
ράσω. οὐκ ἐκ τοῦ ἀγορῶ, ἀλλ' ἐκ τοῦ
ἀγοράζω. ἐπειδή ὤφειλεν εἶναι τό
α μακρόν. ἀλλ' ἐστι βραχύ. μήποτε
οὖν καί τό ἀμφιῶ. ἤ ἐνεστώς ἐστιν.
ἤ μεταβέβηκεν εἰς ἐνεστῶτα. χωρίς

εἰ μή τις εἴπῃ· ὅτι τὰ τῶν γ παρα-
ληγόμενα· τῶν περὶ δύο συζυγίας
ἐστί· καὶ οὐ α· οἷον ἀνιῶ· κοπιῶ.
πῶς οὖν τὸ ἀμφιῶ περισπᾶται· οὕτως
ζήτει.

Κρήγυον· τὸ ἀληθές· καὶ τὸ ἀγαθόν.
παρὰ τὸ κῆρ καὶ τὸ ἥδω γέγονε κη-
ρήδιον· καὶ κατὰ συγκοπὴν κρήδυον·
καὶ τροπῇ τοῦ δ εἰς τὸ γ κρήγυον·
τὸ τὴν ψυχὴν ἥδυνον.

Κρήδεμνον· τὸ κεφαλοδέσμιον· παρὰ
τὸ κάρη· ὃ σημαίνει τὴν κεφαλὴν
καὶ τὸ δέω· τὸ δεσμεύω· καρήδεμ-
νον καὶ συγκοπῇ κρήδεμνον· τὸ
δεσμεῦον τὴν κεφαλήν· ὁ δὲ Ἡρωδι-
ανὸς φησί· κρήδεμνον λέγεται τὸ
κατασκευασμένον καὶ πεποιημένον
εἰς κεφαλήν· σημαίνει δὲ τὰ ὑπὲρ
ἄνω τῶν τειχῶν· οἷον τὰ περιβλή-
ματα· Ἡσίοδος· ἐν ἀσπίδι·

ὃς Θήβης κρήδεμνον ἔρυταί τε πόληα·

Κρῆναι· καὶ κρῆνον· ἔστι κραίνω.
κρανῶ· ἔκρανα· τὸ ἀπαρέμφατον
κρᾶναι· καὶ κρῆναι ἰωνικῶς· καὶ —

πλεονασμῷ τοῦ π κεκπῆναι. τὸ προσ-
τακτικὸν κεῖνον. καὶ κέκηνον.

Κείμνη. ὡς παρ' Εὐριπίδῃ.

κείμνη σεαυτὸν ἐκ μέθης — β

Ὥσπερ ἀπὸ τοῦ ἱστῶ γέγονεν ἵστημι.
ὁ παρατατικὸς ἵστην. ἵστης. ἵστη. καὶ
τὸ προστακτικὸν ἵστη. οὕτως οὖν καὶ
παρὰ τὸ κειμνῶ. κείμνημι. ὁ πα-
ρατατικὸν κείμνην. κείμνης. κείμ-
νη. καὶ τὸ προστακτικὸν κείμνη.

Κεημνός. παρὰ τὸ κεχμῶ. κεχμός. καὶ
τροπῇ τοῦ ε̄. εἰς η̄. καὶ πλεονασμῷ
τοῦ ν̄. κεημνός. ἢ παρὰ τὸ κάρα καὶ τὸ
νεύω. κάρανος. καὶ κεημόν. ὁ ἐπὶ κάρα
νεύων.

Κείσυρα. δηλοῖ τὸ πῶμα. κυρίως δὲ
ἐστιν ἐπιβόλαιόν τι. τῆς κεφαλῆς, ποιόν.
ἔνιοι δὲ περιτραχήλιον ποιὸν φασὶν εἶναι.
κακῶς. ἡ γὰρ λέξις ἀπὸ τοῦ κάρα ὠνό-
μασται. τὸ τοῦ φόνου οὖν ἐπιβόλαιον
κατὰ μεταφορὰν κείσυρα εἴρηται.
Ἀπολλώνιος δὲ γελοίως ἵσταται. φησὶ
γὰρ ἐπὶ τὰ ἐσκυτωμένα. κόσκινα.
οἷς ἐπικόσκινα. οἷς ἐπικαλύπτουσι τοὺς
κοσκίνους. ὧρος.

Κρησφύγετα· φρούρια τινὰ οὕτω λέγονται· ἐν οἷς ἐκρύπτοντο οἱ νησιῶται τὸν Μίνωα φεύγοντες· παρὰ τὸ Κρῆτα αὐτὸν εἶναι· τὸ οὖν κρησφύγετον ἄλλον χρήσιμον τοῖς φεύγουσι εἰς τὸ κρύπτεσθαι.

Κρῆτες· παρὰ τὸ ἐπὶ κέρασι βιοτεύειν· κυνηγετικοὶ γάρ· ὁ δὲ Ἀπολλώνιος· παρὰ τὸ ἐκκεκρᾶσθαι τὸν περὶ τὴν νῆσον ἀέρα.

Κρηπίς· παρὰ τὸ ἕρπω· ἑρπίς· καὶ πλεονασμῷ τοῦ κ̄· καὶ ὑπερβιβασμῷ καὶ τροπῇ τοῦ ε̄ εἰς η̄· κρηπίς· δι' ἧς ἕρπειν καὶ βαδίζειν δυνάμεθα.

Κρῖ· σημαίνει δὲ τὴν κριθήν· ἢ ἀπὸ τοῦ κριθήν· ἢ ἀπὸ τοῦ κριθὴ γέγονε κατὰ συγκοπήν· ἢ ἀπὸ τοῦ κρίμνου· τοῦ σημαίνοντος τὸ παχὺ τοῦ ἀλεύρου· καὶ κατὰ ἀποκοπὴν κρῖ· ζήτει πλατύτερον περὶ τούτου εἰς τοῦ Γεωργίου τοῦ Χοιροβοσκοῦ.

Κρίβανος· σημαίνει δὲ τὴν κάμινον· ἔνθεν ὤπτων τοὺς ἄρτους· παρὰ τὸ κρῖ τὸ σημαῖνον τὴν κριθήν· καὶ τὸ βαῦνος τὸ σημαῖνον τὴν κάμινον

γέγονεν. οἱ μέν τοι Δωριεῖς κλίβανον λέγουσι.

Κριθή· παρὰ τὸ προτεθῆναι τῶν ἀκροδρύων· ἀκρόδρυα γὰρ ἤσθιον πρὸ τῶν καρπῶν. ἢ παρὰ τὸ διακρίνεσθαι τῆς ἄχνης· ἤγουν διαχωρίζεσθαι.

κρίνει ἐπειγομένων ἀνέμων καρπόν.

Κρίκε· ἰστέον ὅτι τὸ κρίκε δὲ ζυγὸν μιμητικῶς εἰρημένον. ἀφ' οὗ τινὲς οὐ προσεσχηκότες τῇ μιμήσει τῆς φωνῆς ὑπόρευσαν. ὡς δὲ Ἡρωδιανός φησί· πῶς ἀπὸ ῥήματος τοῦ κρίζω ὄν, ὁ δεύτερος ἀόριστος ὅτε διὰ τοῦ γ ἐστίν· ὅτε στίζω· ἔστιζον. ὅτε διὰ τοῦ δ· ὡς τὸ φράζω· ἔφραδον. ἀλλὰ διὰ τοῦ κ. ὅτι δὲ ἔστι τὸ κρίζω ῥῆμα· δῆλον ἐκ τῶν κινημάτων. ὁ γὰρ ποιητής φησιν· ὡς αἱ κεκριγυῖα. καὶ ῥηματικὸν ὄνομα κριγή· ὥσπερ Ἱππώνακτι. οἷον· κριγὴ δὲ νεκρῶν ἄγγελός τε καὶ κῆρυξ. σχηματίζει δὲ τὸ κρίζω ὁ Ἡρωδιανὸς, οὕτως· ἔστι μονοσύλλαβον ῥῆμα κρῶ· ἀφ' οὗ τὸ κράζω. καὶ ἕτερον ῥῆμα κράζω. ἀπὸ δὲ τοῦ κράζω· γίνεται κρίζω. ὡς στάζω· στίζω.

σεβάζω· σεβίζω· τούτου δὲ τοῦ κρίζω ἡμαρτημένον ἀόριστον παραλαμβάνεται. τὸ κρίκε δὲ ζυγόν· ἡμεῖς οὖ φαμὲν αὐτὸν ἡμαρτῆσθαι· ἀλλὰ πεποιῆσθαι ὑπὸ ζήτησιν· σημαίνει δὲ ἐψόφησεν· ἢ ἤχησεν· ποιὸν ἀπετέλεσεν ἦχον.

Κρίκος· παρὰ τὸ κλίνω· ἀποβολὴ τοῦ ε̄ κλίκος· ὁ πάντοθεν περικεκλιμένος· καὶ κρίκος· τοῦ λ̄ εἰς τὸ ρ̄· ὡς ἄλγος· ἀλγαλέος· καὶ ἀργαλέος· ἔστι διότι καὶ ἐν ὑπερθέσει γίνεται κίρκος· ὡς κραδία· βαρύνεται δέ· ἐπειδὴ τὰ εἰς κος· μονογενῆ διαβραχέα βαρύνεται· εἰ δὲ ὀξύνεται· πρὸς ἀντιδιαστολὴν σημαινομένου· ὡς ἔχει τὸ δόκος· τὸ ἐπὶ τῆς δοκήσεως· πρὸς ἀντιδιαστολὴν τοῦ δοκοῦ· σεσημείωται τὸ φανός ὀξυνόμενον· τὸ δὲ φανῆ περισπᾶται. ἀπὸ γὰρ τοῦ φανέα· τὸ δὲ φανός· τριγενές. Ἡρωδιανός.

Κρίμα· σημαίνει δὲ τὸ κλάσμα.

Κρῖος· ἔστι δὲ ὄνομα τιτᾶνος. παρὰ τὸ κηρεῖσθαι· διὰ τοῦ ῑ γράφεται. περισπᾶται δὲ· πρὸς ἀντιδιαστολὴν

τοῦ κριός. ὁ δὲ Ἀρίσταρχος. καὶ τὸ
κύριον ὀξύνει ὁμοίως τῷ προσηγορι-
:κῷ. ἄλλως δὲ διὰ τοῦ ῑ γράφεται
τὸ κρῖος. τὰ γὰρ δισύλλαβα τοῦ
ῖος ἀρσενικά. ἀποστρέφει τὴν διὰ
τῆς ει διφθόγγου γραφήν. οἷον βίος.
χῖος ὁ πολίτης τῆς χίου. δίος ὁ
ἔνδοξος. θεῖος ὄνομα τόπου. κῖος
ὄνομα κύριον. τῖος. ὄνομα κύριον.
ἴος σημαίνει τὸν μόνον. ἰός σημαίνει
τὸ βέλος. καὶ τὸν ἰὸν τοῦ ὄφεως. πῖος
ὄνομα κύριον. κριός. ἔστιν ὅτε καὶ
κρῖος. πρόσκειται ἀρσενικά. διὰ τὸ
νειός ἄρουρα. σημαίνει δὲ τὴν ἀρου-
:μένην γῆν. τοῦτο γὰρ διὰ τῆς ει
διφθόγγου γράφεται. ἀλλ' οὐκ ἔστιν ἀρ-
:σενικόν. ἀλλὰ θηλυκόν. σεσημείω-
:ται διὰ τῆς ει γραφῆς ταῦτα.
θεῖος. κεῖος. σημαίνει τὸν πολίτην
τῆς κέω. πλεῖος. μεῖος. ῥεῖος. λεῖος.
ῥεῖος. οὕτω λέγουσι οἱ κύπριοι τὸν
ἀθηνῆ. παρὰ τὸ ῥεῖα τὸ σημαῖνον
τὸ εὐχερές. χρεῖος παρὰ τὴν χρείαν.
τὸ δελφειός. σημαίνει δὲ τὸν Διόνυσον.

διφορεῖται καὶ διὰ τοῦ ι· καὶ διὰ διφ-
θόγγου.

Κριός· ὥσπερ λέγεται κρείων ὁ βασι-
λεύς· οὕτως καὶ κριὸς ὁ ἐξέχων τῆς
ποίμνης. ὁ δὲ Ἡρωδιανός φησι παρὰ
τὸ κεκρίσθαι τὰς τρίχας. διαφέρουσι
γὰρ αἱ τρίχες τοῦ κριοῦ τῶν ἄλλων.
διὰ τοῦ ι γράφεται· τῷ προειρημέ-
νῳ κανόνι· τοῦ κρῖος. δεῖ δὲ γινώσκειν
ὅτι τὸ κριός· πολλὰ σημαίνει. ἔστι
γὰρ κριὸς ὁ προηγούμενος τῆς ποίμνης
ἔστι δὲ καὶ ὄργανον πολιορκητικόν.
ἔστι δὲ καὶ μέρος πλοίου. ἔστι δὲ καὶ
εἶδος ἐρεβίνθου. ὁ ἐρέβινθος δὲ ἀρσενι-
κῶς λέγεται. τινὲς δὲ λέγουσιν ὅτι
παρὰ τὸ κρέας, κρειός· καὶ κατὰ
συγκοπὴν κριός. οἱ οὐ καλῶς λέγουσιν
εἰ γὰρ ἦν ἀπὸ τοῦ κρέας· κρεαῖος ὤ-
φειλεν εἶναι· ὡς κνέφας· κνεφαῖος.
οὕτω καὶ οὖδας· οὐδαῖος.

Κριτής· ὁ τῆς διαφορᾶς χωριστικός.
κρῖναι γὰρ τὸ διαχωρίσαι· καὶ διακρῖ-
ναι· ὅθεν καὶ ἀκριτόμυθος· ὁ ἄκριτα
λέγων καὶ διαχώριστα· καὶ μὴ διακρῖναι

τὰ λεγόμενα ὅσον

Θρεβιτ' ἄκει τὸ μυθε—

Κροαίνειν· φησὶν Ἀριστοφάνης· τὸ τοῖς ποσὶ κροτεῖν καὶ σκιρτᾶν· παρὰ τὸ κροτῶ, κροταίνω· ἀποβολῇ τοῦ τ κροαίνω· ἢ παρὰ τὸ κρούω, κρουαίνω καὶ κροαίνω. β

Κροκόδειλος· παρὰ τὸ δειλὸς καὶ τὸ κρόκος, γέγονε κροκόδειλος· καὶ γὰρ ὁ χερσαῖος κροκόδειλος φοβεῖται τὸν κρόκον· ὅθεν οἱ μελιττουργοὶ ἐπειδὴ ἀνέρχεται καὶ ἐσθίει τὸ μέλι, ἐπιτιθέασιν ἔξω κρόκον· ὅνπερ ὁρῶν φεύγει. ὁ δὲ θαλάττιος παρὰ τὸ δειλαίνεσθαι τὰς κρόκας, ὃ σημαίνει τοὺς αἰγιαλούς· οἱονεὶ ὁ περὶ τὴν γῆς δειλός. ὁ δὲ κροκόδειλος ζώδιόν ἐστι μικρόν. καὶ ἡ χερῦδις παρὰ Ἱππώνακτι.

Κρόκος· παρὰ τὸ ἐν τῷ κρύει ἔχειν τὴν αὔξησιν· οἱονεὶ κρυοκός τις ὤν. οὕτως εὗρον ἐν ὑπομνήματι Ἰλιάδος Ἀριστονίκου.

Κροκύφαντος· ὅτι διὰ κρόκης ὑφαίνεται· οἱ δὲ Ἀττικοὶ κεκρύφανον αὐτὸν καλοῦσιν· ὅτι κρύπτει τὸν φαλόν· ὅ ἐστιν ἐξοχὴ κεφαλῆς.

Κρόκαλα. ἠχή.

— πολυκροκάλοιο παρ' ἀνδήροισι νεμείης.
κρόκαλα λέγονται αἱ ψῆφοι τῶν ποτα-
μῶν ἀπὸ τοῦ κροτεῖν καὶ ψοφεῖν.
νεμέα ποτ' ἐνάεσκε παρ' ἀνδήροις.
τοῖς τοῦ ποταμοῦ ἀναχώμασι.

Κρόμμυον· παρὰ τὸ κόρας μύειν τῶν
ἐσθιόντων ἀπὸ τὸ δριμὺ γάρ. οὕτως Ἡρα-
κλείδης.

Κρόκη· παρὰ τὸν κρούσω μέλλοντα.
ἀποβολῇ τοῦ σ γέγονεν. ἢ τὸ κρού-
εσθαι διόλου παρηκολουθηκέναι.

Κρόνιος. λόφος. ἀπὸ τοῦ κρόνου.
ὅτῳ προσαγορεύεται ὄρος.

Κρονίδης· παρὰ τὸ κρόνος. κρονίδης.
τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιδης γι-
νόμενα διὰ τοῦ ι γράφεται. οἷον κρό-
νος κρονίδης. ὅμηρος. ὁμηρίδης. πρί-
αμος. πριαμίδης. χωρὶς τοῦ κύθνος.
κυθνείδης. ἔστι δὲ ὄνομα κύριον. και-
ροβοκός.

Κρόσσας· οἱ μὲν φασὶ κεφαλίδας τοῦ
τείχους σημαίνειν. ἄλλοι δὲ τοὺς
προμαχῶνας. Ἀρίσταρχος δὲ κλίμακας
τινάς. ἢ ὄργανα τινὰ πρὸς τειχομαχίαν

ἐπιτήδεια· οἳ καὶ τὰς προκρόσσας
κλιμακίδας· ἄλλοι δὲ τὰ ἀποκρε-
μάσματα· καὶ γὰρ κροσσοὺς τὰ ἄκρα
τῶν ἱματίων λέγομεν· ὃ καὶ βέλτιον.
οἷον εἰ κροσσούς τινας ὄντας παρὰ
τὴν κόρσην τὴν κεφαλήν· ἡ μεταφο-
ρὰ ἀπὸ τῶν προκαμπ^χ^· κατὰ με-
τάθεσιν τοῦ ε κρόσσας. οὕτω Φιλόξε-
νος. ἐν τῷ περὶ Ἰάδος διαλέκτου.
τὸ δὲ τῆς κλίμακος ὄνομα· οὐ γινώσ-
κει Ὅμηρος· οὐδέπω γὰρ ἦν τὰ πολε-
μικὰ ὄργανα καὶ ταῦτα μὲν ὁ Ὡρείων.
ἐγὼ δὲ εὗρον χόλκιον πάλιν κείμενον
ὑπόνοιαν παρέχουμοι· ἵνα σημαίνῃ
καὶ τὰς κλίμακας καὶ τὰ ἐξέχοντα
τοῖς τείχεσιν. ἔχει δὲ οὕτως· ὅτι
εἰ μὲν συστέλλομεν εἰς τὸν μον·
σωδεσμόνι γένοιτο ἄν.

κρόσσας μὲν πύργων ἔρυον. —
οἷον ἐπὶ τοὺς πύργους τὰς κλίμακας
εἷλκον· εἰ δὲ σωάπτοιμεν· οἷον

κρόσσας μὲν πύργων ἔρυον —
τὰς ἐξοχάς φησί· περὶ ὧν ἐν τοῖς
περὶ ναυστάθμου διαλέγεται· στήλας
δὲ προβλῆτας· ἀντὶ τοὺς προκατα-
βεβλημένους θεμελίους·

Κρόταφοι· κυρίως μὲν ἡ λέξις· ἐπὶ τῶν ζώων· τῶν κρεατοφόρων· διὰ τὸ ἐξ αὐτῶν τῶν μερῶν φύεσθαι τὰ κέρατα. οἱονεὶ κρεατοφόροι τινὲς ὄντες· ἢ ὅτι κρούουσι τὴν ἀφθὼ παλλόμενοι· οἷον κρόταφοι· ὡς δὲ Ἀπολλόδωρος· ὅτι συγκεκρότηνται ἀμφοτέρωθεν· ὁ δὲ Ἀππίων· ὅτι τοῦ κρόσου ἅπτονται· τουτέστι τῆς κεφαλῆς· ἤτοι ὠρίων·

Κρότων· ὁ φθεὶρ ἀπὸ τοῦ κρατεῖν οὓς ἂν ἐμφύῃ. ὁ δὲ ὧρος· βοτάνης ὄνομα λέγει· διὰ τὸ ἀάζειν αὐτοῦ τὸ σπέρμα διατριβόμενον· ἐν τοῖς δακτύλοις ὁμοίως τῷ ζώῳ· διὰ τοῦτο κροτάφων ἐκλήθη· ἔστι δὲ καὶ ὄνομα πόλεως· παρ' αὐτὸ ἀπὸ τοῦ κρότωνος τινός· ὅστις ὑφηρακλέους ἀνῃρέθη·

Κρούζω κρυβδζω· ἀφαιρέσει τοῦ β. καὶ κράσει τῶν στοιχείων. κρούζω.

Κρουνῶν· ῥευμάτων· ἔστι ῥῆμα κρῶ μονοσύλλαβον· ὅπερ γίνεται ἀπὸ τοῦ κρέω· κρῶ· ἐκ τούτου γίνεται κρουνὸς καὶ κρουνὼς.

Κροῦω· ἔστι ῥῆμα κρῶ· παράγωγον
κρόω· καὶ πλεονασμῷ τοῦ υ κρούω.
ὡς ὄρω· ὀρόω· καὶ ὀρούω· κυρίως
δὲ τὸ κρούειν· ἐπὶ τῶν κερατοφό-
ρων λέγεται· κορούειν γὰρ τὸ τοῖς
κέρασι παίειν· καὶ κατὰ συγκοπὴν
κρούειν· τοῦ Φιλοξένου

Κρύερου· φοβεροῦ. καὶ κρυόεντος· φρικτοῦ
φοβεροῦ· συμβαίνει γὰρ τοὺς φοβου-
μένους συγκρούειν.

Κρυόεσσα· φρικτή· φοβερά· ἢ ψυχροποιός· ἀφ' οὗ ἡ νεκροποιός· ἀπὸ τοῦ
κρύος· κρυόεις καὶ κρυόεσσα.

Κρυμός· παρὰ τὸ κρύπτω· κρυμμός
ἀποβολῇ τοῦ μ κρυμός· κρυμὸς δὲ
ὀνομάζεται αὐτὸ τὸ πάγος· ὃ ἐπι-
κρυπτόμεθα· χειμερίου γὰρ καιροῦ
τὸ πάθος.

Κρύος· παρὰ τὴν γινομένην κροῦσιν
τῶν ὀδόντων ἐν τῷ ψύχει· κρόσος
καὶ κρύος.

Κρωσσός· ὑδρία· ἤτοι ἄγγος· ἄλλο τις
τὸ ἐπιχεῖν ὕδωρ· παρὰ τὸ κρώω
τὸ ἐπιχέω· τοῦτο δὲ γέγονε παρὰ
τὸ κερῶ κατὰ συγκοπὴν κρῶ· οἷον

— κέρασσε δὲ νέκταρ

ἀντὶ τοῦ ἐπέχεεν. οὐ γὰρ ὕδατι κιρ-

β νᾶται τὸ νέκταρ. καὶ παρ' Αἰσχύλῳ

κροκεὰς αἱ σπονδαὶ λέγονται, τουτέστιν

αἱ κροσὶ ἐκχυθεῖσαι.

τὸ Κ μετὰ τοῦ Τ.

Κτεάτισσα· ἐκτησάμην.

Κτάνω· τὸ ἀναιρῶ καὶ φονεύω.

τὸν δὲ κτάμενον παρ' ὄχεσφιν.

Κτείς· τὸ μόριον· ἤγουν τὸ αἰδοῖον.

οἷον

β — ἧδ' οἷσιν ἐπὶ κτενὸς ἔσκον ἔθειραι.

παρὰ τὸ ἐκτείνεσθαι ἐν ταῖς συνουσίαις.

ἐπὶ δὲ τῶν τριχῶν παρὰ τὸ ἐκτεί-

νειν τὰς τρίχας. ἢ κτείνειν τοὺς

φθεῖρας. ἐπὶ δὲ τοῦ δακτυλίου

ἐκτείνεσθαι καὶ ἁπλοῦσθαι.

Κτήνη· κυρίως μὲν τὰ θυόμενα, ὅσα

νόμος σφάζειν καὶ κτείνειν. κατα-

χρηστικῶς δὲ ἐπὶ τῶν τεθυμένων,

καὶ μὴ ἔστω.

Κτῆσιν· τὴν περιουσίαν.

κτῆσιν ἐμήν· δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα.

Κτίλος· ὁ προηγούμενος τῶν προβάτων.

κριός· διονεὶ κίλος τίς ὤν. πλεονασμῷ τοῦ τ̄. παρὰ τὸ κίειν. ὅ ἐστι πορεύεσθαι. οἱ δὲ νεώτεροι τάσσουσι τὴν λέξιν. ἐπὶ τοῦ ἠθισμένου καὶ γεγονότος ἡμέρου ζώου. ἢ ἀπὸ τοῦ ἵκω. ἱκτός. ὡς τάσσω. τακτός. καὶ πλέκω πλεκτός. καὶ ὥσπερ παρὰ τὸ πένθος γίνεται πενθίλος. ναυτίλος. οὕτως οὖν καὶ ἱκτός. ἴκτιλος. καὶ μετὰ τῆς ἀφαιρέσεως τοῦ ι. κτίλος. τὸ μὲν πρῶτον Ὠρίων. τοῦτο δὲ Ἡρωδιανὸς. περὶ παθῶν.

Κτύπος. παρὰ τὸ τύπω. τύπος καὶ πλεονασμῷ τοῦ κ κτύπος. τὰ γὰρ τυπτόμενα ψοφεῖ.

τὸ κ̄. μετὰ τοῦ ῡ.

Κυβερνήτης. ἀναλόγως οἱ Αἰολεῖς κυμερνήτην λέγουσι. παρὰ τὸ ἐρευνᾶν τὰ κύματα. καὶ πρὸς αὐτὰ ἰθύνειν τὴν ναῦν. ἡμεῖς δὲ τροπῇ τοῦ μ̄ εἰς τὸ β̄ κυβερνήτην φαμέν.

Κύβηλιν. σημαίνει δὲ τὸν πέλεκυν.

ἡ ἐτυμολογία. εἰς τὸ κυβέρεον ὄρος.
Κυβιστητὴρ. παρὰ τὸ κύπτω. κύψω.
γίνεται κύβος. ὅθεν καὶ κυφὸς καὶ
ἀμφικύπελλον. καὶ ἐξ αὐτοῦ κυβιστής.
καὶ κυβιστητήρ. τὰ γὰρ ἐπικύψαν
=τα κυλιαθῆναι. κυβιστῆναι ἔλεγον.
β. Λυκόφρον.
Ἄφλαστα καὶ κόρυμβα καὶ κλύδων. θρόνους
Πυκνοὶ κυβιστητῆρες ἐξ ἑδωλίων.
ἄφλαστα καλεῖ. τὸ ἄκρον τῆς νεώς.
κατ' εὐφημισμόν. οἷον τὸ εὔθλαστον.
καὶ κόρυμβα δὲ τὸ αὐτὸ δηλοῖ. καὶ
ἔστιν ἐκ παραλλήλου τὸ αὐτό. ἢ δια
=φέρει ὅτι τὰ μὲν ἄφλαστα. τὰ
πρυμνήσια. τὰ δὲ κόρυμβα πρωρή
=σια.
Κύμβητος. ἀπὸ τοῦ κύψαι. ὅθεν
καὶ κύβος. καὶ κυφὸς. καὶ ἀμφικύ
=πελλον. καὶ ἀμφίκυρτον. καὶ Ῥω
=μαῖοι τὸ ἄγκωμα κύμητον λέγουσι.
καὶ κύμβιον. τὸν σφόνδυλον τοῦ
βοός. κυρτὸς γάρ ἐστι.
Κυβιστᾶν τὸ ἐπὶ κεφαλῆς πηδᾶν.
κύβην γὰρ ἔλεγον τὴν κεφαλήν.

Κυδαίνω· τὸ δοξάζω· ἀπὸ τοῦ κῦδος
κυδαίνω· λέγεται καὶ κυδάνω.

Κυδιάνειραν· ἐνδόξους ἄνδρας ἔχου-
σαν· ἢ ἐνδόξους τοὺς ἄνδρας ποιοῦ-
σαν.

Κυδιόων γαυριῶν· ἐπαιρόμενος ἀ-
πὸ τοῦ κῦδος· κυδῶ· κυδιόω.

Κυδοιμός· ταραχή· θόρυβος· ἢ πό-
λεμος ἀπὸ τοῦ κυεῖν τὸ δέος.
ἢ ἀπὸ τοῦ κινεῖν δεῖμα.

Κυδρός· τίμιος· ἀγαθός· ἀπὸ τοῦ
κῦδος κυδρός.

Κυθέρεια· ἡ ἀφροδίτη παρὰ τὸ κεύ-
θειν τοὺς ἔρωτας· ἢ κεκευθόμενον
ἔχουσα ἐν ἑαυτῇ τὸν ἔρωτα· ἢ
παρὰ τὸ κεύθειν καὶ κρύπτειν τὸ
αἰσχρόν· κρυφαίαν οὖσαν τὴν μίξιν.

Κύθρα· ἀπὸ τοῦ κύτος· κύθος·
καὶ κύθρα.

Κυθρῖσαι· ὅτι τὸ κυθρῖσαι ἐπὶ
τοῦ σκῶψαι καὶ γελᾶσαι κεῖται.
καὶ πανήγυρις ἐστὶ παρὰ Ἀθηναί-
οις· οἱ κύθροι· ἐν ᾗ ἀλλήλους ἔσ-
κωπτον.

Κυκεῶ· ἀποκοπή ἐστιν· κυκεῶνα γὰρ

ἐστὶν ἡ αἰτιατική.

Κυκεὼ. ἡ πόσις. ἀπὸ τοῦ κυκᾶσθαι κυκεῶν τίς ἐστιν· ἀπὸ τοῦ κυκᾶσθαι, πόμα κατασκευασθὲν, παυστικὸν δίψ-ης.

Κύκλα. σημαίνει τοὺς τροχούς. ἔστι ῥῆμα κλῶ. ἐξ οὗ μονοσύλλαβον ὄνομα κλός. καὶ ἐπειδὴ οὐδὲν εἰς ος ὄνομα λήγει μονοσύλλαβον διπλα-σιασμὸν ἀναδεξάμενον. ἐγένετο κύκλος ὡς παρὰ τὸ θῶ. τὸ θηλάζω. γίνεται θός. καὶ ἐπειδὴ οὐκ ἠδύνα-το διπλασιασθῆναι. ἐγένετο τιτθός. ἡ κύκλος λέγεται ὁ ἀνκύλιστος. τὸ δὲ κύκλα ἐγένετο κατὰ μεταπλασ-μόν. ὁ δὲ τοιοῦτος μεταπλασμὸς φυλακτικός ἐστι τῶν αὐτοῦ τόνων. κύκλους. κύκλα. θάρσους. θάρσα. ἐρετμοὺς ἐρετμά. οὕτως Ἡρωδιανὸς ἐν δευτέροις. αὐτοῦ ἐπιμερισμοῖς.

Κύκλῳ. εἴτε ὄνομα. εἴτε ἐπίρρη-μα. σὺν τῷ ι γράφεται. ἔστι γὰρ κύκλος. κύκλου. κύκλῳ. καὶ λοιπὸν αὐταὶ αἱ δογματικαὶ μετερχόμεναι

εἰς ἐπιρρηματικὴν σύνταξιν.
τῆς δοτικῆς τὴν γραφὴν φυλάττει.
οἷον ἰδία. δημοσία. κύκλω στῶμεν.

Κυκλοτερὲς ὡς κύκλον. ἐπειδὴ ἐ-
τείνετο τόξον ὡς κυκλοτερὲς γενέσθαι.

Κύκλωπες. ὡς Ἡσίοδος
Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμοι. οὕνεκα αὐτοῖς
κυκλοτερὴς εἷς ἐνέκειτο μετώπω.
κυκλόωπες καὶ κατὰ συγκοπὴν κύ-
κλωπες.

Κυκνίτης. εἰς τὸ κολοιός.

Κύλιξ. ἀπὸ τοῦ κύκλος. κύκλιξ καὶ
κύλιξ.

Κύλλαρις. ἵππος κάστορος. παρὰ τὸ
κέλλειν ὁ ταχὺς Στησίχορος β.

Κυλίω. παρὰ τὸ ἄλω. τὸ πλανῶ.
ἀλίω. καλίω. καὶ κυλίω. ἢ κινῶ. κι-
νδῶ. καὶ κυλίω.

Κυλινδόμενος. περὶ χαλκῶ κυλιό-
μενος. παρὰ τῶ σιδήρω τῶν ἐπι-
σώτρων. ὅ ἐστι τῶν κανθῶν.

Κύμβαλα. παρὰ τὸ κύφον. κυφαλά-
τινα ὄντα.

Κύματι κωφῶ. τὸ δίχα ἀνέμου

ἐπαιρομένῳ· τῷ ἀφρῷ. ἀνεῷ γὰρ
ἀνέμου τὸ κῦμα ἤγερται. κῦμα
δὲ παρὰ τὸ κύω· τὸ κυόμενον.

Κύμινδις: ὄρνεον. οἱονεὶ κεύμιν-
-δις. κεύπτει γὰρ ἑαυτῆς τὴν κεφα-
-λήν. εἰς τὰς συρράγας τῶν δέν-
-δρων καταδύνουσα. ἢ διὰ τὴν τῆς
φωνῆς ὁμοιότητα. ταύτης ἔτυχε
τῆς ὀνομασίας.

Κυνεὸς πικρ ἐών· καὶ πικρ ἀσελγὴς
καὶ ἀναιδὴς ὑπάρχων.

Κυνοραϊστέον. κροτώνων. ῥαίουσι
γὰρ τοὺς κύνας πίνοντες τὸ αἷμα
αὐτῶν.

Κύντερον. παρὰ τὴν κυνὸς γενικήν.
γίνεται κυνότερον. καὶ συγκριτι-
-κὸν κύντερον. οἱονεὶ χαλεπώτερον.
ὡς μέλανος. μελανότερον. καὶ με-
-λάντερον.

Κύπελον. ἔκπωμα. ποτήριον.
παρὰ τὸ κύφον κύφελον. καὶ κύ-
-πελον. ἢ κύπελον. ἔνθα ὁ πηλὸς
ἤτοι ὁ οἶνος κεῖται.

Κύπρις. ἡ ἀφροδίτη. ἢ τὸ κύειν

παράκουσα. ἢ ὅτι ἐν κύπρῳ τι-
μᾶται.

Κύπερος. παρὰ τὸ κουφόγεον. καὶ λιπαρὰν γῆν ἔχειν.

Κύρημα. ἐπιτύχημα. εὕρημα. παρὰ τὸ κυρῶ τὸ ἐπιτυγχάνω.

Κυρτὸν σημαίνει τὸν παρ᾽ ἡμῖν λεγόμενον κυρτόν. σημαίνει δὲ καὶ τὸ μετέωρον. καὶ ὑψηλόν. τὸ μὲν ἀπὸ τοῦ κύπτω. τὸ δὲ ἀπὸ τοῦ κύειν. εἰς ὕψος. ἤτοι ἐπαίρεσθαι.

Κύστις. ἀπὸ τοῦ κύειν εἰς ὕψος. σημαίνει δὲ τὸ οὐροδόχον ἀγγεῖον.

Κυψέλη. πλεκτὸν ἀγγεῖον. λέγεται δὲ καὶ τὸ κοῖλον τοῦ ὠτίου διὰ τὸ κυφόν. τὸ γὰρ κογχοειδές. καὶ τοῖς ἀγγείοις ἐοικέναι. καὶ κυψελὶς ὁ ῥύπος. ὁ ἐν τῷ ὠτίῳ.

Κύων. ἐπὶ μὲν τοῦ ἀλόγου ζώου ἀπὸ τοῦ κινεῖν καὶ σαίνειν ἢ παρὰ τὸ ὀξεῖ εἶναι τὸ ζῶον. κατὰ μετάθεσιν τῶν στοιχείων.

Κῶας. εἰς τὸ κώδιον. οἷον. κῶας ἄγειν κριοῖο μεμαῶτ. ὧδε δὲ εἶπεν.

κώδιον· ζώδιον· λαγώδιον· δεῖ γι-
νώσκειν, ὅτι ζώδιον καὶ κώδιον·
εὐλόγως ἔχουσι τὸ ῑ· τὸ δὲ λαγώ-
διον παραλόγως· ἔστι γὰρ ζοιά,
ζοιᾶς· ἐπειδὴ ἡ τελευταία συλ-
λαβὴ τῆς γενικῆς· τοῦ πρωτοτύ-
που ἀπὸ φωνήεντος ἄρχεται·
τούτου χάριν διὰ τοῦ διον ἐγένετο
ἡ παραγωγὴ καὶ γίνεται ζοιδίον·
ὡς γραφεῖον γραφείδιον· καὶ κατ'
ἔκτασιν τοῦ ο εἰς ω· ζώδιον,
καὶ ἔχει τὸ ῑ· τὸ δὲ κώδιον, ση-
μαίνει τὸ τοῦ προβάτου δέρμα·
παρὰ τὸ ἐπ' αὐτῷ κοιμᾶσθαι· πα-
ρὰ τὸ κῶ· τὸ σημαῖνον τὸ κοιμῶ-
μαι· ἀφ' οὗ καὶ κείω καὶ κῶμα· ὁ
ὕπνος· ὡς Ἡσίοδος·

——— κακὸν δ' ἐπὶ κῶμα καλύπτει·

καὶ κῶς ῥηματικὸν ὄνομα· τοῦτο
δὲ τὸ κῶς· γίνεται καὶ κῶας· κα-
τὰ πλεονασμόν· ὥσπερ οὖς· ὠτὸς
ὦας· οἱ γὰρ Ἀττικοὶ οὖς φασίν· οἱ
δὲ ποιηταὶ ὦας· καὶ ἐπειδὴ τοῦ

κῶας κώατος. ἡ τελευταία συλλαβὴ
τῆς γενικῆς τοῦ πρωτοτύπου
ἀπὸ φωνήεντος ἄρχεται. γίνεται
διὰ τοῦ ιδιον ἡ παραγωγή. κωα-
τίδιον καὶ συγκοπῇ τοῦ ατ κῴ-
διον. καὶ συναιρέσει κῷδιον. τὸ
δὲ λαγῴδιον. οὐκ ὤφειλεν ἔχειν
τὸ ι. εἴτε ἀπὸ τοῦ λαγωός. λαγω-
οῦ γέγονεν. ὤφειλεν εἶναι χωρὶς
τοῦ ι. ἐπειδὴ ἡ τελευταία συλ-
λαβὴ τῆς γενικῆς τοῦ πρωτο-
τύπου ἀπὸ φωνήεντος ἄρχεται.
καὶ διὰ τοῦ ιδιον γίνεται παρα-
γωγή. ἀλλ' ἔστιν εἰπεῖν. ὅτι ἀπὸ
τοῦ λαγωός λαγωοῦ γέγονε λαγωΐ-
διον καὶ ἔχει τὸ ι. κατὰ συνεκδρο-
μὴν τοῦ κωΐδιον. καὶ ζωΐδιον.
συνεξέδραμε τούτοις καὶ τὸ καλω-
διον. καὶ ἔχει τὸ ι. προσγεγραμ-
μένον. σημαίνει δὲ τὸ σχοινίον.
Κώληψ. σημαίνει τὸν ἀστράγαλον.
Κῶλα. κυρίως ἐπὶ τῶν μελοποιῶν
μεταφορικῶς δὲ ἐπὶ τῶν πεζολόγων.

κώλοις καὶ χρωμένων.

Κώθωνες· νῦν, ὑβρίζοντες τὴν λέξιν ἔλεγον. Διόδωρος δὲ λέγει. ὅτι διὰ μέθην. οὕτως ἐκλήθη. κώθων γὰρ εἶδος ποτηρίου.

Κωκύματα. πένθη στενάγματα παρὰ τὸ κωκυτός κωκύω. κώκυμα.

Κωκυτός. ἀπὸ τοῦ τὰ ἀχεῖς αὐτοῦ χωραχυτός. κωκυτός. ὁ δὲ κωκυτός φωνῆς ἐστι μίμημα. λέγεται δὲ καὶ ἀλίβαντα πάλιν τινὰ εἶναι. ἀπὸ τοῦ τὰ ἅπαντα καταξηραίνειν, καὶ μηδὲ λιβάδα ἔχειν.

Κῶμα. ὁ ὕπνος. παρὰ τὸ κῶ τὸ κοιμῶμαι. γίνεται κῶμα. ἐξ οὗ καὶ κείω.

Κωμάζειν. τὸ ποιῶς ὀρχεῖσθαι. ἐξ οὗ καὶ κῶμος. εἶδος ὀρχήσεως. οἱ δὲ μᾶλλον παρὰ τὸ κῶ. τὸ κοιμῶμαι. ἐμφαίνει γὰρ τὸν ἀπὸ δείπνου καὶ τῆς μέθης ἐπὶ τὸ κοιμηθῆναι βαδίζειν καιρὸν καὶ τὸ κωμάζειν

Κώμη παρὰ τὸ κῶ τὸ κοιμῶμαι· κωθω. καὶ κώμη. ὡς ἂν εἴποι τις κοιμητήρια καὶ ἀνάπαυσις ζώων τε καὶ ἀνθρώπων. ἀπὸ τῶν ἀγρῶν.

Κῶμος· ἐστὶ μεθυστικὸς αὐλός· ἐγχρονίζων τοῖς οἴνοις καὶ κυμβάλοις· καὶ αὐλοῖς· καὶ θέλγων τοὺς δαιτυμόνας.

Κῷος· σὺν τῷ ι· γράφεται· ἐπειδὴ εὕρηται κατὰ διάστασιν· καλλίμαχος· τὸ ι .. .. τὸ γράμμα τὸ κώϊον· ἢ ὅτι τὰ εἰς ος κτητικὰ· τῷ ι θέλουσι παραλήγεσθαι· ἢ τοῦ ω· χωρὶς τοῦ θηλυκός. λιβυκὸς· ἀλυκός· καὶ ἀλυκὸς μὲν· ὁ τῆς θαλάσσης· θηλυκὸς δὲ· ὁ τοῦ θήλεως. λιβυκὸς δὲ· ὁ τῆς λιβύης· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα. ξενοφόντειος· ἡροδότειος· Ἀρισάρχειος· θηβαϊκός· ῥωμαϊκός· πατρῷος· μίκῳος· ἥρῳος· ἔτι ὡς ὤω καὶ κῷος.

Κώπη ἡ λαβὴ τοῦ ξίφους· ἢ κόπτειν δυνάμεθα· παρὰ τὸ κόπτω· κοπή· ἀναβιβασμῷ καὶ τροπῇ κώπη· καὶ ἡ τῶν ἐρετῶν· κώπη λέγεται· παρὰ τὸ κόπτειν τὸ ὕδωρ.

Κωπήεντα· μελάνδετα· σιδηρόεντα· ἢ μέλανας λαβὰς ἔχοντα· ἐστι γὰρ ἡ λαβὴ· δεσμὸς τῆς τοῦ ξίφους.

Κῶς· ἡ νῆσος· ἣν φασιν ἀπὸ τοῦ κῶ ὀνομάζεσθαι· ἥτις ἦν θυγάτηρ μέροπος· καὶ ἐχημείας.

Κωτίλλος· ὄρνεον οὕτω καλούμενον· ἀφ' οὗ καὶ οἱ πολλὰ λαλοῦντες κωτίλλοι καλοῦνται.

Κωτίλλων· πανοῦργος· κολακεύων καὶ λέγεται ἀπὸ τινὸς ὀρνέου· οὕτω καλουμένου· ἀφ' οὗ καὶ οἱ παραλαλοῦντες καὶ κολακεύοντες· κωτίλλοι λέγονται.

Κωφὸς παρὰ τὸ κεκῶφθαι τὴν ὄπα· ἢ κενοπός τις ὤν· ὁ μήτε φθεγγόμενος· μήτε ἀκούων· ἁρμόζει δὲ τὸ σύμφωνον τῆς λέξεως· ὡς πρὸς ἄφωνον· οἷον καὶ κωφοῦ συνίημι· καὶ οὐ λαλέοντος ἀκούω. διαφέρει δὲ ὅτι τὸ κωφὸς· ὁ παντελὴς κενοπός· οὐ λαλέοντος δέ· τὸν δυνάμενον λαλεῖν· οὐ λαλοῦντα δέ.

Κραιπάλη· παρὰ τὸ κάρα· καὶ τὸ πάλλω τὸ κινῶ· καραπάλη· καὶ πλεονασμῷ τοῦ ι κραιπάλη· ἐξ οὗ καὶ κραιπαλῶ ῥῆμα· δευτέρας συζυγίας τῶν περισπωμένων. μέθη γὰρ λέγεται ἡ διὰ τοῦ οἴνου γινομένη οἴνωσις. κραιπάλη δὲ ἡ χθεσινὴ μέθη.

Καταργῶ σημαίνει δὲ τὸ ἀποπαύω καὶ πληρῶ· κατηργήθη γὰρ ὁ νόμος· ἀντὶ τοῦ ἀπεπαύθη· καὶ γίνεται ἀπὸ τῆς κατὰ προθέσεως καὶ τοῦ ἀργῶ· τοῦτο ἐκ τοῦ ἀργός· ὃ σημαίνει τὸν ἄπρακτον· τοῦτο παρὰ τὸ ἄεργος· καὶ κατὰ συγκοπὴν ἀργός.

# Ἀρχὴ τοῦ Λ στοιχείου

## τὸ λ μετὰ τοῦ α.

Λαγωὸς· παρὰ τὸ ὦς ὠτός· καὶ τοῦ λα· ἐπιτατικοῦ μορίου· ὁ μεγάλα ὦτα ἔχων.

Λαπιδορχάς· ὁ μεγάλους ὄρχεις ἔχων. Ἀριστοκράτης δὲ οὕτω διεβάλλετο. β

Λειρόφθαλμος· εἰ μὲν σημαίνει τὸν προσηνῆ διὰ τῆς ει διφθόγγου γράφεται. παρὰ τὸ λείριον· ὁ σημαίνει τὸ ἄνθος. εἰ δὲ τὸν ἀναιδῆ· διὰ τοῦ ι· παρὰ τὸ λίρος γάρ ἐστι· τοῦτο δὲ παρὰ τὸ λίαν ὁρᾶν. λέγει δὲ ὦρος. ὅτι οὐ τῶν ἀνθῶν δεῖ λέγειν, ἀλλὰ τῶν ἀνθέων· διὰ τὴν συνέμπτωσιν τῶν ἀνθῶν ἐπίρρημα, ὅπερ ἐκ τῆς ἄντι προθέσεως καὶ τοῦ ὢν ὑποτακτικοῦ ἄρθρου γίνεται.

Λογγῶνες ἐν συρακούσαις λιμένες εἰσι διπλοί λογγῶνες. λογγῶνες δὲ καλοῦνται, οἱ ἐπὶ τῶν λιμένων τρεπτοί

οὓς τετυπῶσιν· ἵν' ἐξαρτῶσιν ἐξ αὐτῶν τὰ σχοινία τῶν νεῶν· τοὺς δὲ τοιούτους λίθους καὶ λογγάβια ἔλεγον.

Λογεῖον· σημαίνει δὲ εἶδος κρατῆρος, καὶ τὸν τόπον τοῦ θεάτρου· ὥσπερ γὰρ ἀπὸ τοῦ αἰδῶ αἰδεῖον· κείρω· κειρεῖον· σκάφω· σκαφεῖον· γράφω· γραφεῖον· οὕτως οὖν καὶ ἀπὸ τοῦ λέγω λογεῖον· διὰ διφθόγγου· καὶ γὰρ τὰ ἀπὸ τῶν εἰς ω ῥημάτων· διὰ τοῦ εῖον παραγόμενα· καὶ περισπᾶται καὶ διὰ τῆς ει διφθόγγου γράφεται. οἷον αἰδῶ αἰδεῖον· ἄγω ἀγγεῖον· οὕτως οὖν καὶ λέγω λογεῖον· Χοιροβοσκοῦ.

Λέγω τὸ ὁρίζω· ἐξ οὗ καὶ λόγος· ὁ ὁρισμός· λέγω τὸ καλῶ· ἐξ οὗ λόγος· λέγω τὸ μετρῶ· ἐξ οὗ καὶ ὡρολογεῖον. λέγω τὸ κοιμῶμαι· ἐξ οὗ καὶ λόχος ἡ κοίτη· καὶ λέκτρον· λέγω τὸ συνάγω· ἐξ οὗ σύλλογος· καὶ εἰς τὸ ἀλεγίζω· λόγος· καὶ παλλίλογα. Γ:

Λάρισσα· ἔστι δὲ πόλις διὰ τοῦ ι γράφεται· τὰ γὰρ διὰ τοῦ ισα μὴ ὄντα

ἀπὸ ῥημάτων ἔχοντα τὴν ει δίφθογ-
γον. ἀποστρέφονται αὐτήν. οἷον
σάρισσα. ἔστι δὲ εἶδος ἀκοντίου μι-
κροῦ. πίσα ἐστὶ δὲ πόλις ἤλιδος.
οὕτω καὶ λάρισσα.

Λειχανὸς ὁ δάκτυλος. ἐκ τοῦ λείχω
ῥήματος

Λευγάτον. πεκούλιον ἐκ τοῦ λευγάρε-
ται. ἤγουν δεσμεύεται. διὰ γὰρ τοῦτο
ἐπὶ ἱκανὰ δουλεύει ὁ ληψόμενος.

Λεγεῶν. ἀνδρῶν ἑξακοσίων.

Λειπόνεως. ἐκ τοῦ λείπω. καὶ τοῦ
νεώς. ὁ καταλειφθεὶς τῆς νεώς.

Λειβὴ καὶ λειβαί. ἀντὶ τοῦ σπον-
δαί. εἴρηται δὲ παρὰ τὸ λείβειν καὶ
στάζειν, καὶ σπένδειν.

Λεῖος. ἐκ τοῦ λεαίνω τὸ ὁμαλίζω.

Λείριον τὸ ἄνθος. καὶ λειρίων τῶν
ἀνθῶν. λέγει δὲ. ὁ ὦρος οὕτως. ὅτι
οὐ δεῖ λέγειν τῶν ἀνθῶν ἀλλὰ τῶν
ἀνθέων. διὰ τὴν συνέμπτωσιν τοῦ
ἀνθῶν. ἀπὸ γὰρ τῆς ἀντὶ προθέσε-
ως. καὶ τοῦ ὢν ὑποτακτικοῦ ἄρθρου.

Λεῖκνον δὲ τὸ πτυάριον. διαφορεῖται
κατὰ τὴν γραφήν. καὶ γὰρ διὰ τῆς ει

διφθόγγου καὶ διὰ τοῦ ῑ. εἰ μὲν γὰρ διὰ
τῆς ει διφθόγγου γράφεται. σχηματί-
ζεται τρόπῳ τοιούτῳ. κατὰ λέχος ἐκ
τούτου γίνεται λέχω. λέχμον. καὶ πλε-
ονασμῷ τοῦ ι λεῖχνον. καὶ γὰρ οἱ ἀρ-
χαῖοι αὐτοῖς ἐν πλυαρίοις ἐποιοῦν
τοὺς οἰκείους υἱεῖς καθεύδειν διὰ τὸ πο-
λύγονον. εἰ δὲ γράφεται διὰ τοῦ ῑ.
ἔστι λικμᾶν ἐκ τούτου γίνεται λίκμον.
κατὰ μεταβολὴν τοῦ μ̄ εἰς ν̄. λίκνον.
τὸ δὲ λικμᾶν διὰ τοῦ ι γράφεται. ἔστι
δὲ παρὰ τὸ λίαν καμνεῖν.

Λεδοῦν. διὰ τὸ λίαν ἡδὺ ὄν.

Λεηλατῶ. εἰς τὸ ἐληλάτουν.

Λεῖα. εἰς τὸ λειμών.

Λειανῶ. εἰς τὸ λέντιον.

Λείνδην εἰς τὸ παραβλήδην.

Λείβω. εἰς τὸ λειμ(ών).

Λειμών. ὁ παράδεισος. διὰ τῆς ει
διφθόγγου γράφεται. παρὰ τὸ λείβω
τὸ καταστάζω. λειβὼν καὶ λειμών.
ἔστι δὲ περιεκτικὸν ὥσπερ καὶ τὸ χει-
μών

Λειμών. οἱονεὶ ὅπου τὰ λεῖα κατανέμεται
τουτέστι τὰ πρόβατα.

Λειόβωτος· εἶδος ἰχθύος· παρὰ τὸ
λεῖον.

Λεῖον εἰς τὸ λείριον.

Λεῖος παρὰ τὸ λεώς. ὃ σημαίνει τὴν
λεωφόρον ὁδόν. ἀναδόσει τοῦ τόνου
καὶ πλεονασμῷ τοῦ ῑ. λεῖος. ὁ
ὁμαλός.

Λείπω. εἰς τὸ γωλεμέως.

Λείριον τὸ ἄνθος. παρὰ τὸ λεῖον ὃ
σημαίνει τὸ ὁμαλόν. λεῖον καὶ πλε-
ονασμῷ τοῦ ρ̄ λείριον. ὥσπερ ἔγχος
ἔγχει. ἐγχείδιον. καὶ ἐν πλεονασ-
μῷ τοῦ ρ̄ ἐγχειρίδιον. ἐξ οὗ καὶ
ποδαλείριος ὁ ποδῶν ἰατρός.

Λειτουργεῖν. ἀπὸ τοῦ ἔργου. καὶ τοῦ
λήϊτον. ἤτοι τὸ δημόσιον. γέγονε
ληϊτουργεῖν. καὶ κατὰ συστολὴν τοῦ
η̄ εἰς τὸ ε̄. λειτουργεῖν. καὶ κατὰ
συναίρεσιν τοῦ ε̄. καὶ ῑ. εἰς τὴν ει
δίφθογγον λειτουργεῖν.

Λειτουργεῖν διὰ τῆς ει διφθόγγου.
παρὰ τὸ λήϊτειν, τὸ ὑπηρετεῖν.
ἔστιν ἐπὶ τῷ λήϊτῳ λεγόμενος. λήϊ-
τον δὲ τὸ δημόσιον.

Λειτουργία. δουλεία. θεραπεία.

Λειτουργός. ὁ τοῖς διοικηταῖς ὑπουργῶν. καὶ διακονῶν. τὸ γὰρ πρυτανεῖον ἤγουν δημόσιον. λήϊτον ἐκαλεῖτο.

Λείμαξ. λείμακος. ὅπερ αὐτὸ ὑποκοριστικὸν τοῦ λειμῶνος.

Ληΐτω τὸ λειτουργῶ.

Λειχὴν διὰ τῆς ει διφθόγγου. παρὰ τὸ λείχω γέγονε· καὶ γὰρ φασὶν ἐκ τοῦ λείχειν τὸ πάθος ἐπαίρεται. ἢ παρὰ τὸ λεῖον. κατὰ ἀντίφρασιν· οἱονεὶ τὸ μὴ ὂν λεῖον.

Λείχω. τὸ κατεσθίω. ὡς τὸ χόλῳ ἐξέλειξε τὸ πῦρ. τὸ λει δίφθογγον. ἀντιπαράκειται γὰρ αὐτῷ τὸ τραπεζόλοιχος.

Λείψανον. ἢ παρὰ τὸ λείβω λείψω. γέγονε. καὶ γὰρ ἔσπενδον ἐπὶ τῶν τεθνεώτων. ἢ παρὰ τὸ λείπω. λείψω γέγονε. λείψανα γὰρ εἰσὶ τὰ ἐγκαταλείμματα.

Λείψανον τὸ σῶμα. τὸ λει δίφθογγου. ἐκ τοῦ λείπω τὸ καταλιμπάνω

Λειψύδριον ὄρος.

Λεκάνη· εἰς τὸ χάσμα λείου ἐστί. πεπλάτυνται γάρ· λειοχάνη τις οὖσα.

Λεκτίκιον· παρὰ τὸ λέκτος· τὸ σημαῖνον τὴν καίτην· κιβώριον ἐκ ξύλων. ὃ ἔχουσιν αἱ παρθένοι πρὸς τὸ καλύπτεσθαι αὐτάς. κοίτην

Λεκτόν· ἀκρωτήριον τῆς Ἴδης κεκλημένον· ἀπὸ τοῦ ἐν αὐτῷ κατακλιθῆναι· Δία καὶ Ἥραν· τρία δὲ τὰ πάντα ἀκρωτήρια τῆς Ἴδης λεκτόν· γάργαρον· φαλάκρη.

Λείπω διὰ τῆς ει διφθόγγου γράφεται· ἀντιπαράκειται γὰρ αὐτῷ τὸ λέλοιπα. λέγει δὲ ὁ Ὦρος. ὅτι πάντα τὰ παρὰ τὸ λείπω. διὰ τῆς ει διφθόγγου γράφεται. οἷον λειποστράτιωτος. λειποταξία. λειποστράτιον. ὁ δὲ Ὠριγένης διὰ τοῦ ι. οἷον _ _ _ _

Λειποταξία. ἐκ τοῦ λείπω καὶ τοῦ τάξις. ὁ φεύγων ἐκ τῆς τάξεως

Λειψυδρία· ἐκ τοῦ λείπω τὸ καταλιμπάνω.

Λέκτρον· πλεονασμῷ τοῦ ε̄ ἀπὸ τοῦ κατακλίνεσθαι καὶ λέγειν εἰς αὐτό.

Λάχανα κοινῶς· ἀπὸ τοῦ λαχαίνεσθαι. ὅ ἐστι κάπτεσθαι. ἤτοι μὲν μετέσχον κεφαλὴν φυτὸν ἀμφελάχαινε. καὶ τὸ νυσον - - ἄπει - - - - ὁ παρακείμενος. οἷον εὐγεῖος. παρὰ τὸ λαχαίνεσθαι δωατὴν γῆν. ἐλέγχεται γὰρ ἀπὸ τῆς ἐπαγωγῆς. παρακεκλιμένος τετάνυστο στόκω

- - - - - - τὰ λάχανα. ὅτι δασέα ἐστὶν ἀπὸ τῆς λάχνης.

Λέκτρα· εἰς τὸ ἠλέκτωρ.

Λελάθη· εἰς τὸ ἀμπελοπόλων.

Λελαχῶς· εἰς τὸ ἀμπεπαλών.

Λέληκα· οὐκ ἀπὸ τοῦ λέγω, ἀλλ' ἀπὸ τοῦ λαλῶ. λαλήσω. λελάληκα. συγκοπῇ τῆς λᾱ συλλαβῆς.

Λέληκται· εἰς τὸ ἄληκτος.

Λέληχα· εἰς τὸ μετειληχότα.

Λελίηκα· εἰς τὸ τιμή.

Λελιμμένου· εἰς τὸ λητοῦ ν̄:

Λελιπαρημένου. ἐστι τὸ θέλημα λιπαρῶ. τὸ παρακαλῶ. ὁ μέλλων λιπαρήσω. λελιπάρηκα. λελιπάρη:μαι λελιπαρημένον. παρὰ τὸ λίαν παρεῖναι. τὸ δὲ λιπαρῶ παρὰ τὸ λιπαρὸς ἐστι.

Λέλουγχα. ἐστι ῥῆμα λήχω. ὅ σημαί:νει τὸ λαγχάνω. οὗ ὁ μέλλων λήξω. ὁ ἐνεργητικὸς παρακείμενος λέλη:χα. καὶ πλεονασμῷ τοῦ υ λέληυχα. καὶ τροπῇ τοῦ ην εἰς ου λέλουγχα. καὶ ὡς τὸ πέπονθα.

Λελουμένη. ἐστι λύω πλεονασμῷ τοῦ ο λούω. λούσω. ὁ παθητικὸς παρα:κείμενος λέλουμαι. καὶ ἡ μετοχὴ λελουμένος.

Λελωβημένη ἐκ τοῦ λαὸς καὶ τοῦ βοῦ γίνεται λαοβῆ.

Λέλυκα. εἰς τὸ λουτρόν.

Λελυμασμένος. βεβλαμμένος. ἐκ τοῦ λυμαίνω τὸ φθείρω. ὁ παρακεί:μενος λελύμαγκα. ὁ παθητικὸς λε:λύμαμμαι. καὶ τροπῇ τοῦ ἀμεταβό:λου εἰς σ. λελυμασμένος. ὥσπερ ἥδυσα. ἥδυγκα. ἥδυμαι καὶ ἥδομαι.

Λέμβος· πλοῖον μικρὸν τὸ ἐφόλκιον. καὶ λεμβαρχοι· οἱ ἐν τῷ ἐφολκίῳ πλέοντες· γίνεται παρὰ τὸ λιβαίνειν ὅ ἐστι πορεύεσθαι διὰ τὴν σμικρότητα.

Λέντιον· παρὰ τὸ λεῖ . . . . .

λεαίνω τὸ καθαίρω· λεανῶ ὁ μέλλων, λελέαται τὸ παθητικόν· τὸ τρίτον τοῦ πληθυντικοῦ παθητικοῦ λελέανται. λεάντιον καὶ συγκοπῇ λέντιον.

Λεαίνω· ἐκ τοῦ λειαίνω καὶ λεαίνω. πόσα σημαίνει· λεαίνω δὲ σημαίνει οἷονεὶ ἀποσπογγίζω· καὶ ἐκμάσσω. τὸ τι τ· τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ διὰ τοῦ τ γράφεται· καὶ προπαροξύνεται· οἷον βαλάντιον. εὐαγγέλιον. λέντιον.

Λέομεν· εἰς τὸ μέλλον.

Λεοντοκόμος. ὁ τῶν λεόντων ἐπιμελούμενος· ἐκ τοῦ κομῶ τὸ ἐπιμελοῦμαι· καὶ τοῦ λέων.

Λέπος εἰς τὸ λέπρα.

Λεπίς· ἐκ τοῦ λέπω.

Λέπρα. σημαίνει τὸν ἐλεφαντιασμόν
παρά τὸ λέπος ὃ σημαίνει τὸ δέρ-
:μα. εἰς γάρ τὴν ἐπιφάνειαν τοῦ
δέρματος γίνεται ὁ ἐλεφαντιασ-
:μός. ἐκ τοῦ οὖν λέπος. γίνεται λέ-
:πυρα καί συγκοπῇ λέπρα. ἢ πα-
:ρά τὸ λέπος καί τὸ ῥαίω. τὸ φθεί-
:ρω. ἡ διεφθαρμένη σάρξ.
Λέπρα. λευκός. παρά φύσιν.
Λεπρός. παρά τὸ λέπω λεπυρός.
ἢ παρά τὸ λέπω τὸ ῥέω. ἡ διερρυη-
:κυῖα σάρξ.
Λεπτός. παρά τὸ λέπος. τοῦτο
παρά τὸ λέπω τὸ λεπίζω. ὁ μέλλων
λέψω. ὁ παρακείμενος λέλεφα. ὁ
παθητικός λέλεμαι. λέλεψαι. λέ-
:λεπται. λεπτός.
Λεπτυσμῷ. παρά τὸ λεπτός.
Λέπυρον εἰς τὸ ἔλεψε.
Λέπω. εἰς τὸ λεπτός καί λόφος.
Λεπρός. παρά τὸ λέπος λεπαρός.
καί ἐν συγκοπῇ λεπρός ῡ.
Λέσχη. σημαίνει τὴν φλυαρίαν.
παρά τὸ λέγω λέξω. λέλεχα. καί

ἐξ αὐτοῦ κατὰ πλεονασμὸν τοῦ
σ λέσχη.

Λέσχη· παρὰ τοῖς Βοιωτοῖς τὰ κοι-
νὰ δειπνητήρια· τινὲς δὲ καταφύ-
για· καὶ τοὺς ἀλεεινοὺς τόπους
λέσχας καλοῦσι· συμβαίνει γὰρ τοὺς
ἐν ταῖς οἰκίαις ταύταις καθεζομέ-
νους χαίρειν θέρμης καὶ λόγους συνεί-
ρειν· γίνεται οὖν ἡ λέσχη· παρὰ τὸ
λέγω, ὁ παρακείμενος λέλεχα καὶ
ἐξ αὐτοῦ λέχη πλεονασμῷ τοῦ σ.
καὶ εἰς τὸ ἀδολεσχία.

Λέσχη· ἡ κάμινος παρὰ Ἡσιόδῳ. ὅ-
μηρος.

Λέσχη δημόσιον οἴκημα· οἱονεὶ λέ-
χη· παρὰ τὸ ἐν αὐτῷ τοὺς μὴ
ἔχοντας οἰκήματα λέχη ποιεῖσθαι.
ἢ παρὰ τὸ λεσχαίνειν ἐν αὐτῷ. ὅ
ἐστιν ὁμιλεῖν.

Λεπτόναστον δὲ ζήτει ἐν τῷ γ.

Λεπτόν· ὅ ἐστι σταθμίον· γόμορος·
τὸ τέταρτον· περὶ οὗ ὁ κύριος λέγει·
οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται.
ἀσσαρ δὲ ἑβραϊστί· ἐλαττωμένον
καλεῖται.

λεξείδιον· παρὰ γὰρ τὸ λέξεως γενι-
:κῆς ἰωνικῆς γέγονε· καὶ πλεονασμῷ
τοῦ ῖ·
Λευκός· παρὰ τὸ λεύσσω τὸ βλέπω.
ὁ εὐσύνοπτος. καὶ ὠειδής· καὶ λαμπρός.
ἐξ οὗ καὶ λαμπρός· ἐξ οὗ καὶ λευκὸν
λέγεται χρῶμα. διακριτικὸν ὄψεως.
τὸ μὲν γὰρ λευκὸν διακρίνει καὶ διαχέ-
:ει τὴν ὄψιν· τὸ μέλαν δὲ χρῶμα.
διακριτικὸν ὄψεως.
Λευκόν· παρὰ τὸ τετάσθαι τὸ εὖ
ἤτοι καλόν· τουτέστι τὸ φῶς αὐτό·
Λευκώλενος· παρὰ τὸ λευκὸς καὶ
τὸ ὠλένη· ὃ σημαίνει τὸν βραχίο-
:να· τοῦτο παρὰ τὸ δι᾽ αὐτῶν
ὀλοῦσθαι τὰς πράξεις· τουτέστι
πληροῦσθαι. ὠλέναι δὲ λέγονται
τὰ ἄνω τῶν βραχιόνων· τὸ δὲ
λευκὸν παρὰ τὸ λεύσσω τὸ βλέπω.
ὡς ἐκ τοῦ ἐναντίου τὸ μέλαν μὴ
βλεπόμενον· συγκριτικὸν δέ ἐστι·
τὸ οἱονεὶ σωάγον· τὸ γὰρ μέλαν
σωάγει τὴν ὅρασιν· τὸ δὲ μέλαν.
παρὰ τὸ λάω τὸ βλέπω. καὶ τὴν
μὴ ἀπαγόρευσιν·

Λεύκωμα. λευκὸν ὄνομα.

Λεύσσεται. ἐκ τοῦ βλέπω. τροπῇ τοῦ β. καὶ τοῦ π. εἰς δύο σσ. λεύσσω. κατὰ τοὺς Αἰολεῖς. τὸ παθητικὸν λεύσσομαι. λεύσσεται τρίτου προσώπου.

Λευσσέται ὁρᾶται. Ἀρίσταρχος ἐν σσ γράφει. ἄλλοι δὲ δι' ἑνὸς λέγουσιν. ὡς ἀπὸ τοῦ μέλλοντος. λέγεται δὲ αὐτὸ ἀπὸ τοῦ λεύσσω. τοῦ σημαίνοντος τὸ βλέπω. ὥσπερ ἔσω ἀπὸ τοῦ μέλλοντος καὶ τὸ ἔξεσσε πελάμοιο βίην. καὶ τὸ οἴσετε ἄρνα λευκόν, καὶ καταβήσεο δίφρον. γέγονε δὲ τὸ λεύσσω οὕτως. ἔστι ῥῆμα βλέπω. ὅθεν καὶ τὸ ἀβλεπτῶ ὅπερ κατὰ Αἰολεῖς γίνεται βλεύσσω. ὡς ὄπτω. ὄσσω. ὅθεν καὶ καροσσόμενος. κατὰ ἀποβολὴν τοῦ β. καὶ πλεονασμῷ τοῦ υ λεύσσω. λεύσσω δὲ τλῆμον. ἔστι δὲ καὶ ἐνεστῶτος. καὶ εἰς τὸ βλέπω. καὶ κατέλευσας. καὶ λευκὸν καὶ λευκώδων

Λεσχάραι αἱ σχολαί· ἀπό τοῦ λέξαι
τί· ἐκεῖ γὰρ ὁμιλοῦσιν· ὡς

οὐδ' ἤθελε παίζειν χαλκήϊον ἐς δόμον ἐλθεῖν.

Λευκόχεως· λευκόχεως δέ.

Λευΐ· διὰ τοῦ ι.

Λήδιον τὸ τριβώνιον· Μένανδρος ἐν δωαι=
=ρέδει λήδιον. β,

Λευρόν τὸ ὁμαλόν καὶ λελιθολογημένον.
λεύειν γὰρ τὸ λιθάζειν.

Λευγαλέος· ὁ πανόλεθρος καὶ φαῦλος·
παρὰ τὸ λεύειν καὶ τὸ ἔργον.

Λευγρός καὶ λοιγρός διὰ τοῦ ο. καὶ
λευγαλέος κατὰ συναλοιφήν καὶ δι' εὐ=
=φωνίαν λευγαλέος.

Λευχειμονείτω· ἔστι δὲ λευκός· καὶ
ἕω τὸ ἐνδύομαι· οὗ ὁ παρατατικὸς
εἶον· ὁ παρακείμενος παθητικὸς
εἷμαι· καὶ ἐξ αὐτοῦ εἷμα· ἐξ οὗ καὶ
ἱμάτιον· καὶ ἐκ τοῦ λευκός καὶ τοῦ
εἷμα λευκείμων· καὶ τροπῇ τοῦ κ
εἰς χ λευχείμων· ὁ λευκὰ ἱμάτια ἔχων.
καὶ ἐκ τούτου λευχειμονῶ· ὁ παρατατι=
=κὸς ἐλευχειμόνουν· καὶ τὸ προστακτικὸν
λευχειμόνει· λευχειμονείτω.

Λέων εἰς τὸ κατέλαβε:

Λέχος· παρὰ τὸ λέγω τὸ κοιμῶμαι· ἐξ οὗ καὶ ἄλοχος· ἡ ὁμόκοιτος· σημαίνει δὲ τὸ λέγω καὶ τὸ φθέγγομαι· καὶ τὸ μετρῶ· ἐξ οὗ καὶ ὡρολόγιον·

Λέχος καὶ εὐνή· διαφέρει· λέχος μὲν γάρ ἐστιν ἡ κλίνη· εὐνὴ δὲ ἡ ἐπ' αὐτῆς στρωμνή· ὅμηρος·

Ἔνθα οἱ ἐκθεῖναι πυκινὸν λέχος· ἐμβάλλετε εὐνήν

Δέμνια καὶ χλαίνας ——

Λέων· ἔστι δὲ λάω τὸ σημαῖνον τὸ θεωρῶ· ἐξ οὗ καὶ τὸ ἀλαός· τὸ σημαῖνον τὸν τυφλόν· οἱονεὶ ὁ ἐστερημένος τοῦ λάειν· ἀπὸ οὖν τοῦ λάω· γέγονε λέων, ὀξυδερκὲς δὲ τὸ θηρίον· φασὶ γὰρ ὅτι οὐδέποτε καθεύδει ὁ λέων· τοῦτο ἀπίθανον· οὐκ ἐνδέχεται γὰρ ἀεί τινα ἐγρηγορέναι· ἀλλ' ἴσως ὡς ἡ δορκὰς ἐν τῷ καθεύδειν ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμούς· τὸν αὐτὸν τρόπον καὶ ὁ λέων ἐν τῷ καθεύδειν· ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμούς· καὶ λοιπὸν ὑπόνοιαν ἔχει τοῦ μὴ καθεύδειν· ἀνεῳγμένους ἔχων τοὺς ὀφθαλμούς· ἐπειδὴ τῶν

ὀφθαλμῶν μεγάλων ὄντων. τὸ δέρμα
τὸ ἐπικείμενον τοῖς ὀφθαλμοῖς. μικρό-
-τερον ἐστὶ καὶ οὐ δύναται σκεπάσαι
αὐτούς.

Λευχείμων. ὁ λευκοφόρος. ἐκ τοῦ λευ-
-κός καὶ τοῦ εἷμα. τὸ ἱμάτιον, τὸ
ἐκτὸς τοῦ σ γραφόμενον. ἔδει τέως
δὲ ἐκφωνεῖται. ὁ δὲ ἱμὰς ἀρσενικῶς
διὰ τοῦ σ ἐκλαλούμενος. δεῖται τῆς
τοῦ σ προσθήκης. σημαίνει δὲ τὸν
λῶρον.

Λέχος. παρὰ τὸ λεχείους ἡμᾶς ἔχειν.
ἤγουν πλαγίους

Λέων τουτέστι λέει ἤγουν βλέπει.
ἢ νικᾶ λέων. διὰ τὸ λιαίν ἤγουν νικᾶν.

Λέων. ὅτι τὸ πᾶν λύει καὶ συντρίβει.
σημαίνει δὲ δύο. τὸ θηρίον καὶ τὸ
ζώδιον. καὶ ὄνομα κύριον.

Λέων. ὅτι τὸ βλέπω νικᾶ.

Λεωφόρος. ἡ ὁδός, ἡ τὸν λαὸν φέρουσα.
γίνεται δὲ παρὰ τὸ λαός λεώς. Ἀττι-
-κῶς. καὶ τοῦ φέρω. γίνεται λεωφό-
-ρος. ἐξ οὗ καὶ νεωκόρος. ὁ τὸν ναὸν
ἐπιμελούμενος. ἐκ τοῦ ναός. νεώς.
καὶ τοῦ κορῶ τὸ ἐπιμελοῦμαι.

τό λ. μετά τοῦ η.

Λήβω. εἰς τό ἀπειλημμένοι καί εἰμαρ-
μένη.

Λήγδω. εἰς τό συλλήβδην.

Λήγω. εἰς τό ἄληκτον.

Λήθω. εἰς τό λάθρα καί λήμη. καί
λητοῦς.

Λήθω. λήδω: ὡς πάθω. πάσδω.

Λήθαργος. λήθαργός τις ὤν, ὁ λήθης
ἄλγος ἔχων.

Ληνῒς. σημαίνει τήν βάκχην. παρά
τήν ληνόν: διά τοῦ ι γράφεται. τά
γάρ εἰς ις ὀξύνεται.

Λήϊον ἐτυμολογεῖται παρά τό ἰέναι
καί τό λα ἐπιτατικόν. καί τροπῇ
τοῦ α εἰς η. γίνεται λήϊον. ἢ πα-
ρά τό λῆα.

Ληΐδα. μερίδα. καί λήϊον σιτοφόρος
γῆ. ἢ πεδίον.

Λήϊον σημαίνει τό σιτοφόρον χωρί-
ον. παρά τό λίαν ἰέναι.

Ληϊστοί οἱ ἐκ λείας, καί ληϊστείας,
ἀπό τοῦ ληΐζω.

— ἀνδρός δέ ψυχή, οὔτε ληϊστή.

ἀθελκτή· οὔτε ἐλκίας λαμβανομένη
φυσιν· οὔτε πάλιν λεπτή· ἐπάν ἅπαξ
φθάσῃ παρελθεῖν τό περίβολον τῶν
ὀδόντων. διά γάρ τοῦ στόματος ἐξίεισι
τό φυσικόν πνεῦμα.

Ληϊσταί· τινες καταλεύσεως καί λίθων
ἄξια πράττει.

Ληκτός. εἰς τό ἄληκτος.

Λῆμα. εἰς τό λῆμμα.

Λήμη τό συνιστάμενον ἐν τῷ ὀφθαλμῷ
λευκόν ὑγρόν. παρά τό λάω τό βλέ-
-πω καί τό μή.

Λημαλέος τζίμβλος.

Λήμη. ἡ τζίμβλα.

Λήμη. ἡ περί τους κανθοὺς τῶν ὀφθαλμῶν
πεπηγυῖα σύστασις. γέγονε δέ παρά τό
λάω. ὅ σημαίνει τό βλέπω, καί τήν
μή ἀπαγόρευσιν. τῆς μή ἀπαγορεύσε-
-ως ἐν τῷ τέλει τιθεμένης. ὁμοίως
τό χελώνη. ὅπερ γέγονε παρά τό χέ-
-λω ῥῆμα. ὅ σημαίνει τό τρέχω.
καί τό νη στερητικόν μόριον. τό οὖν
λήμη. ἢ παρά τό λάω καί τήν μή
στέρησιν, ἢ παρά τό λήθω τό λανθάνω.

Λήθη καὶ λήμη· οἱ γὰρ τζιμβλοὶ οὐ βλέ-
πουσι·
Λήδη καὶ λήδαον· ἐξ οὗ καὶ λήδιον ἱμά-
τιον τὸ πεπαλαιωμένον ἐκ τοῦ λήθω
τὸ λανθάνω·
Ληκύθιον· ἐκ τοῦ ἔλαιον καὶ τοῦ κεύ-
θω τὸ κρύπτω·
Λῆμα καὶ λῆμμα διαφέρει· λῆμα
μὲν δι' ἑνὸς μ̄ τὸ παράστημα τῆς
ψυχῆς· ἡ ἀνδρεία· λῆμμα δὲ διὰ δύο
μ̄ τὸ λαμβανόμενον κέρδος·
Λῆμνος· εἰ μὲν σημαίνει τὴν πόλιν
γράφεται διὰ τοῦ η̄, καὶ κλίνεται
λῆμνος· λήμνου· καὶ γίνεται παρὰ τὸ
λα ἐπιτατικὸν· καὶ τοῦ ὕπνος·
λαύπνος· καὶ συγκοπῇ καὶ τροπῇ τοῦ
ᾱ εἰς η̄· καὶ πλεονασμῷ τοῦ μ̄ λήμ-
νος· εἰ δὲ σημαίνει τὴν λίμνην, γρά-
φεται διὰ τοῦ ῑ καὶ γίνεται παρὰ
τὸ λίαν μένειν ἐν αὐτῇ τὸ ὕδωρ· κλί-
νεται δὲ λίμνη λίμνης·
Ληνὸς παρὰ τὸ λεαίνεσθαι κατου-
μένης τῆς σταφυλῆς ἐν αὐτῇ·
Ληναιὼν ὄνομα μηνὸς κατὰ βοιωτούς

κατὰ δὲ ἴωνας ληλαιών. ὅς ἐστιν ἰαν-
-νουάριος. ληναιὼν δὲ λέγεται. διὰ τὸ
τοὺς οἴνους ἐν αὐτῷ εἰσκομίζειν. ἔστι
δὲ ὁ μὴν ἀρχὴ χειμῶνος ἐστίν. οἱ δὲ
ληλαιῶνα φάσκουσιν αὐτὸν καλεῖσθαι.
διὰ τὰ τὰ λήναια ὅ ἐστιν ἔρια.

Λῆρος. ὁ διαφθείρων τὴν μνήμην λαν-
-θάνων.

Λῆρος ἡ φλυαρία. ἐκ τοῦ λῆγος καὶ τοῦ
ἔρω. καὶ εἰς τὸ λέχη.

Λίχνος. ὁ ἀναιδής. παρὰ τὸ λίαν ὁρᾶν.
οἱ γὰρ λίχνοι λίαν ὁρῶσι τὰ κάλλιστα
τῶν σωμάτων. ἐκ τοῦ λίαν διὰ τοῦ ι
γράφεται. τὰ γὰρ εἰς αν λήγοντα
ἐπιρρήματα. ἐθέλουσι τὴν αι δίφθογ-
-γον παραλήγεσθαι. οἷον πέραν, ἄγαν,
λίαν.

Λῃστής. παρὰ τὸ λῄζω. τὸ πραιδεύω.
λῄσω. λῃστής. ὥσπερ ὑβρίζω. ὑβρίσω.
ὑβριστής. καὶ δανείζω. δανείσω. δανειστής.
καὶ κιθαρίζω κιθαρίσω κιθαριστής. ἢ
παρὰ τὸ τὰ λήϊα σιτοφορούμενοι
ἐκκόπτειν καὶ ἁρπάζειν

Λυσικῶς. οἷον οὐδενὶ συγχωρῶν διὰ
τῆς αὐλῆς ὑπερβαίνοντι λυσικῶς τι

καί ἐπιβούλως· τεχνικῶς κατά λυσεί-
:αν.
Λυσικόν μέν τό ῥῆμα ἄνευ τοῦ ε̄.
λυσεικόν δέ τό ὄργανον, ξίφος. δόρυ.
μετά τοῦ ε̄.
Λυΐστής. παρά τό λύια καί διαπο-
:ρούμενα ϐιτία· ἐκκόπτειν καί ἁρπά-
:ζειν.
Λητοῦς. παρά τό λήθω τό λανθάνω.
ὁ μέν πλάτων φησί πραεῖα. γάρ καί
πάντας ἐλεοῦσα. τό δέ ἥμερον παρά
τοῦ ἐπιλελῆσθαι τῶν εἰς αὐτήν πεπλη-
μμελημένων ἐμφαίνεται. ὁ δέ ἀρίσταρ-
:χος παρά τό λῶ. τό θέλω· ἐπειδή ὅ
λω ἐάν τις θέλῃ παρ' αὐτῆς λαμβάνει.
τό δέ λῶ σημαίνει τρία. λῶ τό θέλω
ἐξ οὗ καί λέγω. λῶ τό ἐπιθυμῶ. ἐξ οὗ
καί λιλῶ. λῶ τό βλέπω. ὅπερ ἀπό
τοῦ λάω. καί λελιημένος.
Λέα. ἡ ἐν τοῖς ἴσοις λίθο
Λητώ. ἡ νύξ. παρά τό λήθω τό λανθά-
:νω. παρά τό λήθην καί ἀμνημοσύ-
:νην ποιεῖν.
Λητώ ἡ νύξ. παρά τό λήθην ἡμῖν —

ἐμποιεῖν. ἢ παρὰ τὸ λεληθότως ταύ-
την δεῖ ἐπέχεσθαι. Ἀπολλόδωρος δὲ
ἐλεητικοῦ. ἐλεήμων γὰρ καὶ πραεῖα ἡ
θεός.

Λιάμαθοι οἱ αἰπόλοι. ἀπὸ τοῦ λίαν
εἶναι ἀμαθεῖς.

Λήχω. εἰς τὸ μετειληχότες.

τὸ λ. μετὰ τοῦ ι.

Λιβάδιν. διὰ τοῦ λίαν βάθεον εἶναι.
ἤγουν εὐεπίβατον. καὶ εἰς τὸ ἄλιμας.
καὶ ζωννύω.

Λιβάς. ὁ σταλαγμὸς τῶν δακρύων.

Λίβανος καὶ λιβανωτὸς διαφέρει. λίβα-
νος μὲν γὰρ τὸ ὄρος. λιβανωτὸς δὲ
τὸ ἀπὸ τοῦ δένδρου δάκρυον.

Λίβανος. παρὰ τὸ λείβω τὸ σπένδω.
τὸ εἰς εὐχὴν καὶ σπονδὰς ἐπιτήδειον.
παρὰ τὸ ἐκεῖ νέμειν τὸν λίβαν. ἢ παρὰ
τὸ λίαν βαίνειν. ὑψηλὸν γὰρ τοῦτο
τὸ ὄρος. ἔστι δὲ καὶ δένδρον.

Λιβανωτός. ὅτι μέρος ἐστὶ λιβὸς καὶ νότου.

Λιβερός. ὁ σκοτεινός παρὰ τὸ λίαν
ἔρεβος.

λίβανος. καὶ λιβανωτὸς διαφέρει. λίβανος μὲν γὰρ τὸ φυτόν. λιβανωτὸς δὲ αὐτὸς ὁ καρπός. τουτέστι τὸ θυό-μενον τοῖς θεοῖς. ἀντὶ τοῦ λιβανωτός. χερσιπποσδέ. παρὰ τὴν λειόθητα τῶν ἠθῶν. Ἡσίοδος δὲ ἐπ' αὐτῆς.

β. Ἤπιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι.

Λιβύη. ἡ χώρα. ὡς ἐλλειπὴς οὖσα. λι-βύη ὠνομάσθη ἐφ' ἕλλησιν λέγω: Χ

Λιγαίνω. ἐκ τοῦ λίγω. τοῦτο ἐκ τοῦ λιγύς. ὃ σημαίνει τὸ ᾄδω. τοῦτο ἐκ τοῦ λίαν ἰαίνειν. τὸ λι. τ. τὰ ἀμφι-βαλλόμενα κατὰ τὴν πρώτην συλλα-βήν. καὶ εἰς τὸ λιγύφθογγος

Λείμων λειμάς. ὡς νείφω. νειφάς. χοι-ροβοσκός. γεώργιος γλυκύφωνος.

Λίγδην. εἰς τὸ παραβλήδην.

Λίγεια. εἰς τὸ λιγύφθογγος.

Λιγυρόν. θρηνητικόν. ὀξύφωνον.

Λίβανος. τινὲς ὅτι λειβόμενος. καὶ σπενδόμενος ἀνωφερής ἐστι. καὶ ὃν ἰουδαῖοι αὐτὸν σέβονται, δοκοῦσι γὰρ αὐτὸν ὅλον εἶναι πνεῦμα καὶ θεόν.

Λιγνός· ὁ λεπτός· παρὰ τὸ λυγός· καὶ λυγνός καὶ λιγνός· καὶ παρὰ τὸ λυγίζω· λυγινός καὶ λιγνός.

Λιγνυώδης· τὸ καπνῶδες· λιγνὺς γὰρ λέγεται ὁ ἀπὸ καιομένων ἐλαιωδῶν γινόμενος καπνός· καὶ ὅμηρος

— λιγνύω αἰθαλόεσσα —

διαφέρει γὰρ παρ' ὁμήρῳ· καπνός καὶ κνίσσα· καὶ λιγνὺς καὶ αἰθάλη. λιγνὺς λέγεται ὁ ἀπὸ ἐλαιωδῶν ἐλαίου καὶ κηροῦ γινόμενος καπνός· αἰθάλη γὰρ λέγεται· ὁ ἀπὸ ἀσβέστου γινόμενος καπνός· καπνὸς δὲ ὁ ἀπὸ ξύλων γινόμενος· κνίσσα δὲ ὁ ἀπὸ κρεῶν καιομένων.

Λιγύς· καλός· ὀξύς· γλυκύς· παρὰ τὸ λέγω· λεγύς· καὶ λιγύς· ἢ παρὰ τὸ λίαν ἡδύς· τὸ λι· ῑ διατί· τὰ ἀμφιβαλλόμενα.

Λιγυφθόγγοις· σύνθετον ὄνομα λιγύς καὶ τὸ φθογγή· τὸ γύς· ψιλόν· τὰ εἰς ῡς εἴτε ἀρσενικά· εἴτε θηλυκά διὰ τοῦ ῡ ψιλοῦ γράφεται· τὸ λι· ῑ· τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην· τὸ θηλυκὸν λίγεια· καὶ —

σεσημείωται τὸ λάχεια. καὶ λίγεια.
ὀξὺ γάρ ἐστι λίγεια. κανὼν γάρ ἐστιν ὁ
λέγων. ὅτι τὰ εἰς α θηλυκὰ ἀπὸ τῶν
εἰς υς ἀρσενικῶν γινόμενα. εἰ μὲν βα-
ρύνεται τὰ εἰς υς ἀρσενικά, προπα-
ροξύνεται τὰ θηλυκά. οἷον πρέσβυς
πρέσβεια. ἡμίσυς ἡμίσεια. εἰ δὲ ὀξύνε-
ται τὰ ἀρσενικὰ προπερισπῶνται
τὰ θηλυκά. οἷον ταχὺς ταχεῖα. σεση-
μείωται τὸ λαχὺς λαχεῖα. σημαίνει
δὲ τὴν παχεῖαν. καὶ λιγὺς λίγεια. περὶ
δὲ τοῦ λίγεια ἔστιν εἰπεῖν. ὅτι παρά-
κειται αὐτῷ. τὸ λιγῶ. τὸ ὑμνῶ. ἐξ
οὗ καὶ λιγαίνω. γίνεται παρὰ τὸ λίαν
εἶναι ὅ ἐστιν εὐφραίνειν. καὶ διὰ τί βα-
ρύνεται τὸ λίγεια. ἔχει ῥῆμα παρακεί-
μενον. τὰ ἀπὸ ῥημάτων παρηγμένα
διὰ τοῦ εια θηλυκὰ προπαροξύνεται
οἷον μήδω μήδεια. θέρω θέρεια. οὕτω
καὶ λιγῶ λίγεια. καὶ ἔστι ῥῆμα λιγῶ,
ναί.

Εὐριπίδης μελέεσιν ἐφύμνια ταῦτα λιγαίνει.
τοίνυν ἀποδέδεικται. εἶναι βαρύτονον. διὰ
τοῦτο προπαροξύνεται τὸ λίγεια —

καὶ τὸ λάχεια· προπαροξύνεται· ἐπειδὴ
τὰ εἰς υς ὑπὲρ δύο συλλαβὰς· συστέλλει
τὸ υ· οἷον λεύκοφρυς· ἥμισυς. ἀτράφαξις
ἐστὶ δὲ εἶδος βοτάνης χρυσολαχάνου. β
οὕτως οὖν καὶ ἔλαχυς ὤφειλεν εἶναι. ἀλλ'
ἐπειδὴ τὰ εἰς υς ἔχοντα οὐδέτερον
παρασχηματισμὸν παραληγόμενα τῷ
α ὀξύνονται. οἷον βραδὺς βραδεῖα.
τραχὺς τραχεῖα. πραῢς πραεῖα. τούτου
χάριν καὶ τὸ ἐλαχὺς ὀξύνεται. τὴν δὲ
κεχρωσμένην· παροξυτονίαν ἐν τῷ
θηλυκῷ ~~ἀπ~~εδέξατο.

Λιγῶ· εἰς τὸ λιγύφθογγος. λίθαξ· εἰς
τὸ λάβραξ.

Λίαν. θέσις. ἢ παρὰ τὸ λίαν, ἢ παρὰ
τὸ λίαν θέειν· κατ' ἀντίφρασιν· ὁ μὴ
λίαν θέειν κατ' ἀντίφρασιν· ὁ μὴ λίαν
θέων· ἀλλ' ἑδραῖος ὤν· τὸ λι· ι· διατί.
τὰ διὰ τοῦ ιθος ὀνόματα· διὰ τοῦ ῑ
γράφεται· πλὴν τοῦ λίθος· καὶ πίθος.

Λίθος· οὐ λέγεται ἀρσενικῶς· ἀλλὰ
θηλυκῶς ἡ λίθος.

Λίκνον. πλέον διαφέρεται κατὰ τὴν
γραφήν· ὡς ἐκ τοῦ λίχος· λίχνω· λιχ
νόν· καὶ λίκνον καὶ προσθέσει τοῦ τ.

λεῖψανον. διὰ τοῦ ῑ δὲ παρὰ τὸ λιμπάνω
λίμπον καὶ κατὰ μετάθεσιν τοῦ π̄ εἰς
ῡ. τινὲς δὲ λειπὸν αὐτὸ λέγουσι. κατα
λείπει γὰρ τὰ χρείσιμα. καὶ τὰ ἄχρεα
ἀποβάλλει.
Λιθοδίκτῳ. ἐκ τοῦ δίκω τὸ βάλλω.
Λικρίφης. γίνεται παρὰ τὸ λέχρειφὴς
καὶ λικριφής.
Λιλαίω. γίνεται ἐκ τοῦ λιλῶν. καὶ
ὥσπερ γίνεται ἐκ τοῦ πρέω πρεαίω.
οὕτω καὶ λιλῶ. λιλαίω. κατὰ παραγω
γὴν τοῦ λιλῶ. ἐκ τοῦ λῶ τὸ θέλω
κατὰ ἀναδιπλασιασμόν: τὸ λαι δίφθογ
γον. τὰ εἰς ω λήγοντα ῥήματα μὴ ἐπι
δεχόμενα συναίρεσιν ἐπὶ δευτέρου
καὶ τρίτου προσώπου διὰ τῆς αι διφθόγ
γου γράφεται. οἷον παίω καὶ τὰ ὅμοια.
Λίμμα διὰ τοῦ ῑ. παρὰ γὰρ τὸ λείπω.
Λιμνώρεια τοῦ ὄρος καὶ τοῦ λίμνη.
Λιμώττω. ἐκ τοῦ λιμός.
Λιτῶ. εἰς τὸ λιτοὺς.
Λιβεῖα. παρὰ τὸ λίαν βαίνειν.
Λιμβός. παρὰ τὸ λίαν καὶ τὴν βόσιν.
ὅ ἐστι τροφήν.

Λιμβός· ὁ σφόδρα περὶ ταλτινέχων.

Λιμήν· διὰ τὸ λίαν μένειν ἀχειμάστως.

Λιμήν· παρὰ τὸ λίαν αὐτὸν μένειν, ἤτοι πρᾶον· καὶ μὴ πρὸς ἀτάκτους φορὰς ῥευμάτων τε καὶ κυμάτων. τὰ πολλὰ ἀντεγείρεσθαι.

Λίκυθος· παρὰ τὸ λεῖον ἔχειν τὸ κύτος.

Λίμνη· ἡ συναγωγὴ τῶν ὑδάτων· εἴτε παρὰ τὸ λείβειν· εἴτε παρὰ τὸ λίαν μένειν ἐν αὐτῷ τὰ πλοῖα.

Λιμητανέων· τὰ ἐν ταῖς ἐσχατίαις φρούρια λίμιτα ῥωμαῖοι καλοῦσι· τὰς κλεισούρας.

Λιμὸς πόθεν· παρὰ τὸ λείπω τὸ καταλιμπάνω. λειπὸς καὶ λιμός. καὶ ὤφειλε γράφεσθαι διὰ διφθόγγου. ἐπεὶ πολλὰ εἰσὶ ῥήματα γραφόμενα διὰ τῆς ει διφθόγγου. καὶ γραφόμενα ἐπ' ὀνομάτων διὰ τοῦ ι· οἷον λείχω. λιχανός· πείθω. πιθανός. οἰκτείρω οἰκτιρμός. οὕτως οὖν καὶ λείπω λιμός.

Λιμός· ὤφειλε διὰ τῆς ει διφθόγγου

ὅτι λῆψις ἐστὶ τῶν ἐπιτηδείων. ἀλλ᾽
ἀπὸ τοῦ λιμπάνω γέγονε διὰ τοῦ ι.
Λοιμός. διὰ τὸ φθείρειν. ὅμηρος. λοι-
μὸς παρὰ τὸ λείπω. λέλοιπα. λοιπὸς
καὶ λοιμός.
Λοιγός. παρὰ τὸ λείπω λειπός. καὶ
λοιγός. λῆψιν γὰρ τῶν ἀνθρώπων
ἐργάζεται.
Λιμός. λοιμοῦ διαφέρει. λιμὸς γάρ ἐστιν
ἔνδεια τῶν ἀναγκαίων. λοιμὸς δὲ
πάθος θανάσιμον λιμοῦ ~~παρ~~ ἀκολου-
θοῦντος. καὶ Δωριεῖς μὲν ἡ λιμός.
Ἀθηναῖοι δὲ ὁ λιμός. ἔδει δὲ διὰ τῆς
ει διφθόγγου. ἀπὸ γὰρ τοῦ λείπω ἐστὶν
καὶ ἐπειδὴ ἔνδειαν σημαίνει τῶν
ἀναγκαίων, τούτου χάριν ἔνδειαν
φωνῆς ἀνεδέξατο. ὥσπερ καὶ χίρα-
δες αἱ τῶν χειρῶν. ῥαγάδες. τὸ γὰρ
ἔχων ῥαγάδας. οὐκ ἔστιν ὁλόκληρον.
εἰ καὶ ἀπὸ τοῦ χεῖρ ἐγένετο. ὅμως
κατὰ τοῦτο. διὰ τοῦ ι γράφεται.
Λίνος. τὸ λινάριον. παρὰ τὸ λίαν
γήθεσθαι.
Λίνος. ὁ ὕμνος.

λιπανάτω· ἐκ τοῦ λιπαίνω. λιπανῶ.
ὁ μέλλων. καὶ ὁ δεύτερος ἀόριστος ἐλί-
πανον. τὸ προστακτικὸν τοῦ δευτέρου
ἀορίστου. λίπανον· λιπανάτω τὸ τρίτον.
Λίνος τὸ ἔριον. ἀπὸ τῆς λειότητος.
Λινουργὲς· σημαίνει τὸ ἄρρενον.
Λιπαίνω ἐκ τοῦ λίπος. τοῦτο δὲ παρὰ τὸ
λίαν πιότητα ἔχειν.
Λιπαρεοῦσιν. ἀπὸ τοῦ λιπαίνω· γέγο-
νε λιπαρός. τὰ γὰρ εἰς ναι ἀπαρέμφα-
τα. ποιοῦσιν εἰς ρος ὀνόματα ἰσοσύλ-
λαβα τοῖς ῥήμασι. καὶ ἢ τὸ ᾱ παρα-
λήγονται, ἢ τὸ η̄. μιᾶναι, μιαρός. χλι-
ᾶναι χλιαρός. θλιβῆναι θλιβερός.
στυγῆναι. στυγερός. μυσᾶναι μυσαρός.
ταχῆναι ταχερός. λιπᾶναι λιπαρός.
Λιπαρῶ τὸ παρακαλῶ. παρὰ τὸ λίαν
παρεῖναι τοὺς τοὺς παρακαλοῦντας.
καὶ εἰς τὸ ἐκλιπαρεῖσθαι.
Λιρός. σημαίνει τὸν ἀναιδῆ· παρὰ
γὰρ τὸ λίαν ὁρᾶν. οἱ γὰρ ἀναιδεῖς
λίαν ὁρῶσιν. τ̄:
Λίτρα διὰ τοῦ ῑ. εὕρηται γὰρ ἐν συστο-
λῇ παρὰ τοῖς Δωριεῦσι. λίτρα δὲ
ἐστι νόμισμα παρὰ τοῖς Σικελιώταις.

ὅπερ ἰσοδυναμεῖ τῷ ὁμολογῶ.

Λιπαρῶ· σημαίνει τὸ παρακαλεῖν. παρὰ τὸ λίαν παρεῖναι καὶ προσκεῖσθαι.

Λιμὸς σημαίνει τὴν ἔνδειαν τῆς τροφῆς· τοῦτο δὲ παρὰ τὸ λίαν μᾶν. ὅ ἐστι τὸ πάνυ ζητεῖν· ἀπὸ γὰρ τοῦ λιμὸς γίνεται· πλεονασμῷ τοῦ ο λοιμὸς ἡ φθορά· καὶ ἡ ἔνδεια τῶν ζώων. ὥσπερ γὰρ ὁ λιμὸς πλεονάζων ποιεῖ ἔνδειαν τῆς τροφῆς· οὕτω καὶ ὁ λοιμὸς πλεονάζων, ποιεῖ τὴν ἔνδειαν τῶν ζώων·

Λιπερνῆτες· Ἀριστόξενος λιπερνήτας φησὶ τοὺς ἁλιεῖς καὶ θαλασσίους· ἀπὸ τοῦ τὰ τῆς ἁλὸς διαπιπράσκειν καὶ ζῆν· τινὲς δὲ λιπερνῆτες· οἱ λιπαίνοντες τὸ βλάστημα τοῦ ἄνθους τοῦ πλούτου· λέγονται δὲ καὶ ἁλιπερνῆτες.

Λίπος· παρὰ τὸ λίαν ἐπίρρημα· καὶ τὸ πῖον, ὃ σημαίνει τὸ λιπαρόν. τὸ λίαν πῖον καὶ ὠδιάχυτον·

Λὶς· εἰς τὸ τίω·

Λίσσομαι· παρὰ τὸ λίαν ἵζω· τὸ θέμα

λίσσω. ἢ παρὰ τὸ λιτῶ τὸ παρακαλῶ.
ἢ ὥς φασί τινές. ἀπὸ μέλλοντος παρεχ-
θη. εἰς ἐνεστῶτα καὶ ἐγένετο λίσω. καὶ
πλεονασμῷ ἑτέρου σ̄ λίσσω. λίσσομαι.
Λίσσω. εἰς τὸ λιπαινέσω. ὅμηρος.
Λίσσομαι. τουτέστι παρακαλῶ. ἔστι
δὲ ἐνεστὼς παθητικός. ὁ μέλλων
λίσω. δι᾽ ἑνὸς σ̄. γ:
Λῖς. λιός. ὁ λέων. παρὰ τὸ λίαν
ἐπίρρημα. ὁ λίαν βλέπων. διὰ τοῦτ.
ἐπειδὴ τὰ εἰς ις. κοινολεκτούμενα
ἀποστρέφονται τὴν διὰ τῆς ει διφ-
θόγγου γραφήν. οἷον πάρις. θέτις.
ὄφις. κὶς. σημαίνει τὸν σκώληκα.
ῥὶς. δὶς. οὕτως καὶ λῖς. χωρὶς τοῦ
κλεὶς. καὶ ἀντίφερις. εἰ δὲ πού εὑρεθῇ
διὰ τοῦ νος. διὰ τὴν ει διφθόγγου γρά-
φεται. διότι τὸ ε ἔχει. ἀναφαινό-
μενον ἐν τῇ γενικῇ. οἷς εἷς. ἑνός.
κτεὶς. κτενός. ὀδεὶς. ὀδενός. χαρίεις
χαρίεντος.
Λίτρα ζήτει οὐγγί ιβ.
Λισγάριον. σκαφίδιον. καὶ σκαφεῖον.
Λιτα. εἰς τὸ μιτιέτα.
Λιταινέσω. παρὰ τὸ λιτή. τοῦτο παρὰ

τὸ λίσσω· τὸ ἱκετεύω· τοῦτο παρὰ τὸ
λίαν καὶ τὸ ἵζω· τὸ καθέζομαι.

Λιτὸς σημαίνει τὸν εὐτελῆ· καὶ τὸν
ἀποίκιλον χιτῶνα.

Λίταργος· σημαίνει τὸν ταχύν· παρὰ
τὸ λίαν ἀργὸς εἶναι· ἤγουν ταχύς.

Λιτῶ· εἰς τὸ λίσσομαι. ζή(τει).

Λιχμώμενος· παραλείχων ἀποσπογγί-
ζων· ἀπὸ τοῦ λιχμῶ λιχμάω δευτέρας
συζυγίας τῶν περισπωμένων· ἀπὸ τοῦ
λείχω· πλεονασμῷ τοῦ μ λιχμῶ.
τὸ λι· ι διατί· ἐπειδὴ οὐ πάντη ἀ-
κολουθοῦσι τὰ παράγωγα τοῖς πρω-
τοτύποις. λίχνοι οἱ πολυπράγμονες·
καὶ ὀψοφάγοι· ἢ λαίμαργοι· παρὰ τὸ
λίαν χαίνειν. ζή(τει).

Λίψ· σημαίνει τὸν ἄνεμον· καὶ ὕτλαν
ἢ παρὰ τὸ ~~λείπω~~. λείψω. ἢ παρὰ τὸ
λείβω λείψω.

Λίω· εἰς τὸ τιμῶ.

τὸ Λ μετὰ τοῦ Ο.

Λοβός· ἐκ τοῦ λείβω τὸ στάζω· λωβοὶ

λέγονται τὰ κατώτερα μέρη τῶν ὤτων. καὶ ὅμηρος.

——— ἐϋτρήτοισι λοβοῖσι.

λέγεται δὲ καὶ ἀγγεῖον, ἐρεβίνθου ἢ κυάμου. καὶ παρὰ τοῖς ἰατρικοῖς. λέγονται τὰ κατώτερα μέρη τοῦ ἥπατος.

Λώβη δὲ ἡ ὕβρις.

Λοβός. ὁ τοῦ ἥπατος. καὶ λοβὸς τοῦ ὠτός.

Λοβός. οὗ ἐστι λαβέσθαι. οἷον ἐπὶ μὲν τοῦ ἀνθρώπου τὸ ἄκρον τοῦ ὠτός. κατ' ἐξοχήν. ὁ μὴ ὀστώδης. τόπος. ἐστὶ δὲ ἀλεκτρυόνων. λείαρος. οἱονεὶ ἧλος κατὰ τὴν ἀφήν.

Λοβοῖσι τοῖς ἄκροις τῶν ὠτίων τοῖς ἁπαλοῖς. παρὰ τὸ λαμβάνειν τι καὶ δέχεσθαι. ἐξ οὗ καὶ

——— ἐϋτρήτοισι λοβοῖσι.

τοῖς κακῶς τετρημμένοις. ἤγουν τετρυπημένοις.

Λίσφη. τὰ ἰσχία. οἱ Ἀττικοί παρὰ τὸ λείπειν αὐτὰ σαρκῶν. δύνανται καὶ λισφοὶ λεῖοι εἶναι κατὰ τὴν ὀσφύν.

Λίχνος. κατὰ παρένθεσιν τοῦ ν λίχος.

Λοπάς. οἱονεὶ λακανίσκη. ὑποκοριστικῶς ἐσχημάτισται γὰρ ὁμοίως. τὸ δὲ διατί. συνεσταλμένη γάρ ἐστιν ἡ δὲ συλλαβή.
Λιχνεία. παρὰ τὸ λίαν χαίνειν.
Λὶψ ὅτι λίβει. ἤτοι στάζει καὶ βρέχει.
Λουγοῦβαρδος. παρὰ τὸ λόγγου κατὰ Ῥωμαίους. καὶ σημαίνει τὸ μακρὸν καὶ τὸ βάρβα τὸ γένειον.
Λογεῖον. διὰ τῆς ει διφθόγγου. σημαίνει δὲ εἶδος κρατῆρος. καὶ τὸν τόπον τοῦ θεάτρου. καὶ γίνεται παρὰ τὸ λέγω. λογεῖον.
Λόγιον καὶ λογεῖον. ἐκ τοῦ λόγος.
Λογικὸς εἰς τὸ ἐμπειρικός.
Λογάς. ἡ ἐκλογή. καὶ λογία ὁμοίως σημαίνει δὲ καὶ συλλογάς. καὶ καρποφορείας.
Λιτὸς ὁ πένης. καὶ δημότης. ἢ ὁ ἐκ λιτανείας ζῶν. ἢ ὁ ἐπὶ γῆς κοιμώμενος. λίτη γὰρ ἡ γῆ.
Λογοθέτης. ὁ τοὺς λόγους κατατιθών.
Λόγος. ποικίλως διαφέρει. λόγος μὲν γάρ ἐστιν ἡ σύνταξις ἡ δίχα μέτρου

ὡσεὶ ὅμηρος· ποίησις δὲ ἡ σύνθεσις· ἡ
μέτρῳ· ἡ ἄμμετρος κοσμουμένη·
λόγος βαρύνεται οἷον ψόγος· μόγος.
ὃ σημαίνει τὴν κακοπάθειαν. ἐξ οὗ
καὶ τὸ μογεῖν τὸ κακοπαθεῖν· λόγος
καὶ εἴ τι ὅμοιον· x·
Λόγος· παρὰ τὸ λέγω· λόγος· ση-
μαίνει ἑπτά· λόγος ὁ ἐνδιάθετος,
καθ᾽ ὃ λογικοὶ καὶ διανοητικοί ἐσμεν.
λόγος λέγεται καὶ ἡ φροντίς· ὡς ὅταν
λέγομεν οὐκ ἔτι λόγου ἄξιος· τὸ
οὐ ποιοῦμαι αὐτοῦ λόγον· λόγος δὲ
λέγεται καὶ ὁ ἀπολογαριασμός· ὡς
τὸ ἡγεμὼν πρὸς τοὺς αὐτοῦ ἐπιτρό-
πους· λόγον ἔχει· λόγος λέγεται καὶ
ἡ ἀπολογία· ὡς τὸ ἔδωκεν ὑπὲρ
τούτου λόγον· λόγος λέγεται καὶ ὁ καθό-
λου περιέχων ἐν ἑαυτῷ πᾶσαν λέξιν.
σημαίνει δὲ καὶ πᾶν μέρος λόγου·
ἤτοι ὄνομα. ἢ ῥῆμα. ἢ μετοχήν· ἢ
ἄρθρον καὶ τἆλλα· λόγος λέγεται καὶ
ὁ ὅρος· ὡς ὅταν λέγομεν. ἀπόδος
τὸν τοῦ ζώου λόγον· οἷον οὐσία ἔμ-
ψυχος αἰσθητική· λόγος λέγεται καὶ
ἡ ἀποτελὴς τῶν λέξεων παράθεσις

τουτέστιν ὁ κατὰ σύνταξιν λόγος.
ζήτει:
Λογογράφος· λογοποιοῦ διαφέρει. λο-
γογράφος μὲν γάρ ἐστιν ὁ τοὺς δι-
κανικοὺς λόγους γράφων. λογοποιὸς
δὲ ὁ λόγους τινὰς καὶ μύθους συντι-
θείς.
Λοιγὸς ὁ θάνατος παρὰ τὸ ὄλεσθαι.
λείπω. λοιπός. καὶ λοιγός. λεῖψιν
γὰρ τῶν ἀνθρώπων ἐργάζεται.
Λοίδορος· παρὰ τὸ λόγος. καὶ τὸ
δορὺ γίνεται λοίδωρος. ὁ ὡς δόρατα
λόγους πέμπων.
Λοίδορος. διὰ τῆς οι διφθόγγου. οὐχ'
ὥς τινες ἐπλανήθησαν παρὰ τὸ δω-
ρον λύειν τῆς ἀγάπης. λογοορᾶν τίς.
τουτέστιν ὁ τοὺς λόγους ταράσσων.
πλεονασμῷ δὲ τοῦ ι.
Λοιδορία. ὕβρεως διαφέρει. ἡ μὲν γὰρ
γλώσσης ἐστὶ μόνον ἀτιμία. ἡ δὲ ὕβρις
καὶ τὴν διὰ τῶν ἔργων ἐπ' αἰσχύνῃ
τῶν ὑβριζομένων ἐπίνοιαν ἔχει.
Λόγιος. ὁ εὐπρεπής. καὶ λόγιος ὁ
δεινὸς εἰς τὸ λέγειν καὶ ὁμιλεῖν.

λυκόφως· τινὲς λυκόφως τὸ σκοτει-
νόν· λυγαῖον γὰρ τὸ σκοτεινόν·
οἷον διαλυόμενον φάος· ἡ αὐγὴ
διαλυθεῖσα· τινὲς δὲ ἀπὸ τῶν ἀλό-
γων ζώων τῶν λύκων· ὀξυδερκὲς
γὰρ τὸ ζῶον· διὸ καὶ ἑρμῆ αὐτὸ
ἀναπτύσουσιν· ἀλλὰ καὶ ὁ υἱὸς αὐ-
τοῦ αὐτόλυκος· καὶ λυγκεὺς ἔβλε-
πε

λοιμός· εἰς τὸ λιμός.

λόπος· τὸ λεπτὸν τοῦ κρομμύου

λεκάς ῥωμαῖον τὸ ὄνομα· ἔχει δὲ
ἑλληνικόν· ἄλλοι δὲ λέγουσιν,
ὅτι ἀπὸ τοῦ λευκός γέγονε λευκᾶς
καὶ λουκᾶς.

λοῦσμα· εἰς τὸ λελουμένη.

Λῦτρα· ἔστι λύω τὸ σημαῖνον τὸ
καθαίρω· οὗ ὁ μέλλων λύσω· ὁ πα-
ρακείμενος λέλυκα· ὁ παθητικὸς
λέλυμαι· καὶ ἐξ αὐτοῦ λῦμα τὸ
καθάρσιον. ὡς ὅμηρος
——— οἳ δ᾽ ἀπολυμαίνοντο.
καὶ ἐκ τοῦ λῦμα γίνεται λυμαίνω.
τὸ καθαίρω· ἐκ δὲ τοῦ λύω κατὰ
πλεονασμὸν τοῦ σ λούω· ὁ μέλλων

λούσω. ὁ παρακείμενος λέλουκα.
ὁ παθητικὸς παρακείμενος λέλου-
-μαι τὸ τρίτον λέλουται. καὶ ἐξ
αὐτοῦ λουτὸν καὶ πλεονασμῷ τοῦ ε
λουτεὸν, τὸ λύον τὴν τρῶσιν.
Λουτεὸν. διὰ τὸ λύειν τὸν ῥύπον.
ἢ διὰ τὸ λούειν τὰ τραύματα ἢ
λουόμενος τρωσ[ε]:
Λουτεὸν. βαλανεῖον καὶ λοϊτεόν.
Λουτρὰ τὰ εἰς λῦσιν ἄγοντα τῆς
ἀκαθαρσίας. καὶ γὰρ λῦμα καλεῖται
ὁ ῥύπος.
—— λύματα πάντα καθῆραν.
Λόφος ὁ ὑψηλὸς τοῦ ὄρους τόπος.
παρὰ τὸ λέπω τὸ λεπτύνω. ἔνθεν
καὶ λόπος τὸ τοῦ κρομμύου λεπτόν.
καὶ λόφος τὸ τῆς περικεφαλαίας.
Λόφος σημαίνει τρία τὸν τράχηλον.
ἐξ οὗ καὶ τὸ ἐλωφησεν ἀπὸ μετα-
-φορᾶς τῶν βοῶν. τῶν ἀναπαυο-
-μένων ἐν τῷ λόφῳ. ἡνίκα ἀνεθῶσι
τοῦ ζυγοῦ. γίνεται δὲ καὶ ἐκ τοῦ
λέπω τὸ λεπίζω. λόπος καὶ λόφος

ἀπὸ μεταφορᾶς τῶν βοῶν. τοῦ-
το γὰρ τὸ μέρος πάντων πρῶτον
ἐπέρχεται λεπίζειν καὶ ἐνδέρειν
τὰ ζῶα. σημαίνει καὶ τὸ ἐπανάστη-
μα τῆς περικεφαλαίας. σημαί-
νει καὶ τὸ ὄρος. ζή:

Λόφος. ὁ ὑψηλὸς τόπος. παρὰ τὸ
λίαν φαίνεσθαι. ἢ παρὰ τὸ λάω.
λάφος καὶ λόφος. ὁ γυμνὸς τόπος
καὶ σεσημείωται ἅτινα εἰσὶν ἐν
τοῖς σημαινομένοις βαρύτονα. τὰ
εἰς φος λήγοντα δισύλλαβα ἢ προσ-
ηγορικά. βαρύνεται. εἰ μὴ ἔχοι
τὸ ῡ πρὸ τέλους συνεσταλμένον.
καὶ σημαίνει τοπικὴν ἔννοιαν.
εἰς εἰς τὸ λ̄ καταλήγει. οἷον τά-
φος. στρόφος. λόφος. ψόφος.

Λοχᾶν τουτέστιν ἐνεδρεύειν.

Λοχεῖν. εἰς τὸ βωμολοχεῖν.

Λοχευομένηˣ. ἐκ τοῦ λοχεύω τὸ γεν-
νῶ. τοῦτο παρὰ τὸ λέχος. ὃ ση-
μαίνει τὴν κοίτην.

Λόγχμη. θάμνος. ὕλη. σύνδενδρος

τόπος· παρὰ τὸ λοχᾶν ἐν αὐτῷ·
τουτέστιν· ἐνεδρεύειν· ἔστι οὖν λοχῶ.
λόχη· καὶ πλεονασμῷ τοῦ μ λόχμη.
συντάσσεται κατὰ αἰτιατικῆς.

Λοχῶντες· παρὰ τὸ λέχος· οἱ γὰρ
λοχῶντες· οἱονεὶ κοιτάζονται· ἤδη
τοῦ δὲ ἐπέκτασις· ἢ ἀφέλκυσις·
τὴν εἰς τόπον ἐπιρρηματικὴν
σύνταξιν σημαίνει.

Λόχος· ἡ ἐνέδρα· παρὰ τὸ λέγω.
τὸ ἐπιλέγομαι· ἐξ οὗ καὶ ἐπίλεκτος.
ὅτι τοιοῦτοι ἐπίλεκτοι ἐλέγοντο ἐς
τὰς ἐνέδρας.

Λοχῶ τὸ ἐνεδρεύω· ἐξ οὗ καὶ λόχος.
ἡ ἐνέδρα· καὶ λόχμος ὁ σύμφυτος
τόπος· καὶ λοχία διὰ τοῦ ι· καὶ
λοχῶ τὸ τίκτω· ἐξ οὗ καὶ λόχος ὁ
τόκος· + καὶ λοχεία διὰ τοῦ
ει.

Λοξίας· λοξὴν τὴν ἰῶ οἷον τὴν φω-
νὴν ἔχων.

Λόγχη· ἐπὶ τοῦ δόρατος· παρὰ τὸ
λίαν ἐγχεῖσθαι ὑπὸ τοῦ χρωμένου.

Λυμεῶνας· ἐκ τοῦ λύμη ὃ σημαίνει
τὴν βλάβην· καὶ ἐξ οὗ λυμαίνω ῥῆμα
παθητικόν.

Λυμαντικόν· λοιμική δὲ νόσος καὶ
λοιμικόν· καὶ εἰς τὸ ἐλυμήνατο· ζή-
-τει πλατυτέρως.

τὸ Λ μετὰ τοῦ Υ.

Λύγος· τὸ σκότος· οὐδέτερον· ἀπὸ
τοῦ λύειν τὴν αὐγήν· καὶ τὸ κατα-
-κρύπτεσθαι ὑπολυγίζεσθαι λέγεται.

Λόχος ἡ ἐνέδρα· ἤτοι ἀπὸ τοῦ ἐπι-
-λέκτους εἰς τὸ ἐνεδρεύειν· ἢ ἀπὸ τοῦ
λέξασθαι· ὃ πολλὰ σημαίνει· καὶ
ἀριθμηθῆναι· καὶ καθευδῆσαι· καὶ
ἐπιλέκτους εἶναι· ὧν ἓν καὶ τὸ
διαλέξασθαι· ὅτι οἱ τοιοῦτοι ἐπί-
-λεκτοι, διακρίνονται εἰς τὰς ἐνέδρας.

Εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι

Ἐς λόχον ——

ἢ ὡς λέχεις ἔχειν ἀνακλινομένους·
ἵνα ἀθεώρητοι ὦσιν.

ὣς ἄρα φωνήσαντες παρὲξ ὁδοῦ ἐν νεκύεσσι

Κλινθήτην ——

Λυγαῖον. τὸ σκοτεινόν. παρὰ τὸ λύειν τὸ αὖγος. καὶ εἰς τὸ ἀκήν.

Λυγμός. ὁ θρῆνος. καὶ λυγμή ἡ κραυγή.

Λύγη. εἰς τὸ ἀμφιλύκη.

Λύθρος. ἡ ἀκαθαρσία. κυρίως δὲ τὸ μετὰ κόνεως αἷμα. παρὰ τὸ λῦμα τος καὶ καθάρματος δεῖσθαι.

Λυγρῶς. ἐλεεινῶς.

Λυπρῶς δὲ ὡς ἐν τισιν εὗρον. κεῖται ἀντὶ τοῦ λυπηρῶς.

Λυκάονος. ὄνομα κύριον. υἱὸς πινδάρου. ὁ κακῶν. τὰ εἰς τὴν βαρύτονα.

β διχρόνω ἐκτεταμένω. παραληγόμενα.

Λύκος. διὰ τὸ λίαν κακός. ἢ λύειν κακῶς τὴν ποίμνην. ἢ φαγεῖν πολλά.

Λυκόφως. τὸ πρωϊνὸν φῶς.

Λυμαίνω. εἰς τὸ ἐλυμήνατο. καὶ λουτρόν.

Λυμεῶνος. χοιροβοσκός εἰς τὸ λῦμα

Λύη. ἡ στάσις. παρὰ τὸ λυθῆναι τὴν

ὁμόνοιαν. ἔνθεν ὁ ἀσαβίαστος ὄχλος. δῆμος καλεῖται διὰ τὸ δέμας.

Λυκάβας ὁ ἐνιαυτός. οἷον λυγάβας ὁ σκοτεινῶς βαίνων. λύγον γὰρ τὸ σκοτεινόν.

Λυγίζω. τοῦ θρύπτεσθαι διαφέρει. λυγίζειν μὲν ἐστι. τὸ τεχνικῶς ὀρχεῖσθαι. καὶ θρύπτεσθαι. εἶτα τοῖς μέλεσι καὶ τῇ φωνῇ. κατακλώμενον ἀκκίζεσθαι. θρύπτεσθαι δέ ἐστιν τὸ ἄνευ φωνῆς καὶ τέχνης αἰκίζεσθαι τε καὶ κατακλᾶσθαι τοῖς τοῦ σώματος μέλεσιν. εἴρηται δὲ τὸ λυγίζειν. ἀπὸ τοῦ λύγου. λύγος δέ ἐστι παροξυτόνως. τὸ ἱμαντῶδες φυτόν. ὁ γοῦν λυγίζων στρέφεται. καθὰ καὶ τὸ ἱμαντῶδες φυτόν. ἀκκιζόμενός τε καὶ θρυπτόμενος. ἄδηλον δὲ ὀξυτονούμενον τὸ λύγος ὄνομα. σημαίνει ποιητικῶς τὸν ὄλεθρον. τὸ δὲ ἐν τῇ πυγμῇ λυγίζειν. παρὰ τὸ φυτόν. μαλακὸν γὰρ καὶ εὐκαμπές. καὶ εὔτονον.

Λύμη ἡ φθορά. ἐκ τοῦ λύω. λύσω

ἐξ οὗ καὶ διὰ τοῦ ῡ ψιλοῦ γράφεται
καὶ βαρύνεται. τὰ εἰς μη καθαρὰ
δισύλλαβα φύσει μακρὰ παραληγόμε-
να, ὀξύνονται· καὶ βαρύνονται· οἷον
μνήμη· καὶ τὰ ἔχοντα πρὸ τοῦ ῡ· τὸ
ῡ· εἰ καὶ ὑπὲρ δύο συλλαβὰς ὦσι.
διὰ τοῦ σύνη· φιλύνη καὶ καθόλου
ὁποῖα ὑπάρχει φύσει μακρά. οἷον
μηκῶσι· λύμη· σεσημείωται. τὸ τι
μὴ ὀξυνόμενον ὡς προσηγορικόν. καὶ
εἰς τὸ ἐλυμήνατο· καὶ λελυμασμένως.
Λυκάβαντος· τοῦ ἐνιαυτοῦ· εἴρηται
δὲ ἀπὸ τοῦ λυγέως βαίνειν ὅ ἐστι
σκοτεινῶς πορεύεσθαι. λεληθότως
γὰρ ὁ χρόνος διέρχεται ✗·
Λύοντα· ἐκ τοῦ λύω· τοῦτο δὲ ἐκ τοῦ
ἔδω· τὸ λῡ μακρὸν τὸ ἔδω. καὶ
λύω· καὶ ἔδω.
Λύπη· παρὰ τὸ λύειν τοῖς δάκρυσι
τοὺς ὦπας. ἤγουν τοὺς ὀφθαλμοὺς
λύπη· λῦσίς τις οὖσα ψυχῆς. καὶ με-
τέχει ἐκ τοῦ λύω. λῦσις γὰρ τῆς–

ψυχῆς τὸ πάθος. λυπηρὸν γὰρ καὶ εἰς τὸ ἄχος.

Λύπη· παρὰ τὸ λύειν τοῦ ὦπας. ἤγουν ὀφθαλμούς. ἢ παρὰ τὸ λύω· λύη. καὶ πλεονασμῷ τοῦ π λύπη. ὡς Ἡρωδιανός.

Λύκειον. ἔστι δὲ τόπος Θετταλίας. ἔνθα λύκος ἐπιὼν τοῖς τοῦ Πηλέως βουσὶν ἀπελιθώθη. διὰ τῆς ει διφθόγγου γράφεται. τὰ γὰρ διὰ τοῦ ειον τρισύλλαβα ἰδιάζοντα καὶ προπαροξύνεται. καὶ διὰ τῆς ει διφθόγγου γράφεται. οἷον λαύρειον. ἔστι δὲ τόπος τῆς Ἀττικῆς περὶ μετάλλων. λάγειον. οὕτω δὲ λέγεται τὸ ἱπποδρόμιον Ἀλεξάνδρου ἀπὸ Λάγου τινός. Χλίνειον. καὶ αὐτὸ τόπος λεγόμενον ἐν Αἰτωλίᾳ. ἔνθα ὁ Χλουμένης διέτριβεν. οὕτως οὖν καὶ λύκειον β

Λύρα· παρὰ τὸ λύω λύσω λύρα. ἐδόθη γὰρ τῷ Ἀπόλλωνι παρ' Ἑρμοῦ ὑπὲρ ὧν ἔκλεψε τὰς βοῦς αὐτοῦ λύτρα τις οὖσα. ἢ παρὰ τὸ λύειν τὴν ἄγραν.

καὶ ἐκ τούτου λυρική· ἡ αὐτὴ καὶ κουρρέα·

Λυρική· ἐστὶ λύω· καὶ τὸ ἀρα· ὃ σημαίνει τὴν ἐκ θυμοῦ κατάραν.

Λύσαιτε· ἐστὶν εὐκτικόν· δευτέρου προσώπου τῶν πληθυντικῶν ἐνεργητικῶν· ἀόριστος πρῶτος.

Λυσιτελής· σημαίνει τὸν εὔκολον· ὄντα καὶ μὴ στραγγαλιῶδη· καὶ γίνεται παρὰ τὸ λύω· λύσω· καὶ τὸ τέλος λυσιτελής.

Λυχνίον· λύχνον διαφέρει λυχνίον μὲν γάρ ἐστιν ἡ λυχνία· λύχνος δὲ ὁ φανός· καὶ λυχνοῦχος.

Λύχνος παρὰ τὸ λύειν τὸ νύχος· τουτέστι τὸ σκότος.

Λύω· εἰς τὸ λουτρόν.

## τὸ λ· μετὰ τοῦ ω

Λῶ· σημαίνει τρία· εἰς τὸ λητοῦς· καὶ εἰς τὸ ἀλέθω· καὶ ἀλῶ· καὶ ἀπολαύσω· καὶ κέρδος καὶ λιαίνω· καὶ λιλαίω· καὶ λῶον· καὶ λωβήσαιο· καὶ

πλάζουσι
Λυσσαμανία. ὀργή. χόλος. καὶ μῆνις. εἴ-
-ρηται δὲ παρὰ τὸ λύειν τὸν νοῦν.
Λυτρώτης. παρὰ τὸ λύτρον τοῦτο πα-
-ρὰ τὸ λύω.
Λυτρῶσαι. παρὰ τὸ λυτρῶ. τοῦτο παρὰ
τὸ ἔδω τὸ ἀγοράζω.
Λωβήσαιο. παρὰ τὸ λωβῶ. πρώτης
συζυγίας τῶν περισπωμένων. ἀορίστου
πρώτου εὐκτικοῦ. τοῦτο παρὰ τὸ
λώβη. τοῦτο παρὰ τὸ λῶ τὸ θέλω.
κατ' ἀντίφρασιν. ἣν οὐδεὶς θέλει.
Λωβήσαιο. ῥῆμα εὐκτικόν. μέσου ἀο-
-ρίστου πρώτου παθητικοῦ. παρὰ τὸ
λωβῶ πρώτης συζυγίας τῶν περισπω-
-μένων. τὸ λωβός. τοῦτο ἀπὸ μεταφο-
-ρᾶς τῶν ἠκρωτηριασμένων. ἐπειδὴ οἱ
παλαιοὶ τοὺς ἔν τινι ἀτοπήματι ἁ-
-λόντας ὑβρίζοντες. τὰ ἄκρα τῶν
ὤτων ἀπέτεμνον. ὡς καὶ ὁ ποιητὴς
πρὸς τὸν Ἶρον. καὶ ταῦτα ὁ Ὠρίων.
ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι ἐκ τοῦ λα-
-βὴ ἐστιν. ὃ σημαίνει τὸ ξίφος. ἐξ αὐτοῦ
γίνεται λάμη. καὶ τὸ ᾱ τρέπει εἰς ω̄

ὧς ἐμάθομεν. φάρος φαρμός. καὶ γίνεται λῶβη. καὶ βαρύνεται. ἐπειδὴ τὰ εἰς βη λήγοντα δισύλλαβα. φύσει μακρᾷ παραλήγονται. ὑπεσταλμένης τῆς οι διφθόγγου. βαρύνεται. θίβη στίβη. σημαίνει τὸν ὀρθρινὸν παγετόν. λωβή. τὸ δὲ λαβή ὀξύνεται. ἐπειδὴ τὰ εἰς βη λήγοντα κύρια. βαρύνεσθαι θέλει. εἰ μέντοι ῥῆμα ὑπάρχει ἢ προσηγορικόν. ὀξύνεσθαι θέλουσι. τοῦ μὲν προτέρου παράδειγμα. Φοίβη. βλάβη. Βοίβη. κύρια ὀνόματα βαρύνεται. τὸ μέντοι λαβή καὶ στιλβή. καὶ λοιβή. ὀξύνεται. ῥηματικὰ ὑπάρχοντα. καὶ προσηγορικά. σεσημείωται. τὸ λῶβη. καὶ βλάβη. λῶβη δὲ τὸ λω μέγα. κανὼν γάρ ἐστιν ὁ λέγων. τὰ εἰς βη λήγοντα δισύλλαβα βαρύτονα, φύσει μακρᾷ θέλουσι παραλήγεσθαι οἷον ἥβη. θίβη. στίβη.

Μὴδ' ἄμυδις στίβη τε κακὴ καὶ θῦλος ἔρεβη

ἢ παρὰ τὸ λῶ τὸ θέλω· κατ' ἀντίφρασιν
ἣν οὐδεὶς θέλει.
Λώβη· κυρίως· ἐπὶ τῶν ἠκρωτηριασμένων.
ἀπότεμνον γὰρ τοὺς λωβούς· τὰ
ἄκρα τῶν εἰκόνων· καὶ λώβη ἡ ὕβρις.
λώβη· οἷον λοβόη· ἐπὶ κακῷ περι-
βόητος· πάσιν ἴνω· ζήτει παρὰ τοῦ
λῶ· εἰς τὴν ἑρμηνείαν τοῦ ὁμήρου.
Λωτόν· εἶδος χορτοβολίου.
Λώϊον· κρεῖσσον βέλτιον· γίνεται
παρὰ τὸ λῶ τὸ θέλω· ὃ γὰρ νοεῖ
τις ἑαυτῷ συμφέρον· τοῦτο καὶ θέ-
λει· καὶ τὸ συγκριτικὸν λώον· καὶ
ὡς πλεῖον· ἔαον λώϊον.
Λῶμα· τὸ σκράπεδον.
Λῶνος· εἰς τὸ ἔαον.
Λωπίζω· τὸ ἐκδύω· ἐξ οὗ καὶ λωπο-
δύτης· ὁ κλέπτης· ὁ τοῦ νεκροῦ
τὸ ἱμάτιον ἀφαιρούμενος.
Λωπός· τὸ ἱμάτιον τοῦ νεκροῦ.
ἀναλογεῖ γὰρ τῇ λοπίᾳ τοῦ δέρμα-
τι.
Λῷστοι· βέλτιστοι· ἠγαπημένοι.—

πεποιθημένοι· ἔτι δὲ ὄνομα ὑπερ-
θετικόν· ἀπὸ τοῦ λῷος· τὸ ὑπερ-
θετικὸν λῷστος· τοῦτο παρὰ τὸ
λῶ τὸ θέλω· τὸ γὰρ καλὸν πάντες
θέλουσιν· ὅμηρος·
λωΐον· δεῖ γινώσκειν ὅτι τὰ εἰς ων
καθαρὸν δισύλλαβα· συγκριτικά·
διφθόγγω θέλουσι παραλήγεσθαι.
τέσσαρα δὲ εἰσι ταῦτα· καὶ τὰ μὲν
δύο ἐκφωνεῖται τὸ ι· οἷον πλείων,
μείων· τὰ δὲ δύο ἀνεκφώνητον
αὐτὸ ἔχουσιν· οἷον λῷον· ῥᾷον·
τὸ δὲ λῷον· γίνεται ἀπὸ τοῦ λῶ
τοῦ σημαίνοντος· τὸ θέλω· ὃ γὰρ
νοεῖ τις· τὸ δὲ μείων· ἀπὸ τοῦ
μῆκος· ἢ ἀπὸ τοῦ μιᾶς· ὅ ἐστιν
ἐλαττότερον· ἢ ἀπὸ τοῦ μικροῦ.
καὶ κατὰ συγκοπὴν καὶ κρᾶσιν τοῦ
ε· καὶ ι· εἰς τὴν ει δίφθογγον γέ-
γονε μείων· καὶ τὸ πλείων. ἀπὸ
τοῦ πολὸς πολείων· καὶ κατὰ συγ-
κοπὴν πλείων·

Λωφήσω· λέγεται τὸ καταπαύσω.
λόφος δὲ τὸ ἐπανάστημα.
Λωποδύτης· παρὰ τὸ ἀποδύειν τὸ
λῶπος ὅ ἐστι τὸ ἱμάτιον· κατὰ
Ἀθηναίους.
Λύσσα· ἡ μανία· παρὰ τὸ λύειν
τῶν κατὰ ψυχὴν λογισμῶν· καὶ
τοῦ πάλαι τῶν φρενῶν καταστή-
ματος· ἢ παρὰ τὸ ἀφ' ἑαυτοὺς εἶ-
ναι τοὺς κατεχομένους ἐξ αὐτῆς.
Λωφῆσαι· ἔστι δὲ ἡ λέξις μεταφο-
ρική· ἀπὸ τῶν βοῶν τῶν ὑπὸ
λόφων ἀναπαυομένων· ἡνίκα ἀνε-
θῶσι τοῦ ζυγοῦ· ἐκ τούτου οὖν γί-
νεται λωφῶ ῥῆμα· καὶ ἐπαύξη-
σιν τοῦ ο εἰς ω· ἰστέον ὅτι τὸ
λωφεῖν λέγει πρώτης συζυγίας
τῶν περισπωμένων· μετελώφει
γὰρ φησὶν ἀπολλώνιος ὁ ποιη-
τής· ἀντὶ τοῦ μετελώφει· καὶ
μετὰ τὸν πόνον ἀνεπαύοντο· ὅθεν

δῆλον· ὅτι πρώτη τῶν περιβοπωμέ-
-νων·

Λόφος δέ ἐστι τὸ ἐπανάστημα· ἐκ τοῦ
λεύω· τὸ βλέπω.

Λωφήσασα· παυσαμένη· λήξασα.
κυρίως δέ λωφῆσαι· τὸ παύσασθαι
περὶ τὸν λόφον· ἀπὸ τῶν ὑποζυγί-
-ων τῶν ἀπὸ τῶν ἔργων ἀπολυο-
-μένων· καὶ ὑπὸ λόφον ἀναπαυσα-
-μένων· συντάσσεται μετὰ αἰτια-
-τικῆς.

Λωφήσω· τὸ καταπαύσω γενική.
λόφος δέ τὸ ἐπανάστημα τῶς.

# Ἀρχὴ τοῦ Μ̄ στοιχείου.

## τὸ Μ̄. μετὰ τοῦ Ᾱ.

Μαγγανεία. στρεβλίτης. ἡ μαγγανεία ἐκ τοῦ μαγγανεύω. τοῦτο παρὰ τὸ ἄγω. ἄγγανον καὶ μάγγανον.

Μάγειρος. διὰ τὸ μάγματα ἀγείρειν. μάγμα γὰρ ἡ ἄρτυσις. ἀγείρειν δὲ τὸ ποιεῖν.

Μάγειρος ὡς ὄνειρος. πέπειρος. ἄγειρος. καὶ φασὶ γενέσθαι παρὰ τὸ μάσσειν. Ἀλεξίων δὲ φησίν. ἤτοι ὅτι μαγεία τίς ἐστιν ἡ ἄρτυσις τῶν ἐδεσμάτων. ἢ ἐπεὶ εἰς μικρὸν αὐτὰ συγκόπτουσιν. ἐκματικὸς γὰρ ὁ χαρακτήρ. καὶ ἁρμόζει τῷ μάσσω ἔκματι.

Μαγίδες. παρὰ τοῖς Ἄραψι. μαγὶς τὸ ὀκτάρειον. καὶ λέγονται δὲ μαγίδες, μάγαι. τουτέστιν ἄρτοι. οὓς καταφέρουσιν οἱ εἰς τροφὴν κατιόντες.

Μαγὶς ἡ τράπεζα. ἔνθα τὰ μεμαγμένα.

Μάγκιπες. ῥωμαϊστὶ οἱ τεχνῖται τοῦ ἄρτου.

Μάγος· παρὰ τὸ μάσσω· τὸ μαλάσσω.
ὁ διὰ τῶν μαλακτικῶν αὐτοῦ καὶ μαγι-
κῶν ἐμπλασ. τὰ μέλλοντα προλέγων.
ἢ παρὰ τὸ ἄγος ὃ σημαίνει τὸν εὐ-
παρον· ἄγος καὶ μάγος· ὁ πιστὸς
καὶ εὐπαρὸς παρὰ ἀυτοῖς· τὸ δὲ μάγος
σημαίνει δύο τὸν μάγον καὶ μαλακ-
τικὸν καὶ τὸν τὰ μαγεῖα ἐργαζόμε-
νον.

Μάξαι· εἰς τὸ ἀμάξων· καὶ μαγίδες
καὶ μείζων.

Μαδεκωμ· λέγει τοὺς καίλους.

Μάζας· ψωμία ἀπὸ τοῦ μάσσω τὸ
μαλάσσω· τροπῇ τῶν δύο σσ εἰς
ζ· λέγονται δὲ μάζαι. φύραμα γινόμε-
νον· πινόμενον δὲ ποτὲ μὲν ἐξ ὕδατος.
ποτὲ δὲ ἐξ ὀξυκράτου· ἢ ὀξυμέλιτος.
ἐστὶ γὰρ τρόφιμον.

Μάζα· παρὰ τὸ μάσσω· ἀντὶ τῶν δύο
σ εἰσῆλθε τὸ ζ· ἔστιν ἄρτος· φύραμα.

Μαζός· εἰς τὸ μαστός.

Μαῖα· μαιότης.

Μαιμάσσει· σφύζει· προθυμεῖται.
κυματοῦται· παρὰ τὸ αἷμα αἱμάσσω
καὶ πλεονασμῷ τοῦ μ μαιμάσσω.

ἢ παρὰ τὸ μῶ· τὸ ζητῶ. καὶ μάσσειν
μαλάσσειν ὡς οἶμαι καὶ τήκειν. καὶ
δαπανᾶν καὶ μαραίνειν. καὶ ἀναλίσκειν.
τὰς δέμας μαρώθ. λέγει τοὺς διϋλισ-
-τῆρας. ἤτοι ἰθμούς.

Μαιμῶ· εἰς τὸ ἀμαιμάκετον. καὶ
βλέπεται.

Μαινόλης· μαινόμενος ἢ μανιοποιός.
παρὰ τὸ μαίνω καὶ τὸ ὅλος. γίνεται
μαινόλης. ὥσπερ τὸ ἐξώλης. σεσημει-
-ωται τὸ μαινόλης. διὰ τοῦ ο μικροῦ.

Μαίνω· τὸ ὀργίζομαι. καὶ εἰς τὸ μη-
-νιεῖ.

Μαιονία. εἰς τὸ μήιον.

Μάϊος· Φιλόξενος δὲ λέγει ὅτι παρὰ
Αἰολεῦσιν ἡ γραφή. διὰ τοῦ ι. ἔστι δὲ
μάγειρος. ἐπεξουσιαστής. ὡς ἐκ τοῦ
μαγίστατος ἀπὸ μαίας τῆς ἄτλαντος.
τῆς ἑρμοῦ ὀνομασθῆναι μάϊον. κατὰ
διάλυσιν τοῦ ι.

Μαινὰς βάκχη. ὀρχουμένη. καὶ μαινὰς
ἡ παράφορος. καὶ μαινὰς ἡ ποτ.

Μαῖρα ὑπό τινων ὁ ἥλιος. ἀπὸ τοῦ
μαρμαίρεσθαι ὑπ' αὐτοῦ . . . πάντα.
ἔνια τῶν φυτῶν. λέγει δὲ ὁ κατάστερος.

ὁ κατεστιγμένος κύων· μαῖρας. κάλλι-
στον δὲ ἀπὸ τοῦ μαρμαίρειν. ὅ ἐστι
καταλάμπειν.

Μαίρω· εἰς τὸ ἀμαλδύνω· καὶ ἐμμαρής
καὶ ὅμηροι· καὶ σμαραγῶ.

Μάκαρ· πόδας ὠθείας ἔχει. τετῖς.
μάκαρ. μάκαρος. μακάριος. ὅπερ ἀπὸ
τοῦ κῆρ ὃ σημαίνει τὴν φθαρτηφόρον
μοῖραν γέγονε. καὶ ἐξ αὐτοῦ μάκαρ.
ἀποκοπῇ τῆς δευτέρας συλλαβῆς.
ἡ κλητικὴ μακάριος. ὁ μὴ κηρὶ τουτέστι
φθορᾷ ὑποκείμενος. οἱ δὲ πλεονασμῷ
τοῦ μ ἀκάριος. καὶ μακάριος. μακάρι-
στος ὁ πάντοτε ἐν ἀγαθοῖς ὤν.

Μαίας· ὁ ἑρμῆς. παρὰ τὸ μαίεσθαι
τὸν λόγον.

Μάγοι ἔθνος. οἱ ἐλαφοῦ ἐπᾴδοντες· τοὺς
ἀλγοῦντας ἰῶνται. ὡς καὶ οἱ φρύγες
αὐλοῦντες. τοὺς ἀλγοῦντας τόπους ἰῶντο
τῶν πασχόντων. ἤδη προσπνέοντες.

Μάγιστρος. ὀφφικίων ὄνομα. ὁ δὲ ἧττον
ἡγούμενος τῶν αὐλικῶν κατὰ λόγον
διασημασ.

Μακεδνὸς μικρός. μηδαμινός.

Μαγεῖα. ἡ κατασκευή τῶν ὁμοιομάτων. καί ἡ ἄρτυσις. τῶν ἑψημάτων.

Μάκαρες. οἱ μή πεπτωκότες ὑπό κῆρας.

Μακαρῖται. οἱ ἀποθανόντες. οἱ ἤδη τό μῆκος. ἐπιλαμβανόμενοι. κήπισοι. ὅθεν καί μακαρίων ὁ τύμβος ὁ ἐς μακρόν.

Μακκοᾶ. ἀνοηταίνει. μωραίνει. παρά τό μή καί τό κοῶ· τό νοῶ. μηκοῶ. καί κατά τόν κανόνα τόν λέγοντα. ὅτι ἐπείσοδος συμφώνων τερπνήν ποιεῖ. ὡς ἥδω. ἁνδάνω. ἐπεισῆλθε τό ν. καί ἐτράπη τό η εἰς α.

Μακράν. ἐπίρρημα τοπικόν μακρότητος. γίνεται δέ παρά τό μακρός. τοῦτο παρά τό μῆκος μηκερός. καί ἐν συγκοπῇ μακρός.

Μακρά. ὄνομα ἐκ τοῦ μακρός. τοῦτο ἐκ τοῦ μῆκος. καί ὥσπερ παρά τό κῦδος. γίνεται κυδρός. καί κυδρή, οὕτω καί ἐκ τοῦ μῆκος γίνεται μηκερός. καί συγκοπῇ μηκρός καί μακρός. ἡνίκα γάρ ἐπλεόνασε τό σύμφωνον. ἐτράπη τό

μακρὸν εἰς βραχύ. τὸ δὲ μακρὰ βιβῶν-
τα. ἐστὶν ἐπίρρημα μεσότητος. ἀντὶ
τοῦ μεγάλως. ὡς τὸ ταχέα. τάχα.
ὠκέα. ὦκα. οὕτω καὶ τὸ μακρέα μα-
κρά. ὁ δὲ κανὼν ὡς τὸ ἀντίβιος.

Μακρός. ἐτυμολογεῖται. παρὰ τὸ
μήκεις ἄκρου διήκειν. τουτέστιν ἀρ-
χῆς. ἢ παρὰ τὸ μῆκος μηκερός. καὶ
συγκοπῇ μηκρὸς καὶ μακρός.

Μακρώνης. παρὰ τὸ μακρώνω. τοῦτο
παρὰ τὸ μακρός. τοῦτο παρὰ τὸ μα-
κούω. παρὰ τὸ μηκύειν. ὃ ἐστὶ νοεῖν.
μήκεος. μηκρός. καὶ κατὰ συγκοπὴν
μακρός.

Μακρόθυμος. παρὰ τὸ μακρὰν ἔχειν τὸν
θυμόν.

Μαθεῖν. μήθω. ἐστι ῥῆμα. ἀφ' οὗ ἔμαθον.
δεύτερος ἀόριστος. τροπῇ δὲ γέγονε τοῦ
δ. εἰς θ. μήδω. μήθω.

Μάκτρα παρὰ τὸ μάττειν. ἐν αὐτῇ τὴν
μᾶζαν. μᾶζα δὲ ἄρτος.

Μάκαρες. ἀπὸ τῆς μάχης. ὁ δὲ ..
καθ' ὁμοιότητα. ἀπὸ τοῦ εἴκειν καὶ ὑπο-
χωρεῖν δῆλον. γάρ.

Μακελλάριος. ὁ σφάζων τὰ ζῶα. μάκελ-
λαρ καὶ μακέλλης. ῥωμαϊστὶ ἐστὶν ὁ σφα-
γεύς.

Μακκαβαῖος. κατὰ πέρσας κάρανος.
τουτέστι δεσπότης. τῇ δὲ σύρων διαλέκ-
τῳ ἀνδρεῖος. πολεμιστής. δυνατώτα-
τος.

Μαιμώωσα. οἱ μὲν. μαμώωσα. καὶ
πλεονασμῷ τοῦ ι μαιμώωσα. οἱ δὲ αἰ-
μώωσα. καὶ πλεονασμῷ τοῦ μ μαιμώ-
ωσα. ἡ ἐνθουσιῶσα καὶ ὀξέως ὁρμῶ-
σα. ἡ τοῦ αἵματος γεννητικῶς ἔχουσα.

Μαῖα. μαίω. ῥῆμα τὸ ζητῶ. καὶ ῥη-
ματικὸν ὄνομα μαίω. ἡ κατὰ γαστρὸς
παιδία ζητοῦσα.

Μάκρα. ἐν ᾗ ἔμασσον. οἱ Ἀττικοὶ κάρ-
δοπον ἐκάλουν.

Μακέλλη. ἡ μὴ κέλλουσα τοῖς ὀδοῦσι.

Μάλαλθρον. μάλα ἄλθετε. ἤγουν λίαν
βλέπει. ὥριον.

Μάλαι. ἐκ τοῦ μάλου τῶν τειχῶν.

Μάλακός. ὁ μάλα ἤγουν πάνυ κακός.

Μανία. μανὸν ἔλεγον τὸ ἀραιόν. ὡς
καὶ Αἴσχυλος

ἐκ μανοῖς πήνοις πέπλοις
τουτέστιν ἀραιοῖς.

β.

Μανάνθου τὴν ἀραίωσιν καὶ χαυνότητα τῶν θριχῶν, ἀραιὸν γὰρ τὸ ἀσθενές. καὶ τοὐναντίον δὲ, ἀγχίνου καλεῖται παρὰ τὸ συνεχεῖς καὶ πυκνὰς ἔχειν τὰς θρίχας. καὶ πύκνος. καὶ πύκινος. καὶ αὕτη ἡ συνέχεσις. ἔστι σύμβλησις καὶ οἷον γνῶσις θριχῶν.

Μαλάχη· διὰ τὸ μάλα χέειν τὸν θυμόν.

Μανία· λύττα· φοῖτις· κόρυβος· μάργος.

Μάνδρα· παρὰ τὸ ἄντρον ἄντρα· καὶ μάνδρα. τὸ δὲ ἄντρον· ἐκ τῆς ἀνὰ προθέσεως καὶ τοῦ τρῶ τὸ τρύπῶ.

Μαλακός· παρὰ τὸ μαλάσσω· μαλακός· ὡς παρὰ τὸ λεύσσω· λευκός.

Μάλεια ὄνομα ὄρους· διὰ τῆς ει διφθόγγου· γράφεται· εἴρηται καὶ χωρὶς τοῦ
β. ι· μαλέα. ὡς καὶ παρ' Εὐριπίδῃ.
ἰστέον δὲ, ὅτι ἡνίκα μὲν διὰ τῆς ει διφθόγγου γράφεται· προπαροξύνεται μάλεια. ἡνίκα δὲ διὰ τοῦ ε μόνου παροξύνεται οἷον μαλέα. τὸ δὲ μάλεια. διὰ τῆς ει διφθόγγου γράφεται.

Μάλαι. ἐκ τοῦ μαλοῦ τῶν τειχῶν καὶ μάλη.

Μαλλός ἐπὶ τῶν πλαγίων τῶν τειχῶν τῆς κεφαλῆς. εἴρηται δὲ ἀπὸ ἐμφε=ρείας τῶν τοῦ προβάτου μαλῶν. μαλὸς ἀπὸ τοῦ μῆλον τοῦ δηλοῦντος τὸ πρόβατον. μαλός. καὶ πλεονασμῷ τοῦ λ. μαλλός.

Μαλακισθέντες. ἀντὶ τοῦ χαυνω=θέντες. τὸ θέμα μαλακίζω. γίνεται ἐκ τοῦ μαλακός. τοῦτο ἐκ τοῦ μαλάσ=σω.

Μαλάσσω. ἐκ τοῦ ἀλλάσσω. τὰ γὰρ μα=λασσόμενα. ἀλλάσσεται.

Μαλάχη. παρὰ τὸ ἔκλυτον καὶ ἀκράτη=τον εἶναι. ὀλισθαίνουσαν ἐκ τῶν χει=ρῶν. ἔστι δὲ εἶδος φυτοῦ τὸ λεγόμενον μολώ.

Μαλερῷ πυρί. μαραντικῷ. καυστικῷ.

Μᾶλλον. λίαν. πάνυ. πλέον. ἐκ τῆς μὴ ἀπαγορεύσεως. καὶ τοῦ ἄλλου. γίνεται μάλλου καὶ μᾶλλον. μᾶλλον τὸ μα μα=κρόν. πᾶν δίχρονον ἔχον διπλασιασ=μὸν ἀμετάβολον ἐπαγομένου συστέλ=λει αὐτὸ οἷον ἀμνός. Φαλκονίλλα.

σεσημείωται τὸ μᾶλλον παρὰ Ἀττικοῖς
ἐκτεινόμενον.

Μαλῶ· εἰς τὸ ἀμαλδύνω.

Μαμερτῖνοι· μάμερτος ἐν ἰταλίᾳ ὁ ἄρης· ὅθεν καὶ οἱ ἐν Σικελίᾳ οἰκήσαντες στρατιῶται· μαμερτιανοὶ ὠνομάσθησαν· οἱ ἴσα ἐργαζόμενοι ἄρει.

Μανδύλιον· μανικήλιον· καὶ μανδύλιον· τὸ σπογγίζον τὰς μάνους· τουτέστι τὰς χεῖρας.

Μάνδρα· παρὰ τὸ ἄντρον ὃ σημαίνει τὸ σπήλαιον· ἐξ αὐτοῦ ἄντρα· καὶ τροπῇ τοῦ τ εἰς δ· καὶ πλεονασμῷ τοῦ μ μάνδρα· ἢ παρὰ τὸ μένειν ἐν αὐτῇ τὰ τετράποδα.

Μάννα· σημαίνει τι τοῦτο· οὐ γὰρ σημαίνει τὴν τροφὴν κυρίως· ἠγνόουντο γὰρ τὸ πῶς· καὶ εὕρισκον αὐτὸ ὅσον ἀρκέσαι αὐτοῖς τοῦ φαγεῖν. μᾶ λέγοντες· καὶ λοιπὸν ἐλθόντες οἱ ἕλληνες· προσέθηκαν τὸ να· καὶ σημαίνει τι τοῦτο· εἶχον γὰρ τοῦτο ὅτε ἤθελον· εἰς τινὰ τόπον καὶ ἀπὸ δισχιλίων πηχῶν ἐποίουν τὴν σκηνήν.

Μάννα. μάρμαρον. λέγουν δὲ ἀπὸ τοῦ
μω τὸ ζητῶ. ὄνομα ἐθνικόν. ἡ μάννα
τῆς μάννας. ἣν πάντες ἐπιζητοῦσι.
καὶ ἐκ τούτου τὸ μάρμαρον. ὠνόμασαι.
καὶ τὸ οὐδέτερον τὸ μάννα.
Μανσώτων. εἰς τὸ ὑλομανσώτων.
Μαντικός. εἰς τὸ ἀντιμελῆ.
Μαντίνεια. διὰ τῆς ει διφθόγγου
ἐστὶ δὲ ὄνομα πόλεως. γίνεται παρὰ
τὸ μαντινεὺς μαντίνεια.
Μάντις. μάντεις. καὶ μαντιπόλος.
Μαντεία. ὁ χρησμός. οἰωνός. καὶ ὁ προ=
=φήτης ὁ μάντις.
Μανῶ τὸ ὀργίζομαι. καὶ εἰς τὸ μηνιῶ.
Μαπία. σπογγίστρια. παρὰ τὸ μάσσω.
τὸ μαλάσσω. συντάσσεται μετὰ δοτι=
=κῆς καὶ αἰτιατικῆς.
Μαλίρη. σημαίνει τὴν κόνιν τὴν γι=
=νομένην ἐκ τοῦ κατασβέννυσθαι τοὺς
κάρβωνας. τὰ γὰρ διὰ τοῦ ιλη μονο=
=γενῆ μὴ ὄντα ἀπὸ κράσεως. καὶ μὴ
ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ι. ἀποστρέ=
=φονται τὴν ει δίφθογγον. οἷον σμίλη,
σμιλίον. ἴλη τὴν ἄθροισιν. σπατίλη

τὸ ἀπόζυμα τῶν δερμάτων. μὴ ὄντα ἀπὸ κράσεως. ὅτι ἡ εὐθεῖα τὸ ἕλη. γίνεται δέλη. καὶ κράσει δείλη. μὴ ὄντα ἀπὸ τῶν ἐχόντων τὸ τ. ὅτι ἀπὸ τοῦ ἕλη. τοῦ σημαίνοντος τὴν θερμασίαν. γίνεται εἵλη πλεονασμῷ τοῦ τ. πρόσκειται μονογενῆ. διὰ τὸ δειλός. δειλή. χωρὶς τῆς ὀφειλὴ τοῦ σημαίνοντος τὸ χρέος. καὶ ἀπειλή.

Μαραίνω. παρὰ τὸ ἄρης. ὃ σημαίνει τὸν πόλεμον. ἀραίνω. καὶ πλεονασμῷ τοῦ μ. μαραίνω. καὶ εἰς τὸ μαρανάμενας.

Μαργαρίτης. μαρμαρυγὴ ἐκ ἐρύθρου.

Μάργος ὁ μαινόμενος. ὃ μή ἐστιν ἀρωγή. ἢ παρὰ τὸ ἐσκεῦφθαι τί ἐργάζεσθαι ἀγαθόν. παρὰ τὴν μὴ στέρησιν καὶ τὸ ἔργον. καὶ εἰς τὸ ἐτύχθη.

Μαρμαίρω. εἰς τὸ ἀμάρυγμα. καὶ ἀμαυρός καὶ μαῖρα. καὶ μάρτυς.

Μαρμαρέην. ἡ εὐθεῖα μαρμαρέη. ὁ κανὼν τὰ εἰς ος ἀρσενικὰ ποιοῦντα κατ' ἰδίαν θηλυκά. ἐκ τοῦ μαρμαρέως. τουτέστιν ἐκ τοῦ μαρμάρεος. ἀποβολὴ τοῦ

ι. ἐπὶ γὰρ τῶν διὰ τοῦ ειος κλητικῶν. οἱ ἴωνες ἀποβάλλοντες τὸ ι· τῆς ει διφθόγγου· διὰ τοῦ εος προφέρουσι. φλόγειος· φλόγεος· ἐς δόκεα· φλόγεα· τὸ ἐστὶ διφθογγον· τὰ διὰ τοῦ ειος κτητικὰ, σημαίνοντα μέρος σωματικόν. ἢ μετουσιαστικόν· διὰ τῆς ει διφθόγγου γράφονται. σιδήρειος. χρύσειος. οὕτω καὶ μαρμάρειος· γίνεται ἐκ τοῦ μάρμαρον. σημαίνει δὲ τὸ λαμπρόν· τοῦτο ἐκ τοῦ μαρμαίρω τὸ λάμπω. μέλλοντα οὐκ ἔχει.

Μάρις. μέτρον ἐστὶ παρὰ ποντικοῖς. δύο ὑδριῶν. ἡ δὲ ὑδρία παρ' αὐτοῖς δέκα ξεστῶν. ὥστε εἶναι τὸν κύπρειον. κ ξεστῶν ἀλεξανδρειανῶν· καὶ εἰς τὸ κύπρος.

Μαυλίς. ἡ μάχαιρα. καὶ ἴσως εἴρηται παρὰ τὸ μαυρὸν. ὅ ἐστι τὸ ἀμαυρὸν τῇ λαμπηδόνι. ὅτι δὲ ἄνευ τοῦ α λέγεται. σαφὲς παρ' ἡσιόδω. β.

Ῥεῖα τέ μιν μαυρῶσι θεοί —

Δημήτριος δὲ παρὰ τὸ ὁμοῦ αὐλίζεσθαι. τοῖς φοροῦσιν. ὁ μαυλὶς. ἀποπίπτοντος

ὅσω τοῦ ο̄ π̄. ἔμεινεν ἄυλις.

Μάραθρον. ἕωμαῖοι λέγουσιν ἀυτὸ φαινούκλουμ. παρ' ὅτι φαιὸν ποιεῖ τὸν ὄκλον. ἤγουν τὸν ὀφθαλμόν. ἔλληνες δὲ διὰ τὸ μαραίνειν καὶ ξηρὰν ποιεῖν τὴν σάρκα. ἤτοι φωριᾶν ἐκαιόμενον πολύ.

Μάραθον. κατ' ἀποβολὴν τοῦ ε̄. μάρανθον γάρ ἐστι. παρὰ τὸ μαραίνειν εὐθέως τὸ ἄνθος.

Μάταιος. παρὰ τὸ μάτος. ὅπερ εἴρηται παρὰ τὴν ἄτην. μάτιος ὡς φίλος. φίλιος. καὶ φίλαιος. οὕτω μάτιος. ἀφ' οὗ μάτια καὶ μάταιος. ὡς παρὰ τὸ θάλασσα. θαλάσσιος θαλασσαῖος. καλλίμαχος.

β. πολὺ θαλασσίου κανδότερον ἐπιδεῖν. ὡς παρὰ τὴν ὥραν ὥριος. καὶ ὡραῖος. ὅμηρος.

Μάρμαρον. διὰ τὴν μαρμαρυγήν. ἤγουν τὴν λάμψιν. ἢ διὰ τὸ μὴ ῥεῖν αἴρεσθαι. ἢ διὰ τὸ μαρμαραίνειν. ἤγουν στίλβειν.

Μασῶμαι. παρὰ τὸ σῶ ὃ δηλοῖ τὸ σείω καὶ κινῶ. ἀφ' οὗ τὸ σείω. καὶ προσλαβὼν

τὴν μᾶ συλλαβὴν ἐποίησε τὸ μασῶ.
καὶ μασῶμαι. τὸ εἰς λεπτὰ τὴν φωνὴν
σχηματίζειν καὶ κατακόπτειν.

Μαστίχαυλος. πτωχός. καῦλος.

Μάρναται. μάχεται ἐν πολέμῳ.
παρὰ τὸ μαραίνεσθαι καὶ φθείρεσθαι.

Μάρπαι. κυρίως μάρπαι ἐστί. τὸ
ταῖς χερσὶ συλλαμβάνειν. μάρη γάρ.
ἔλεγον τὰς χεῖρας. ἔνθεν τὸ εὐχερὴς
εὐμαρής. ὥς πως εὗρον ἐν ὑπομνήματι.

Μάρμιτον. εἰς τὸ βάρβι:

Μαρνάμενοι. μαχόμενοι ὅμηρος.

Μαρναμένοιϊν. ἀπὸ τοῦ μαρνῶ. μάρ-
-νημι. μαρνάμενος. μαρναμένοιν.
καὶ πλεονασμῷ τοῦ ι μαρναμένοιϊν.
τὸ δὲ μαρνῶ. ἀπὸ τοῦ ἀρνός: οἱ
παλαιοὶ γὰρ τὰς πραγματείας,
μετ' ἀρνῶν ἐποιοῦντο. ὅθεν καὶ τὸ
ἀρνῶ. ἀρνοῦμαι.

Μαρνάμενος. ἐκ τοῦ μάρνημι. τοῦ-
-το ἐκ τοῦ μαραίνω τοῦ σημαίνοντος
τὸ φθείρω. ὁ μέλλων μαρανῶ. καὶ
συγκοπῇ μαρνῶ καὶ ἐξ αὐτοῦ μάρνη-
-μι.

Μάρναθαι· μάχεσθαι.

Μάρπτω· ὃ δηλοῖ τὸ καταλαμβάνω. καὶ εἰς τὸ ἁμαρτία.

Μαρσίππιος· ὃ ἐν αὐτῷ πάντα μάρπτων· καὶ συνέχων. ἔστι δὲ τὸ ζύγιον.
ιω.

Μάρτιος· παρὰ τὸ ἄρην. ἄρτιος. καὶ μάρτιος κατὰ πλεονασμὸν τοῦ μ̄. τὸ γὰρ μηνὶ τούτῳ ἑορτὴν ἦγον τῷ ἄρει· ἐφωρετὴν γὰρ λέγουσιν ἑλλήνων παῖδες· τῆς τῶν ὅπλων γυμνασίας. καὶ πρὸς τιμὴν αὐτοῦ ἔθυον τράγον. καὶ ἐχεῖον τὸ ἐκ τοῦ αἵματος αὐτοῦ. ὅθεν καὶ τὸ γυμνάσιον. μέχρι τῆς δεῦρο κεκράτηται παρ' ἕλλησι· καὶ τὸ τῶν κεμάτων ἄλευρον κατὰ μίμησιν χέονται. ἀντὶ τοῦ αἵματος.

Μάρτυροι δύο γενικὰς ἐπιδέχονται. ὡς τὸ ψιθυρεῖς, ψιθύρου. οὕτω μάρτυς μάρτυος· καὶ πλεονασμῷ τοῦ ε̄ μαρτύρος. καὶ κλίνεται μάρτυρος μαρτύρου· τὸ δὲ μάρτυς γίνεται παρὰ

τὸ μάρπτω· τὸ καταλαμβάνω. μάρπ-
τυς καὶ μάρτυς. ἀποβολῇ τοῦ π.
ὁ ἐκ τοῦ κατειληφέναι δυνάμενος
περὶ αὐτοῦ εἰπεῖν. ἢ παρὰ τὸ
μαρμαίρω τὸ λάμπω. ὁ λαμπρύνων
καὶ εἰς φῶς ἄγων τὸ ζητούμενον.

Μάρτυς ἐλέγχου διαφέρει. μάρτυς γὰρ
ἐπ' ἀγαθοῦ λαμβάνεται. ἔλεγχος
δὲ ἐπὶ φαύλου.

Μάρτυς παρὰ τὸ μαρμαίρω τὸ λάμ-
πω. ὁ εἰς φῶς ἄγων τὰ πράγματα.

Μαρτυρία. παρὰ τὸ μάρτυς. τοῦτο
παρὰ τὸ μαρμαίρω τὸ λάμπω. ἐπι-
δέχεται κλίσεις τρεῖς· μάρτυς μάρ-
τυρος. καὶ μάρτυρος μαρτύρου. καὶ
ὅμηρος.

—— τὼ δ' αὐτὼ μάρτυροι ἔστων.

Μαρύσσω. εἰς τὸ ἀμάρυγμα.

Μαρῶ. εἰς τὸ ἀμαλδύνω.

Μασθὸς παρὰ τὸ μῶ τὸ ζητῶ. καὶ
τὸ θῶ τὸ θηλάζω. κατὰ ἀντίφρασιν.
ὁ μὴ πρὸς τὸ θηλάζεσθαι ζητούμενος.

Μάσσω. εἰς τὸ ἐπάσαντο. καὶ μάγος
καὶ μασπία. καὶ μείζων.

Μασάζω. εἰς τὸ κεκλαγώς.

Μάστιξ. ἐκ τοῦ μαστίζω. τοῦτο παρὰ
τὸ μάσσω. τὸ μαλάσσω. ἢ παρὰ τὸ
ἱμάσσω τὸ πλήσσω.

Μαστίζω. ἀπὸ τοῦ ἴς ἰνός. ὃ σημαί-
νει τὴν δύναμιν γίνεται ἱμάς. ἡ γε-
νικὴ ἱμάντος. καὶ ἐξ αὐτοῦ γίνεται
ἱμαστίζω. καὶ ἀποβολῇ τοῦ ι μαστί-
ζω. τὸ δυνάμενον πλήσσειν.

Μάστιξ. παρὰ τὸ ἱμάσσω. σημαίνει
δὲ τὸ πλήττω. τοῦτο παρὰ τὸ ἱμάς.
ὃ σημαίνει τὸν λῶρον.

Μάταξ. μάστακος διαφέρει μάταξ
τὸ στόμα. μάσταξ ἡ μεμασημένη τρο-
φή.

Ματζουκά. ἰσχνόχειρ. μάνος γὰρ ἡ
χείρ. καὶ μάτζου τὸ ἰσχνόν.

Μαστροπὸς ὅ ἐστι μαυλιστής. μαστροπὸς
ἥκει τοὺς ἐραστὰς καὶ ἐρωμένους.

Μάτειχες. ἀντιγραφαί. ἢ ἀντιγραφαί.

Μαστροπός. παρὰ τὸ μαίεσθαι τοῖς
τρόποις.

Μαστροπός. μὰ τὸ σημεῖον τὴν μέσ-
καὶ τὸν τρόπος. οἱονεὶ ἡ δοκοῦσα
ἔχειν μέσος τρόπου. σημαίνει δὲ
τὴν μαυλιστρείαν. ἐκ αὐτοῦ δὲ τετάχθω

καὶ τὸ προαγωγός.

Μαστὸς καὶ μαζὸς διαφέρει. μαστὸς μὲν γάρ ἐστιν ὁ γυναικεῖος κυρίως. διὰ τὸ εἶναι μεστὸς γάλακτος. μαζὸς δὲ ὁ ἀνδρεῖος. ὡς καὶ ὁ ποιητὴς δηλοῖ

γνωρὴν μὲν μαζῷ πέλασε τόξῳ δὲ σίδηρον.

τινὲς δὲ διαφόρως χρῶνται ταῖς λέξεσι.

Μαστός. παρὰ τὸ μεστὸς εἶναι γάλακτος. ἢ ἀπὸ τοῦ μαστεύεσθαι ὑπὸ τῶν παι-
δίων. ἢ παρὰ τὸ μαστεύεσθαι ὅ ἐστι ζη-
τεῖσθαι ὑπὸ τοῦ βρέφους.

Μασοί. κυρίως ἐπὶ τῶν γυναικείων. οἱονεὶ μασθητοί. ἤτοι γὰρ ἄλλοις τρο-
φή. ἀπὸ τοῦ τὴν μάσακα τουτέστι τὴν τροφὴν. τῶν γεννωμένων παρέ-
χειν. ἀφ' ἧς καὶ τὸ μάσημα. ἢ ἀπὸ τοῦ προσμάττεσθαι καὶ προσφύεσθαι τούτοις πρῶτον τὰ βρέφη. ἢ οἷον πασοί. ἀπὸ τοῦ πάσασθαι. ἢ πασοί τινες ὄντες. ἀπὸ τοῦ σπᾶν αὐτοὺς τὰ βρέφη. ὁ δὲ Ὠρεανὸς φησίν. ὑπὸ τῶν θηλαζομένων ἐπισπᾶσθαι. ἢ παρὰ τὸ μῶ τὸ ζητῶ. παράγω-
γον μάζω. καὶ μασός. ὃν ἐπιζητοῦ-
σιν οἱ παῖδες. δύναται καὶ παρὰ

τὸ μάζω· μάζα ἡ ζητουμένη τροφή
ὡς χέζω· χέζα.

Μαχάλη· παρὰ τὸ τῆς μασθοῦ χαλᾶσθαι·
ἢ παρὰ τὸ χῶ· χύνω· χύλη· ὡς στύνω·
στύλη· καὶ μεταθέσει τοῦ υ· εἰς α· χα-
-λη· καὶ πλεονασμῷ τῆς μα συλλαβῆς·
μαχάλη· ἢ λίαν κατέχουσα ἅτινα
ἀναχεῖ· ἢ ἀποχαλᾶσθαι τῆς μασθοῦ·
ἢ εἰς ἣν χαλᾶται ὁ μῦς· ἢ ἀπὸ τῆς
ἀλαίας τῆς διὰ τὴν κάμψιν τοῦ
σώματος· οὕτω Σωρανός· ὁ δὲ Ἡρακλεί-
-δης ἀπὸ τοῦ μασσάω τι ὑπ' αὐτήν.
ἐπειδὴ οἱ ὑφαιρούμενοι τι ὑπ' αὐ-
-τὴν κρύπτουσι.

Μαρειτάνος· μαρεος τετανός· καὶ
τῷ ἤθει καὶ τῇ χρήσει· πολύδολος·
πολύφαυλος· κατάλαλος· ψεύστης· δυ-
-σμενής· ὀργίλος· παμμέθυσος· μνη-
-σίκακος· φιλοτάραχος· ἄστατος· εὐκο-
-κίνδυνος· παντὶ καὶ πᾶσι γνωστὸς
τὴν ἀκρασίαν.

β Μαχλάς· πόρνη καὶ μάχλος ὁ
κατωφερής· παρὰ τὸ χαλῶ· μα-
-χαλός· καὶ μάχλος.

Μαστροπός· παρὰ τὸ μαίεσθαι τοὺς
τρόπους τῶν πορνευουσῶν γυναικῶν.
οὕτω ἐν ὑπομνήματι τῶν σώφρονος ἀν-
δρείων.

Μασσαλία· Φωκαεῖς καταλίποντες
τὴν ἰωνίαν διὰ τὴν τῶν περσῶν ἔφο-
δον παρεγένοντο εἰς γαλατίαν· καὶ
ἰδόντες ἁλιέα· ἐπ' αὐτὸν ἴεσαν· ἑαυ-
τοὺς παρακελευόμενοι· μασαλιεῦς·
οὗτος δὲ συλληφθεὶς· ἔδειξεν αὐτοῖς
οἰκήσιμον τόπον· ὅθεν μασσαλίαν
ὠνόμασαν· ἐν ᾗ καὶ ἔλαβον τὸν ἁλι-
έα.

Ματεύω· εἰς τὸ γνωματεύοντες.

Μάτην· εἰς τὸ μηδέν.

Ματῶ· εἰς τὸ αὐτομάτως· καὶ χα-
τίζεις· ὧρι.

Μάχαιρα· διὰ τὸ μάχεσθαι ῥᾷον· ἢ
διὰ τὸ μάχεσθαι πάσῃ φύσει· καὶ
τόπον ἐμποιεῖν βίᾳ· ἢ παρὰ τὸ
μάχῃ χαίρειν· ἢ ὅτι αἷμα χέει· ἢ
παρὰ τοῖς αἵμασι χαίρειν· ἢ παρὰ
τὸ εἰς μάχην αἴρεσθαι· καὶ λαμβά-
νεσθαι· ἢ διὰ τὸ χέειν αὖθις τὸ αἷ-
μα.

Μάχη· παρὰ τὸ ἄχος· ἄχη· καὶ μα-
χη· πλεονασμῷ τοῦ μ· ὡς ἀλέωρον.
μαλέωρον· καὶ χεὶρ· χειρός· χειράδιον·
καὶ χερμάδιον.

Μαχήσομαι· μαχῶ· μαχήσω· τὸ μα-
χῶ ἢ τοῦ μάχω βαρυτόνου οὐχ εὕρη-
ται· τὸ δὲ παθητικὸν μάχομαι· ὁ
γὰρ χαρακτὴρ παθητικός ἐστι· τὸ δὲ
σημαινόμενον ἐνέργειαν δηλοῖ· κανὼν
γάρ ἐστιν ὁ λέγων· ὅτι τὰ εἰς χω
λήγοντα ῥήματα δισύλλαβα τῷ α
καθαρῷ παραληγόμενα· σπάνιά εἰσι·
τὸ ἄχω καὶ τὸ μάχομαι· καὶ ταῦτα
μὲν ἄχρι παρατατικοῦ κλίνονται·
ὡς βαρύτονα· ἀπὸ δὲ τοῦ παρατατικοῦ
ὡς περισπώμενα ποιοῦνται τὴν
κίνησιν· Ἡρωδιανός.

β Μαχλάς· ἡ πόρνη· ἡ κατωφερής· πα-
ρὰ τὸ μᾶ καὶ τὸ χαλᾶν.

Μάχλος· παρὰ τὸ χαλῶ ἄχαλος·
καὶ πλεονασμῷ τοῦ μ καὶ συγκοπῇ
μαχλός· ὁ κατωφερὴς καὶ παρώνυ-
μον μαχλάς.

Μαχιμώτατος· διὰ τοῦ ι· τὰ διὰ τοῦ ιμος.

Μάψ· ἐπίρρημα μαψότητος· ἀντὶ τοῦ ματαίως.

Μεγάλη· παρὰ τὸ μῆ καὶ τὸ γῆ· μεγή
καὶ τροπῇ τοῦ η εἰς ε· καὶ τοῦ δευτέ-
ρου α· μεγᾶ· καὶ τὸ θέλας ἀπὸ τοῦ με-
γας· τοῦτο δὲ εἴρηται· ἀπὸ μεταφορᾶς
τοῦ ὑψηλοῦ· καὶ ἐπηρμένου τόπου·
ἢ παρὰ τὸ μὴ εἰς γῆν εἶναι·
Μέγαρον· τὸ τῆς Δήμητρος ἱερόν·
μέγαρον δέ ἐστιν ὁ οἶκος· μέλαθρον δὲ ἡ
ὀροφή· ἀπὸ τοῦ μελαίνεσθαι· ὑπὸ
τοῦ καπνοῦ· ὡς ὅμηρος·

Αὐτὴ δὲ αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον.
οὐ γὰρ ἂν εἴποι τις· οἴκου· οἶκος.
Μέγας τὸ ἐπίθετον· συστέλλει τὸ α·
διατί· τὰ εἰς σ λήγοντα μετὰ διχρόνου
καὶ τὰ ἑξῆς· καὶ σημαίνει τὸ μέγας
βαρύνεται τὸ κύριον ὄνομα· ὅπερ
ἰσοσυλλάβως κλίνεται· ὁ μέγας τοῦ
μέγα· ἐξ οὗ καὶ τὸ παρώνυμον· με-
γάδας· καὶ ὁ ποιητής· πηει μου μεγά-
δην· ἤγουν τοῦ μεγάλου τὸν υἱόν.
καὶ διαφέρει τὸ κύριον τοῦ προση-
γορικοῦ· ὅτι τὸ μὲν κύριον ἰσοσυλ-
λάβως· κλίνεται καὶ ἐκτείνεται τὸ
α· τὸ δὲ προσηγορικὸν περιττοσυλ-
λαβεῖ· καὶ συστέλλει τὸ α· καὶ εἰς
τὸ βασιλεὺς καὶ μείζων.

Μέγας· παρὰ τὴν μὴ ἀπογόρευσιν καὶ τὸ γῆ· ὁ ἐν τῇ γῇ μὴ ὤν· ἀλλ' εἰς ὕψος ἐπαιρόμενος· σημαίνει δύο· ὄνομα κύριον· καὶ τὸν πλατύν· ζήτει εἰς τὸ ἔπος.

Μεγαλεῖον· ἐκ τοῦ μεγάλως· ἔστι δὲ μετουσιαστικόν.

Μέγας ἀπὸ μεταφορᾶς τοῦ ὑψηλοῦ τόπου· ἢ παρὰ τὸ εἰς γῆν μὴ εἶναι.

Μέγας παρὰ τὸ μὴ καὶ τὸ γῆ· μήγας καὶ τροπῇ τοῦ η· εἰς ε μέγας.

Μέγας· καὶ πολὺς διαφέρει· μέγας μὲν ἐπὶ πηλικότητα τάσσεται· πολὺς δὲ ἐπὶ ποσότητα· ὁμοίως τὸ μικρὸν τοῦ ὀλίγου· τὸ μὲν μικρὸν κατὰ πηλικότητα· τὸ δὲ ὀλίγον ἐπὶ ποσότητα· ὅθεν ὁ λέγων μικρὸν ὕδωρ ἀντὶ τοῦ ὀλίγου ἀκυρολογεῖ.

Μέγεθος· παρὰ τὸ μέγας· μέγαθος· καὶ τροπῇ τοῦ α εἰς ε μέγεθος.

Μεδέων· μετοχή· ὡς φιλέων· κανὼν γάρ ἐστιν ὁ λέγων, τὰ εἰς δω λήγοντα ῥήματα· δισύλλαβα μὴ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς τὸ ε στοιχεῖον καταλήγουσαν· περισπᾶσθαι θέλουσιν· οἷον πηδῶ πηδάσω·

σκεδω. σκεδάσω. ὅτως ἐστι τὸ ἔδω.
καὶ μεδω. ταῦτα δὲ βαρύνεται καὶ
περισπῶνται. ἀναλογώτερον ὅμως ἐστὶ.
περισπώμενον. μεδέων. ὡς νοέων.
καὶ φιλέων. πολλαὶ δὲ εἰσὶ καὶ τοῦ
ἔδω. κινήσεις. ἔδεσμα καὶ ἐδωδώς.
Μέδιμνον. τὸ μόδιον.
Μεδάσω. τὸ φροντίζω. π:
Μέδων σημαίνει τὸν βασιλέα. ἢ τὸ=
=θετα ὁ μέδων. γέγονε δὲ ἀπὸ μετο=
=χῆς. ὄνομα μετοχικόν. τὸ θέμα μα
μέδω. τοῦτο παρὰ τὸ ἕζω. τὸ κα=
=θέζομαι. γίνεται ἔδω καὶ μέδω. καὶ
μεδων. ὁ ἑδραίως καθεζόμενος. καὶ
εἰς τὸ μήδω:
Μέζεα τὰ αἰδοῖα. ὅτι μέσα ἐστὶ. με=
=σέα ὄντα τῆς σαρκὸς. καὶ ὑπὸ μέζε
ἔθεντο. Σικελοὶ δὲ καὶ Ταραντῖνοι
μέσα αὐτὰ καλοῦσι.
Μέζων εἰς τὸ μείζων.
Μεθέμεν ἐστιν ἀπαρέμφατον Ἰωνικόν. μεθέμεν.
ἢ Δωρικόν. ἐνεργητικὸν καὶ παθητι=
=κὸν πρώτης συζυγίας τῶν περισ=
=πωμένων. οἷον μεθῶμεν. θύσω.
ὅμηρος. καταλιπεῖν ἀπὸ τοῦ ἕναι.

καὶ πλεονασμῷ τοῦ με· ἔμμεναι· καὶ
συγκοπῇ τοῦ αι ἔμεν. καὶ μετὰ
τῆς μετὰ προθέσεως μεθέμεν· ἐκ τοῦ
ἵημι τὸ πέμπω· τὸ ἀπαρέμφατον
εἶναι. Ὅμηρος· μεθέμεν· ἀφῆναι συγχω-
ρῆσαι· ἵημι τὸ πέμπω· καὶ μετὰ τῆς
μετὰ μεθίημι· ὁ μέλλων μεθήσω.
ὁ παρατατικὸς μεθίειν· τὸ πληθυντι-
κὸν μεθίεμεν· τὸ ἀπαρέμφατον μεθι-
έμεναι· καὶ κατὰ συγκοπὴν μεθέμεν.
ἤγουν ἀποπέμψαι τὴν ὀργήν.
Μέθες· ἄφες· βάλε· ἀπὸ τοῦ ἵημι ὁ
δεύτερος ἀόριστος ἦν· ἡ μετοχὴ εἷς
ἕντος· καὶ τὸ προστακτικὸν ἕς. καὶ με-
τὰ τῆς μετὰ προθέσεως· μέθες. σε-
σημείωται γὰρ τὸ θὲς. δὸς. ἕς.
Μεθίετε. συγχωρεῖτε.
Μεθημοσύνη. ὄνομα. τὸ θη. η. ὥσπερ γὰρ
ἀπὸ τοῦ νοήσω νοημοσύνη. οὕτως ἀπὸ τοῦ
μεθῶ μεθήσω μεθημοσύνη. καὶ τρέπεται
τὸ ω. εἰς ο. ὡς ῥηματικόν.
Μεθίω· τὸ ἀμελῶ. τὸ δὲ μακρόν. τὰ
εἰς ω καθαρὰ βαρύτονα ὑπὲρ δύο συλ-
λαβὰς τῷ ι παραληγόμενα· ἐκτείνεται.

τὰ διὰ τοῦ τω ῥήματα ὑπὲρ δύο συλ=
=λαβὰς κλινόμενα εἰς μι. διὰ τοῦ
ι γράφεται. μι. ἐκ τοῦ μέθυ ὃ σημαί
νει τὸν οἶνον.

Ἡ μεῖς. ὁ μὲν Δωρικῶς. δεῖ γινώσκειν
ὅτι ἡ εὐθεῖα. τριχῶς λέγεται. μεῖς
Δωρικῶς. καὶ μῆς Ἀττικῶς. καὶ μὴν κοι=
=νῶς.

Μεθοδία. ἡ τοῦ χρυσοῦ ἔρευνα καὶ ἡ
τέχνη.

Μεγαλωστί. παρὰ τὸ μεγαλωστω. τοῦτο
παρὰ τὸ μεγάλως. τοῦτο παρὰ τὸ
μὴ εἰς γῆν εἶναι. καὶ πρὸς σύγκρισιν
τῶν ἐπὶ πολὺ τῆς γῆς ἀφεστώτων.

Μέθυσος. παρὰ τὸ μέθυ ὃ σημαίνει
τὸν οἶνον. καὶ ὅμηρος.

——— μέθυ χίλια μέτρα.

τοῦτο παρὰ τὸ μεθίω τὸ ἀμελῶ.
ἐτυμολογεῖται παρὰ τὸ ἐμὲ θέειν.

Μεθυμναῖος. ὁ Διόνυσος. ὅτι μεθ'
ὕμνων ἦλθε. τάχα δὲ ὅτι καὶ παρὰ
τὴν μέθην εἴρηται. καὶ μεθυδώτης.

Μεγαλεῖον. τὸ λει δίφθογγον. τὰ
διὰ τοῦ ειον μετουσιαστικὰ. μὴ —

σημαίνοντα μέρος σώματος διὰ τῆς ει
διφθόγγου γράφεται. καὶ προπερισπᾶ-
ται. οἷον ἑταιρεῖος, πρυτανεῖος. γυναι-
κεῖος. μεγαλεῖος.

Μεγαλεῖα. γένους οὐδετέρου πτώσεως
αἰτιατικῆς τῶν πληθυντικῶν. ἡ εὐ-
θεῖα. τὸ μεγαλεῖον. τὸ λει δίφθογ-
γον. διὰ τί. τὰ διὰ τοῦ ειον κτητικὰ
προπερισπώμενα δίφθογγον ἔχει.

Μειδῶ. παρὰ τὸ μέδω. τοῦτο παρὰ τὸ
μηδεῖν. ἤγουν τρέχειν. οἱ γὰρ μειδῶντες
ἀκίνητοι εἰσι. μέχρις ὅτου ἀπομειδήσωσιν.
πόθεν γίνεται τὸ Μειδιῶ. παρὰ τὸ μεῖον
γέγονεν. ὃ σημαίνει τὸ μικρόν. ὁ γὰρ
μειδιῶν μείονι γέλωτι κέχρηται. τουτέστι
γελῶν μετρίως. οὐχὶ δὲ καγχαρίζων.

Μείζων. πόθεν ἐγένετο. ἀπὸ τοῦ μέγας
παρήχθη. καὶ ἐγένετο πρῶτος τύπος
τῶν συγκριτικῶν μεγάτερος. καὶ ὁ δεύ-
τερος μεγίων. καὶ ὁ τρίτος μέσσων. καὶ
ἔθος ἐστὶ τοῖς Βοιωτοῖς τὰ δύο σσ εἰς
ζ τρέπειν. καὶ ἐγένετο μέζων καὶ κατὰ
παρένθεσιν τοῦ ι. ἤγουν προσθήκην
γέγονε μείζων.

Μείζων· ποίου εἴδους τῶν παραγωγῶν
συγκριτικῶν ἐκ τοῦ μέγας. ὁ πρῶτος
τύπος τῶν συγκριτικῶν· μεγάτερος
μεγείων καὶ ὁ τρίτος μέσσων. καὶ οἱ
μὲν Αἰολεῖς τὸν ἵππον ἴσσον· καὶ
τὸ βλέπω· βλέσσω ὑφαιροῦντες τὸ β.
καὶ πλεονασμῷ τοῦ υ ποιοῦσι λεύσσω.
καὶ ἔθος ἐστὶ τοῖς βοιωτοῖς. τὰ δύο σσ
εἰς ζ. τρέπειν· καὶ ἐγένετο ἡ δὲ τῶν
ταραντίνων διάλεξις. τὰ δύο σσ εἰς ζ.
τρέπει· καὶ γίνεται μέζων καὶ πλεονασ:
:μῷ τοῦ ι. μείζων.

Τὸ μέγας ποίου εἴδους τῶν ὑποπεπ:
:τωκότων τῷ ὀνόματι πρός τι ἔχον·
πρὸς γὰρ τὸ μικρὸν ἔχει.

Μείζων ἀπὸ τοῦ μείζων γέγονε κατὰ
πλεονασμὸν μείζων. γέγονε δὲ ἀπὸ τοῦ
μέγας μέσσων· καὶ κατὰ τροπὴν Αἰο:
:λικὴν τῶν δύο σ εἰς ζ. μέζων· ὥσπερ
μάσσω· μάσσα· μάζα. καὶ μετὰ τοῦ
ι μείζων.

Μείλια· σημαίνει τὰ ἐξόπροικα. πα:
:ρὰ τὸ μειλίσσω· πόθεν ποιεῖς τὸ
μειλίχιος. παρὰ τὸ μέλι μελίχιος.
καὶ πλεονασμῷ τοῦ ι. μειλίχιος.

Μειλίγματα· σημαίνει τὰ πραΰντικά·
ὡς ἀπὸ τοῦ μειλίσσω μείλιγμα.

Μείλινος· παρὰ τὸ μέλεα· μελέϊνος
καὶ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ
ι μείλινος.

Μέλισσα· παρὰ τὸ ἐν τοῖς μήλοις ἰζά-
νειν· μῆλα δὲ λέγει ὅμηρος· τὰ πρό-
βατα· ι'.

Μειλίσσω· τὸ πραΰνω διὰ τῆς ει διφ-
θόγγου· παρὰ τὸ μέλι· ἢ τὸ μέλος· γέ-
γονε μελίσσω· καὶ ἐν πλεονασμῷ τοῦ
ι μειλίσσω.

Μείλιχος σημαίνει τὸν πρᾶον· γέγονε
δὲ ἀπὸ τοῦ μέλι· ἢ ἀπὸ τοῦ μέλος
μελίσσω· καὶ ἐν πλεονασμῷ τοῦ ι·
μειλίσσω· καὶ ἐκεῖθεν μείλιχος· ὡς
παρὰ ταράσσω τάραχος· καὶ εἰς τὸ
ἀμείλικτος.

Μεῖν· τοί εἰς τὸ ἀργέννης.

Μεῖον μικρόν· παρὰ τὸ μέρος· γέγο-
νε μερείων καὶ κατὰ συγκοπὴν τοῦ ε
μρείων· καὶ κατὰ κρᾶσιν τοῦ ε· καὶ ι
εἰς τὴν ει δίφθογγον· μείων, καὶ τὸ οὐ-
δέτερον μεῖον· καὶ εἰς τὸ βενιαμίν

καὶ μειδιῶ. καὶ μήν. καὶ μήρυμα. καὶ
μικρός.

Μεῖον κτεῖσθαι. τουτέστι τοῖς μικροῖς
ἡττᾶσθαι

Μεῖος. εἰς τὸ τελείω.

Μεῖστος. σημαίνει τὸν ἕνα. διὰ τῆς
ει διφθόγγου γράφεται. τὰ γὰρ ἀπὸ
τῶν εἰς ων συγκριτικὰ εἰς τος γινό-
μενα. εἰ μὲν ἀπὸ τῶν ὑπὲρ δύο
συλλαβὰς παραχθῶσι. διὰ τοῦ ι
μόνου παράγονται. οἷον χειρίων.
χείριστος. εἰ δὲ ἀπὸ τῶν δισυλλάβων.
φυλάσσει τὴν ει. οἷον πλεῖον πλεῖ-
στος. λῷον. λῷστος. σημαίνει δὲ τὸν
συμφέροντα. ὡς μεῖον μεῖστος. ἰστέ-
ον ὅτι τὰ εἰς ων καθαρὰ συγκριτι-
κὰ δισύλλαβα. τέσσαρα εἰσί. καὶ
τὰ μὲν δύο διφθόγγῳ παραληγόμε-
να. ἐκφωνοῦσι τὸ ι. οἷον πλείων
μείων. τὰ δὲ ἕτερα δύο διφθόγγῳ
παραλήγεται. καὶ ἀνεκφώνητον ἔχου-
σι τὸ ι. οἷον λῷον καὶ ῥᾷον.

Μειράκιον. παρὰ τὸ εἴρω. τὸ ση-
μαῖνον τὸ λέγω. γέγονεν εἰράκιον.
καὶ ἐν πλεονασμῷ τοῦ μ μειράκιον.

Μεῖραξ· καὶ μειράκιον διαφέρει· μεί-
:ραξ μὲν ἐπὶ θηλείας· μειράκιον δὲ
ἐπὶ ἄρρενος· καὶ εἰς τὸ γέρων·

Μείρεται· εἰ μὲν σημαίνει τὸ μερί-
:ζεται· γέγονεν ἀπὸ τοῦ μέρος μερῶ.
μέρομαι· καὶ πλεονασμῷ τοῦ ι· ἱμεί-
:ρομαι· καὶ τὸ τρίτον ἱμείρεται καὶ
ἀποβολῇ τοῦ ι· μείρεται.

Μείρω· εἰς τὸ βροτός· καὶ γαλήνη.
καὶ εἱμαρμένη· καὶ μέρωψ· καὶ μέ-
:τριον καὶ μοῖρα· καὶ μορφή·

Μειῶ· εἰς τὸ τελειῶ·

Μείων· παρὰ τὸ μέρος μερείων καὶ
ἀποβολῇ τοῦ ε· μείων· καὶ κατὰ
συναίρεσιν τοῦ ε· καὶ ι· μείων· καὶ
εἰς τὸ μικρὸς καὶ ἔλαττον·

Μειρακίσκος· εἴρηται καὶ μειράκιον.
ἀπὸ τοῦ μεῖον καὶ ἧττον εἶναι· καὶ
λέγειν τῶν ἀνδρῶν τὸν νέον·

Μεὶς σημαίνει τὸν μῆνα· διὰ τῆς ει
διφθόγγου γράφεται· ἐπειδὴ οἱ Δω-
:ριεῖς· διὰ τοῦ η γράφουσιν αὐτό·
ἔθος δὲ ἔχουσι τὴν ει δίφθογγον εἰς
τὸ η τρέπειν· οἷον πλείων πλήων.

μείων μηνῶν· ἴστέον ὅτι τὸ μεῖς· μὴν ὑπάρχει· καὶ ἔτρεψε τὸ η̄· εἰς τὴν εῑ δίφθογγον· καὶ ἐπειδὴ τὰ εἰς ην λήγοντα ἀρσενικὰ ἢ θηλυκά· οὐ θέλουσιν ἔχειν πρὸ τοῦ ν̄ δίφθογγον. οἷον σωλήν· πλάτων ἔτρεψε τὸ ν̄ εἰς σ̄· καὶ ἐγένετο μείς· πρόσκειται ἀρσενικὰ ἢ θηλυκά· διὰ τὰ οὐδέτερα. οἷον διὰ τὸ διπλοῦν· διὰ τὸ χρυσοῦν. λέγει δὲ ὁ Διονύσιος· ὅτι μὴν ἦν· καὶ ἔτρεψε τὸ ν̄· εἰς σ̄· καὶ ἐγένετο. μεῖς· καὶ ἐπειδὴ οἱ ἀρχαῖοι· ἠγνόουν τὰ μακρὰ στοιχεῖα· καὶ ἐτίθεσαν ἀντὶ τοῦ η̄· τὸ ε̄· καὶ ἀντὶ τοῦ ω̄· τὸ ο̄· οὕτω καὶ ἐνταῦθα· ἀντὶ τοῦ η̄· ἔθηκαν τὸ ε̄· καὶ εἶπον μές· εἶτα λοιπὸν μετὰ τὸ φανῆναι τὰ μακρά· νομίσαντες ὅτι ἀντὶ τῆς εῑ· κεῖται τὸ ε̄· προσέθηκαν τὸ ῑ· καὶ ἐγένετο μεῖς διὰ τῆς εῑ διφθόγγου. ὁ δὲ ἕβδομος ἐστίν μείς· λέγουσι δὲ τὸ μείς ὁ ὦρος· καὶ ἀρκάδιος· καὶ ὁ Εὐδαίμων· ἄκλιτον εἶναι· ἡ γενικὴ ὡς κτείς κτενός.

Μέλαθρον· κυρίως λέγεται· τὸ μέσον τῆς στέγης ξύλον· τὸ ὑπό τινων καλούμενον· ἀπὸ τοῦ μελαίνεσθαι ὑπὸ τοῦ καπνοῦ· ὅταν δ' ὡς εἴπῃ ὅμηρος·

αὐτὴ δ' αἰθαλόεντος ἀναΐξασασα
ἕζετο·

τοῦτο φασὶ δηλοῖ· τινὲς δὲ ἁπλῶς τὸν ὄροφον· ἤτοι τὸν οἶκον.

Τὸ μέλισσα· οἱονεὶ μέλιζα· ἡ πᾶσιν ἐφιζάνουσα τοῖς καρποῖς· μῆλα γὰρ κατὰ πάντα· εἴρηνται οἱ καρποὶ τῶν βοτανῶν· ὅθεν καὶ πολύμηλος γῆ.

Μέλαινα· τὰ διὰ τοῦ αινα θηλυκὰ προπαροξύτονα· ὑπὲρ δύο συλλαβὰς διὰ τῆς αι διφθόγγου γράφεται· οἷον σμυραίνα· δράκαινα· λέαινα· οὕτω καὶ μέλαινα· καὶ γίνεται ἐκ τοῦ μέλας· μέλανος· ὁ κανών· τὰ εἰς ας ὀνόματα περιττοσυλλάβως κλινόμενα διὰ τοῦ ντ κλίνεται· μέλας, μέλανος· ἐξ οὗ καὶ τὸ μελάντερος ἠΰτε πίσσα· τάλας· τάλαντος· ἐπεκράτησεν ἡ συνήθεια· διὰ τοῦ ν μόνου αὐτὰ κλίνειν· πρόσκειται περιττοσυλλάβως

διὰ τὸ μέγας μέγα. καὶ λαίας. λάα.
Μέλαν. παρὰ τὸ μὴ καὶ τὸ λάον. τὸ
μὴ βλεπόμενον. λάειν γὰρ τὸ βλέπειν.
ὅθεν καὶ ἀλὸς ὁ τυφλός. καὶ ὁ μὲν
λάε νεβρὸν ἀπάγχων.
Μέλαν διὰ τὸ μὴ λάμπειν.
Μέλας μέλανος παρὰ τὸ μείων τὸ
βέλας. τουτέστιν ἐλάττων. τὸ φῶς
μέλανος δέ. ὁ μελάγχρους. ὅμηρος.
Μέλανι πόντῳ. καὶ μέλαν.
Μελδόμενος. παρὰ τὸ μέλι ἔδειν. ὅ
ἐστιν ἐσθίειν. οἷον μελέδειν. καὶ μέλ-
-δειν κατὰ συγκοπήν.
Μελέαγρος. παρὰ τὸ μέλλειν αὐτῷ
τὴν ἄγραν. ὅ ἐστιν ὄνομα κύριον.
Μελεδήματα. μέριμναι. παρὰ τὸ
μέλι ἔδειν.
Μελεδών. ὁ βαδλος.
Μελεδῶνες. αἱ τὰ μέλη ἔδουσαι φρον-
-τίδες. ὅθεν ἡσίοδος δύο κόρους αὐ-
-τὰς καλεῖ. τὰς ἕως κόρου τὰ
γυῖα ἀναλοῦσας. καὶ οἱ Αἰολεῖς στα-
-λαγμὸν τὴν ὀδύνην λέγουσιν. ἀποστά-
-ζουσι γὰρ καὶ ἔτουσιν ὅμηρος.

Τηλεδόνι στυγερῇ μελέων ἐξείλετο θυμόν.
καὶ εἰς τὸ κύδω.

Μελέεσσι· τοῖς μέλεσιν· ὁ κανὼν
ἐπὶ τῶν ἀρσενικῶν καὶ θηλυκῶν· ἡνί-
-κα λήγει τῶν πληθυντικῶν ἡ εὐ-
-θεῖα εἰς σ· προσθεῖσι τῆς σι συλλα-
-βῆς· ποιοῦσι τὴν δοτικὴν τῶν πλη-
-θυντικῶν· οἷον ἄιαντες αἰάντεσσι·
γίγαντες· γιγάντεσσιν· ἐπὶ δὲ τῶν
οὐδετέρων ἐπειδὴ οὐ λήγει τῶν πλη-
-θυντικῶν ἡ εὐθεῖα εἰς ς· ἀπὸ
τῆς γενικῆς τῶν ἑνικῶν· οἷον σῶμα
σώματος· σωμάτεσσι· μέλος μέλεος·
μελέεσσι· καὶ τί διαφέρει τὸ μέλος
καὶ μέρος· διαφέρει. ὥσπερ γὰρ τὰ
μέλη· μέρη εἰσὶ τοῦ σώματος καὶ
τὰ μὲν εἰσὶ βραχέα· τὰ δὲ μικρά·
καὶ τὰ μὲν εἰσὶν εἰς ἐνέργειαν·
ὡς ἐπὶ τῶν χειρῶν· τὰ δὲ ἐπὶ τὸ
περιπατεῖν· ὡς ἐπὶ τῶν ποδῶν·
οὕτω καὶ τὰ μέλη· τὰ μὲν εἰσὶν
ὀξύφωνα· τὰ δὲ· βαρύτονα· καὶ οὕ-
-τως ἀποτελοῦσι τὴν εὐαρμόνιον
μελῳδίαν· ἔστι δὲ μέλος· εἶδους τῶν
ὑποπεπτωκότων τῷ ὀνόματι· συνω-
-νύμου· συνώνυμον δέ ἐστι τὸ ἐν—

διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῦν.
τὸ δὲ μέλος παρὰ τὸ μέρος· τὰ γὰρ
μέλη, μέλη εἰσὶ τοῦ σώματος· μεταφο-
ρικῶς δὲ· ἡ ἐναρμόνιος μελῳδία.

Μέλεον τὸ μάταιον· παρὰ τὸ λῶ· τὸ
θέλω· καὶ ἰωνικῶς λέω· ὃ μὴ λέωμεν.
τουτέστιν ὃ μὴ θέλωμεν· οὐδεὶς γὰρ θέ-
λει τὸ μάταιον.

Μελέτη ἡ φροντίς· διὰ τὸ τὰ μέλλον-
τα μεριμνᾶν· παρὰ τὸ μέλλειν.

Μέλη· τὰ μέρη συνωνύμως· κατὰ
μείζονα καὶ ὁλοσχερεστέραν νοούμενα
περιγραφήν· ἢ ἀπὸ τῶν κατὰ τὴν
μουσικὴν· μελῶν ἁρμόνται· ὡς ἂν
εἴποις μέρη.

Μέλισσα· παρὰ τὸ ἐν τοῖς μήλοις
ἵζανειν· ἃ μῆλα σημαίνει τὰ ἄνθη.
ὡς ὅμηρος.

Αὐτῆσι εἴζησι καὶ αὐτοῖς ἄνθεσι μήλων.
καί τι μετέχει τοῦ ἄνθους· καὶ γὰρ
ἡ μέλισσα τῶν ἀνθέων τὰ χρησι-
μώτατα συλλέγουσα ποιεῖ μέλι.

Μέλισσα· παρὰ τὸ μέλι οἰκονομικόν

γαρ τὸ ζῶον καὶ ἐπιμελές· ἢ μηλέζα τίς ἐστιν· ἢ πᾶσιν ἐφιζάνουσα.
Μέλιττα· τὰ μέλι ἀρτύουσα.
Μελισσάων· μελισσῶν· ὁ κανὼν οἱ Αἰολεῖς· τὰς εἰς ῶν γενικὰς· τὰς ἀπὸ τῶν εἰς αι εὐθειῶν· γινομένας· διὰ τοῦ άων προφέρουσιν οἷον μουσάων· πύλαι πυλάων· ἀδιναί ἀδιναων· ἐρχομενάων· μέλισσαι μελισσάων· οἱ δὲ Δωριεῖς· διὰ τοῦ έων· πύλαι· πυλέων ἐξέσσυτο.
Μελιτάτα· τὰ μικρά· τὰ ἐπιμελείας χρείαν ἔχοντα· παρὰ τὸ μέλλω· ὃ σημαίνει τὸ φροντίζω.
Μελίφρων· παρὰ τὸ μέλισσα· τοῦτο ἐκ τοῦ μῆλον· ὃ σημαίνει πάντα τὸν καρπόν· μηλιζά τις οὖσα· ἢ τοῖς καρποῖς ἐφιζάνουσα· ἡ γὰρ μέλισσα τῶν ἀνθέων τὰ χρηστότερα συλλέγουσα ποιεῖ μέλι· τὰ μὲν καλὰ ἐκλέγεται· τὰ δὲ φαῦλα ἀπορρίπτει· λέγεται δὲ καταχρηστικῶς ὁ γλυκὺς ἀνός· οἷον καὶ ὁ γλυκαίνων

τὰς φρένας. ὅμως δὲ μελίφρονος εἴρη-
-κε.

Μέλος. κατὰ σύγκρισιν τοῦ ἔπους.
τὸ μεμελισμένον. ἢ ἀπὸ τῆς τοῦ
μέλιτος γλυκύτητος. μύρσινος δὲ
τὰς ἐν λέσβῳ γενομένας παρθενομού-
-δας, ἐπὶ τὰ πένθη φοιτᾶν καὶ θρη-
-νεῖν. ὅθεν ἐπεκράτησε τὰ ᾀδόμενα
μέλεα κληθῆναι. οἱ δὲ ἀπὸ τῆς με-
-λιγήρου. πίνδαρος. β.

Μελισσοτεύκτων κηρίων ἐμὰ γλυκύτερος
ὄμφα.

καὶ ἔτι τὸ μέλος. τὸ ἑκάστῳ μεμελημέ-
-νον. καὶ γὰρ μετὰ φροντίδος σκευά-
-ζεται.

Μελῳδία. παρὰ τὸ μέλος. ἐξ οὗ καὶ
μελῳδός. γράφεται δὲ διὰ τοῦ ω με-
-γάλου. τὰ γὰρ παρὰ τὴν ᾠδὴν γινό-
-μενα ἅπαντα διὰ τοῦ ω μεγάλου
γράφονται. οἷον ὑμνῳδός. τραγῳδός.
ψαλμῳδός. χωρὶς τῶν παρὰ τὴν ὁδόν.
ταῦτα γὰρ διὰ τοῦ ο μικροῦ γράφονται.

Μελλέμφημος. εἰς τὸ γέρων.

Μέλλω. εἰς τὸ μελιταῖα. ν.

Μέλος· ἡ ᾠδή· ἀπὸ μεταφορᾶς τῶν μελῶν τοῦ σώματος· ὥσπερ γὰρ ἐπὶ τούτων τὰ μὲν ἐστι βραχέα· τὰ δὲ μακρὰ καὶ τὰ μὲν εἰσὶ εἰς ἐργασίαν· ὡς ἐπὶ τῶν χειρῶν· τὰ δὲ εἰς τὸ περιπατεῖν· ὡς ἐπὶ τῶν ποδῶν καὶ τὰ ὅμοια· οὕτω καὶ ἐπὶ τούτου. τὰ μὲν εἰσι ὀξύφωνα· τὰ δὲ βαρύφωνα· καὶ οὕτως ἀποτελοῦσι τὴν τῶν ὀργάνων φωνήν· καὶ εἰς τὸ μελέσσι καὶ μέλπω.

Μέλπηθρον· καὶ παρὰ τὸ μέλπω· μελπήσω· μέλπηθρον· σημαίνει δὲ τὸ ἐμπαιγμα. καὶ παίγνιον.

Μέλπηθρα παίγνια· παρὰ τὸ μέλπω τὸ παίζω. Δηΐω μέλπηθαι ἄρηι.

Μέλπω· παρὰ τὸ μέλος· ὃ σημαίνει τὴν ᾠδὴν γίνεται μέλω· καὶ κατὰ πλεονασμὸν τοῦ π μέλπω· ἐξ οὗ καὶ μολπή.

Μελχισεδέκ· τὸ χ͞υ· τ. ἀπὸ παραδόσεως μελχὶ λέγεται· βασιλεύς, τὸ σεδὲκ λέγεται δικαιοσύνη· λέγεται οὖν Μελχισεδὲκ βασιλεὺς δικαιοσύνης· καὶ μελχισαλήμ· βασιλεὺς εἰρήνης· καὶ ἀνάγεται εἰς τὸν χ͞ν:

Μελχισεδὲκ· βασιλεὺς δικαιοσύνης· καὶ γὰρ
κατὰ τὴν τῶν ἑβραίων γλῶτταν· τὸ μελ-
χὶ βασιλεὺς σημαίνει· τὸ δὲ σεδὲκ δικα-
ιοσύνην·

Μέλω· τὸ βραδύνω· καὶ μέλω τὸ φρον-
τίζω· ὃ καὶ δι' ἑνὸς λ γράφεται· ἀμ-
φότερα παρὰ τὸ μῶ· τὸ ζητῶ κατὰ
παραγωγὴν γίνεται· καὶ γὰρ ὁ βραδύν-
ων καὶ ὁ φροντίζων· ἀεὶ ζητήσει ἐστί.
καὶ βραδυτῆτι.

Μέλλειν· ἐλπίζειν·

Μέλλω διὰ δύο λλ· διατί· ἐπειδὴ οὐ-
δέποτε βαρύτονος· ἐνεστὼς δι' ἑνὸς λ
ἐκφέρεται· καὶ διὰ τοῦτο τὰ φθάσαντα
γενέσθαι βαρύτονα· καὶ . . . ἄχρι
τοῦ παρατατικοῦ κλίνεται βαρυτόνως
ἀπὸ δὲ τοῦ παρατατικοῦ ὡς προειρη-
μένα· καὶ εἰς τὸ πλημμέλεια καὶ με-
λῳδία.

Μελῶ· εἰς τὸ μολῶ.

Μελησμός· ἡ φροντίς. μελεσμὸς δὲ ὁ
φροντισμός.

Μελῳδός· παρὰ τὸ μέλος καὶ τὸ ᾠδή.
τὸ δὲ μέλος σημαίνει δύο· τὸν ψαλμόν.
καὶ γίνεται παρὰ τὸ μέλω τὸ φροντίζω.
καὶ παρὰ τὸ ἕλω τὸ λαμβάνω· ἕλος

καὶ μέλος. σημαίνει καὶ τὸ μέλος τοῦ
σώματος καὶ γίνεται παρὰ τὸ μείρω
τὸ μερίζω.

Μεμαῶτες. χεο΄΄. παρακειμένου μετοχή
ἐστίν. ἀπὸ τοῦ μῶ τοῦ σημαίνοντος
τὸ προθυμοῦμαι. δευτέρας συζυγίας
τῶν περισπωμένων. ὁ μέλλων μήσω.
μεμῶ τὸ προθυμοῦμαι. ἐξ οὗ καὶ ὄνο-
μα ῥηματικὸν ματός. καὶ μετὰ τοῦ
αὐτὸς γίνεται αὐτόματος. ὁ αὐτόκλη-
τος. ὁ μέλλων μήσω. ὁ παρακείμε-
νος. μέμηκα. ἡ μετοχὴ μεμακὼς καὶ
ἀποβολῇ τοῦ κ̄ μεμαώς. καὶ κλίνεται
μεμαῶτος κατὰ συναίρεσιν καὶ τὸ
πληθυντικὸν μεμῶτες. καὶ πλεονασ-
μῷ τοῦ ᾱ ποιητικῶς μεμαῶτες. καὶ
φυλάττει τὸ ᾱ. καὶ μετὰ τοῦ πληθυντι-
κοῦ. καὶ τὸ θηλυκὸν ἡ μεμαῦα. ζήτει
δὲ τὸν κανόνα εἰς τὸ ἑστῶσα.

Μέμηλεν. ἐν φροντίδι ὑπάρχει. ῥῆμα
μέσου παρακειμένου.

Μέλω τὸ φροντίζω. ὁ μέσος παρακεί-
μενος μέμηλα. καὶ ἐκτείνει τοῦ ε̄
εἰς η̄. μέμηλα ἡ μετοχὴ μεμηλώς.

Μεμοχλωμένη· παρὰ τὸ μοχλῶ τὸ ἀσφα-
λίζω· γέγονε μοχλός· ὁ ἠσφαλισμένος
ὑπὸ τοῦ οἴκου. λέγεται δὲ καὶ μοχλὸς
καὶ ἐκ τοῦ μοχλῶ· μοχλεύω· καὶ τὰ λοιπὰ
δηλωτικά.

Μεμαῶτα· προθυμουμένου· χρόνου πα-
ρακειμένου ἐστὶ μετοχή· ἀπὸ τοῦ μῶ
τοῦ σημαίνοντος τὸ προθυμοῦμαι· δευτέ-
ρας συζυγίας τῶν περισπωμένων· ὁ
μέλλων μήσω· ὁ παρακείμενος μέμη-
κα· καὶ ἡ μετοχή· μεμηκώς· καὶ τρο-
πῇ τοῦ η εἰς α· καὶ ἀποβολῇ τοῦ
κ μεμαώς.

Μεμυκέναι κρύψαι· κόλλησαι ἢ καμμῦ-
σαι· σημαίνει δὲ κυρίως καὶ ἠχῆσαι.
ἀπὸ τοῦ μυκῶ ὁ μέλλων μυκήσω· ὁ
παρακείμενος μεμύκηκα· ὁ μέσος μέ-
μυκα· καὶ τὸ τρίτον μέμυκεν· Ἡσίοδος
——— μέμυκε δὲ γαῖα καὶ ὕλη·
ἀντὶ τοῦ ἤχησεν· καὶ τὸ ἀπαρέμφατον.
μεμυκέναι.

Μέμφεαι· ἐπὶ τῶν τρίτων προσώπων
τῶν παθητικῶν· οἱ Ἴωνες ἀποβάλλουσι
τὸ τ· τοῦ τρίτου προσώπου· καὶ δευ-
τερον ποιοῦσιν ἐνέργειαν δὲ οὐκ ἔχει.

γίνεται δὲ ἐκ τοῦ μομφὴ μέμφεται· μεμ-
φεται ἐκβολῇ τοῦ π μέμφεται.

Μεσίτης· σημαίνει τὸν μεσάζοντα. διὰ
τοῦ ι δὲ γράφεται. οἷον· τόπος τοπί-
της· στῦλος· στυλίτης· χόλος· χολίτης. μό-
θος μοθίτης· οὕτω καὶ μέσος μεσίτης.

Μὲν· εἰς τὸ ἤτοι.

Μενδήσιος· μένδος· ἐλέγετο παρ' Αἰγυπ-
τίοις ὁ τράγος· ἐκ τοῦ μένδος μένδη-
τος· μενδήτιος καὶ μενδήσιος. ἢ ὅτι
τοπικόν ἐστιν ὡς θαλάσσιος· οὐράνιος.

Μενεαίνω. ἐκ τοῦ μένος μενεαίνω.

Μενέλαος. εἰς τὸ λάας.

Μένις. εἰς τὸ μῆνις.

Μένος· εἰς τὸ δυσμενής· καὶ εὐμενής
καὶ ζαμενής.

Μένους· εἰς τὸ ἀτρέμενες.

Μέντοιγε. ἐκ τοῦ μὲν καὶ τοῦ τοὶ
συμπλεκτικοῦ συνδέσμου καὶ τοῦ γε
παραπληρωματικοῦ. ἔστι δὲ ἐπίρρημα
μεσότητος.

Μενοῦνγε· τρεῖς εἰσι σύνδεσμοι. σημαί-
νει δὲ βεβαιότητα καὶ ἀληθές.

Μὲν οὖν· διὰ τοῦτο· τοιγαροῦν.

Μενοινᾶ. — ἔτι γὰρ πολέμοιο μενοινᾶ. καὶ μενοινῶ. μενοινᾶς προθυμεῖς.

Μέναι. εἰς τὸ γίνομαι.

Μέρμερα. μερίμνης καὶ φροντίδος ἄξια.

Μερμηρίζει. φροντίζει. βουλεύει. παρὰ τὸ μερίζω. τοῦτο παρὰ τὸ μέρος. τοῦτο παρὰ τὸ μείρω. μερῶ. μερίζω. καὶ μερμερίζω. καὶ τροπῇ τοῦ ε̄. εἰς η̄. μερμηρίζω. ἀπὸ τοῦ ἐπὶ τάδε καὶ τάδε μερίζεσθαι τὴν ψυχὴν τοῦ μεριμνῶντος. ὅθεν καὶ μερμήρας τὰς φροντίδας ἔνιοι λέγουσιν.

Μέρμηθος. τὸ σχοινίον εἰς τὸ ὄρνιθας.

Μεριμνῶ. παρὰ τὸ μέριμνα. τοῦτο παρὰ τὸ μερίζω. μερίδω. μεμέρικα. μεμέρισμαι, μέριμνα. ἐτυμολογεῖται παρὰ τὸ μερίζειν τὸν νοῦν.

Μέταλλα. χόανα.

Μερὶς. παρὰ τὸ μερίζω. τοῦτο παρὰ τὸ μείρω τὸ μερίζω. ἢ παρὰ τὸ μέλος. μελίζω καὶ μερίζω.

Μέταλον. ὅτι ὁ ζητῶν τι μεταλλίζει. καὶ μετὰ στέρφει ἕως εὕρῃ.

Μέρος. εἰς τὸ μελλήσει καὶ μέλλων.

Μέροψ. ὁ ἄνθρωπος. ὁμώνυμον γίνεται

παρὰ τὸ μερίζω· ὁ μεμερισμένην ἔχων τὴν ἔναρθρον ὄπα· ἤγουν τὴν φωνήν. ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ζώων. ἐπειδὴ ἐὰν λαλῇ ἄνθρωπος μερίζεται εἰς συλλαβάς.

Μέροψ· μέροπος· διὰ τοῦ ο̄· παρὰ τὸ μείρω τὸ μερίζω· τὸ ὄψ ὁ σημαίνει τὴν φωνήν· γίνεται μέροψ· ὁ μεμερισμέ-νην ἔχων τὴν λαλιὰν ἄνθρωπος· πρὸς τὰ ἄλογα ζῶα μεριζομένην εἰς συλλαβήν· καὶ ἔναρθρον ἔχων τὴν ὄπα· τουτέστι τὴν φωνήν· οἱ δὲ, μεμερισμένην τὴν ὄπα.

Μέροπες· οἱ μορητικοὶ καὶ κακοπαθεῖς. οἱ δὲ μεμορημένοι τοῦ λογίου· οἱ δὲ μεμορῆτες τὸν λόγον· ἑκάστῳ γὰρ ὀνό-ματι φωνὴ παράκειται.

οὐ γὰρ πάντων ἦεν ὁμόθροος ἠδ' ἡ ἀγυεις.

ἄλλοι δὲ τοὺς ὑπὸ ὅρον πεπτωκότας. οἷς κατὰ τοὐναντίον μάκαρες, οἱ μὴ κῆρα ἔχοντες. ἀθάνατοι.

Μερόπων· παρὰ τὸ μέροψ· τοῦτο πα-ρὰ τὸ μείρω τὸ μερίζω· ἤγουν τῶν μεμερισμένην φωνὴν ἐχόντων ἀνῶν.

τὸ ερ̄ μακρόν. τὰ εἰς σφ̄ ἅπαντα. εἰς τὸν κανόνα.

Μέροπες. οἱ ἄνθρωποι κατὰ Λεοντῖνους. οἱ μεμερισμένην τὴν ὄπα ἔχοντες.

Μερίω. εἰς τὸ μηρικισμός.

Μεσημβρεία. παρὰ τὸ μέσος καὶ τὸ ἡμέρα. μεσημβρεία καὶ ἐν συγκοπῇ μεσημβρια πλεονασμῷ τοῦ β.

Μεσσίας ὁ χ̄ς.

Μέσος. παρὰ τὸ μερίζω. μερίσω. μέρισος. καὶ συγκοπῇ μέσος. ἐτυμολογεῖται παρὰ τὸ μέρη ἶσα ἔχειν.

Μεσσοῦσσης. ἐστὶν ἶσος. καὶ τροπῇ τοῦ τ. εἰς σ̄. καὶ πλεονασμῷ τοῦ μ̄. μέσος. καὶ ἐκ τούτου μεσσῶ μεσσώσω. τρίτης συζυγίας τῶν περισπωμένων καὶ ἡ μετοχή. μεσσῶν μεσσοῦντος. καὶ τὸ θηλυκὸν μεσοῦσσα. μεσοῦσσης καὶ ἀπὸ τοῦ μεσάζω. μεσάζουσα καὶ κατὰ συγκοπὴν μεσοῦσσα.

Μέσσων. μέσος. εἰς τὸ μείζων.

Μεστός. παρὰ τὸ ἔω τὸ πληρῶ. ἐξ αὐτοῦ γίνεται ἐστός καὶ πλεονασμῷ τοῦ μ̄. μεστός.

Μετὰ εἰς μετάφρενα.

Μεταβάλλειν. καὶ μεταμορφοῦσθαι καὶ ἀλλοιοῦσθαι. καὶ ἑτεροιοῦσθαι. διαφέρει. μεταβάλλειν μὲν γάρ ἐστι πάθος κοινόν. καὶ γὰρ καιρῶν γίνονται μεταβολαί. καὶ πράξεων καὶ ἀφροδισίων. μεταμόρφωσις δέ. μεταχαρακτηρισμὸς καὶ μετατύπωσις σώματος εἰς ἕτερον χαρακτῆρα. ἀλλοίωσις δὲ τῆς προτέρας. ὑπολήψεως ποίησις ἑτέρα. ἑτεροίωσις δὲ ὅταν ἀφ' ἑτέρου σώματος εἰς ἕτερον μεταβάλλει. οἷον νιόβη εἰς λίθον.

Μεταλλῶ. σημαίνει τὸ ζητῶ καὶ πολυπραγμονῶ. δευτέρας συζυγίας τῶν περισπωμένων. καὶ σημαίνει τὸ πολύπονον. γίνεται ἐκ τοῦ μέταλλον ὅ σημαίνει τὸν τόπον. ἐν ᾧ ὁ χρυσὸς τίκτεται. ἢ ἡ χρυσῖτις γῆ. καὶ τί μετέχει τὸ μέταλλον τὸ μεταλλῶ. ἐπειδὴ ταῦτα ἐρεύνης οὐ τῆς τυχούσης. ἀλλὰ καὶ τῆς ἀναγκαίας δέονται.

Μεταμέλεια. σχῆμα παρασύνθετον. ἐκ τοῦ μεταμέλεσθαι. καὶ μετανοῶ. καὶ μεταγινώσκω.

Μεταμορφοῦσθαι. εἰς τὸ μεταβάλλειν.

Μεταναστέυον· εἰς τὸ ἀναστῆν.

Μετάφρενον· τὸ μεταξὺ τῶν ἐξοχῶν τοῦ νώτου· τοῦ μέρους μετά.

Μεμφίμοιρος· διὰ τοῦ ῑ· ἀπὸ γὰρ τοῦ μεμφίμοιρος.

Μέταξιν· τὸ μεταξὺ ζώου καὶ δένδρου. ἔστι σπέρμα καὶ οὐ σπέρμα· ζῶον ἑρπετόν.

Μεταίχμιον· τὸ μεταξὺ δύο στρατῶν.

Μέταλλον· ἀπὸ τοῦ ζητεῖν· ἐν αὐτῷ τι. τὸ γὰρ ζητεῖν μεταλλᾶν ἔλεγον.

Μεταξύ· ἀπὸ τοῦ μεσάζω· μετάζω. ἔθος ἔχουσιν οἱ Δωριεῖς· τρέπειν τὸ σ· εἰς τὸ τ· καὶ γίνεται μετάζω· καὶ μεταξύ· καὶ ἔστιν ἐπίρρημα.

Μετάρσιος· ὁ ὑψηλός· ἔστιν ἀίρω· Αἰολικῶς ἄρσω· καὶ ἐξ αὐτοῦ ἄρσιος ὄνομα. καὶ μετὰ τῆς μετὰ μετάρσιος· ὁ λίαν ὑψούμενος· ἡ γὰρ μετά· ἐπίτασιν σημαίνει. ἀρτίως.

Μετάφρενον· ἡ μετὰ· τὸ ἔσχατον σημαίνει· καὶ τὸ ὀπίσω· ὡς τὸ μετ' ἀχίλληα· καὶ μετὰ θεόν· σημαίνει δὲ καὶ τὴν ἄνω σχέσιν· ὡς τὸ μέτωπον. ἀντὶ τοῦ ὑπεράνω· τῶν ὠπῶν· ὧδε δὲ τὸ ἔσχατον σημαίνει· τὸ ἀπὸ τοῦ ἥπατος.

καὶ τῆς κοιλίας· ἀπὸ γὰρ τούτων ἐστὶν
ἐκεῖνο. διὰ τοῦτο καὶ ἡ μετὰ πρόθεσις.
τὸ ὀπίσω καὶ τὸ ἔσχατον δηλοῖ.
Μετάφρενα· οἱ μεταξὺ τῶν ὤμων τό-
ποι· μετὰ τὰς φρένας· ἤγουν· τὰ
ὀπίσθεν τῆς κεφαλῆς· ἐν τῇ κεφαλῇ
γὰρ αἱ φρένες.
Μετέησι· ἐσώθησαν· ἔστι τὸ θέμα εἶμι
τὸ πορεύομαι· ἡ μετοχή· εἰς· τὸ ὑπο-
τακτικὸν ὦ· ᾖς· ᾖ· πλεονασμῷ τοῦ
σι συλλαβῆς· ᾖσι· καὶ τὸ ε· ποιητικῶς·
ἔησι· καὶ μετέησιν.
Μεταπλασμός ἐστιν ὅταν τροπῇ ἡ τε-
λευταία συλλαβὴ τῆς λέξεως εἰς ἄλ-
λην συλλαβήν· οἷον δικόμωι· πολυπά-
ταγι
Μετειληχότες· μεταλαχόντες· ἔστι
λήχω τὸ λαγχάνω· ὁ μέλλων λήξω·
ὁ παρακείμενος λέληχα· καὶ ἀφαι-
ρέσει τοῦ λ καὶ πλεονασμῷ τοῦ ι εἴ-
ληχα· καὶ ἡ μετοχὴ εἰληχώς.
Μετέωρος· ὁ ὑψηλός· παρὰ τὸ ἀείρω
τὸ κουφίζω· καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματι-
κὸν ἄειρος· καὶ τροπῇ τοῦ α εἰς ο
ὄειρος· καὶ ἐν ὑπερβιβασμῷ ἔοιρος· καὶ

τροπῇ τῆς οι διφθόγγου εἰς ω ἔωρος. καὶ
μετὰ τῆς μετὰ προθέσεως μετέωρος.
ἐξ οὗ καὶ ἐορίζω. καὶ μετεώρισμα. καὶ
μετεωρισμός.
Μετεωρισμός. ἐκ τοῦ μετεωρίζω. τοῦτο
ἐκ τοῦ μετέωρος.
Μετρῆσαι. εἰς τὸ ἀριθμῆσαι.
Μετριωτός. εἰς τὸ διαμετρέω. μέτριον
τὸ ταπεινὸν καὶ ἐπιεικές. παρὰ τὸ
μετρῶ. τὸ ὑπερταπεινούμενον. τοῦτο
παρὰ τὸ μέτρον. τοῦτο παρὰ τὸ μείρω
τὸ μερίζω. ὥσπερ παρὰ τὸ δαίω δέτρον.
οὕτω καὶ παρὰ τὸ μέρω μέτρον. σημαί-
νει δὲ δύο τὸ ταπεινὸν καὶ ὑποκοριστι-
κόν. τοῦ μέτρου.
Μέτρον τινὲς τὸ κοῖλον. παρὰ τὸ μεσὸν
εἶναι. τὰ δ' ἄλλα ἀπ' αὐτοῦ. τὸ δὲ με-
τρεῖν, μυθοποιῶς ἐτυμολογεῖται.
Μετρητής. μέτρον οἴνου ξεστῶν οθ.
Μετωπηδόν. τὰς φάλαγγας μετωπηδὸν
στήσαντες. ἀντὶ τοῦ ἔμπροσθεν τῶν
ὠπῶν. τουτέστι τῶν ὀφθαλμῶν.
Μέτωπον. ἔστιν ἐνταῦθα πρόθεσις
ἀντὶ προθέσεως. τουτέστιν ὑπέρωπον
τὸ ὑπὲρ τοῦ ὦπας μέρος ὄν. μέτωπον

παρὰ τὸ ἄνω τῶν ὤπων ἵστασθαι.

Μέχρι ἐπίρρημα· χρόνου δηλωτικόν. ἢ ἐπίρρημα καιροῦ παραστατικόν. τὸ χρι· ῑ. διατί; τὰ πεφυκότα ἐπίρρημα κάν τε μετὰ τοῦ σ̄. κάν τε ἄνευ τοῦ σ̄. διὰ τοῦ ῑ γράφεται. οἷον πολλάκις. ὀλιγάκις. μέχρις. ἄχρις. καὶ ἄχρι. πλὴν τοῦ χρή. ὅπερ καὶ παρ' ἡμῖν λέγεται. καὶ παρὰ πολλοῖς ἀπόχρη.

Μέχρι τῆς δεῦρο. ἕως σήμερον. μέχρι τῆς δεῦρο. ἕως ὧδε. ἕως νῦν.

Μέτωπον. ἀπὸ τοῦ μεταξὺ τῆς κεφαλῆς καὶ τῶν ὤπων.

Μετοχὴ ῥήματος διαφέρει. ὅτι ἐν τῷ ῥήματι πρώτως ἡ διάθεσις δηλοῦται. ἐν δὲ ταύτῃ δευτερινοῦται ἡ διάθεσις. πρώτως δὲ λαμβάνεται τὸ πρόσωπον. καὶ ἄλλως διαφέρει τὸ ὄνομα τοῦ ῥήματος. ὅτι ἐν ἐκείνῳ ποιὰν οὐσίαν παρίστησιν. ἐν τούτῳ δὲ ἀόριστον.

Μετοχὴ ὀνόματος διαφέρει. καθὸ ἐν μὲν τοῖς ὀνόμασι τινὰ ἔστι μονογενῆ. τινὰ δὲ κοινά. τινὰ δὲ τριγενῆ. ἡ μέντοι μετοχὴ τὴν τριγένειαν

ἠσπάσατο. τύπτων γὰρ καὶ τύπτουσα.
καὶ τύπτον. πλὴν τοῦ ἐκτρώσας. ταύ-
της γὰρ τῆς μετοχῆς ἡ φωνὴ ἐπὶ
τοῦ ἄρρενος οὐ συνίσταται. τὸ δὲ ῥῆμα
ἐκ τοῦ ἐκτρῶ. ἐκτροῖς. ἐκτρώσασα.

τὸ Μ̄. μετὰ τοῦ Η̄.

Μή. παραδῶς ὑποτακτικόν. ἐκ τοῦ
δίδωμι. δώσω. ὁ δεύτερος ἀόριστος ἔ-
δων. καὶ τὸ ὑποτακτικὸν ἐὰν δῶ.
τὸ δεύτερον ἐὰν δῷς καὶ παραδῷς.
Μή. τὸ μὴ ἀπαγορευτικὸν ἐπίρ-
ρημα μετὰ πόσων ἐγκλίσεων συντάσ-
σεται. μετὰ τριῶν. μετὰ προστακ-
τικοῦ ὡς Ὅμηρος.

μὴ ψευδέ' ἐπίστασο σάφα εἰπεῖν.

καὶ ὁ Δαβίδ. μή με καταποντισάτω κα-
ταιγὶς ὕδατος. καὶ μετὰ ποῖα πρό-
σωπα συντάσσεται ἐν τοῖς προστακ-
τικοῖς. ἐν μὲν τοῖς προστακτικοῖς πρὸς
ἐνεστῶτα. μετὰ δευτέρου καὶ τρίτου
προσώπου συντάσσεται.

οἷον μὴ ἔα νῆας ἅλα δ' ἑλκέμεν.

καὶ

μή μοι οἶνον ἄειρε.

μετά δέ τρίτου προσώπου. ὡς ὁ
παῦλος. ὁ ἐσθίων τόν μή ἐσθίοντα μή
κρινέτω. καί ὁ μή ἐσθίων τόν ἐσθίον-
-τα μή ἐξουθενείτω. ἐπεί δέ τοῦ
πρώτου μόνου ἀορίστου. ἐνεργητικοῦ
παθητικοῦ μετά τρίτων μόνων προ-
-σώπων συντάσσεται. ἡ γάρ λεγομένη
μή τύψον. ἤ μή τύψαι. ἤ μή τυπῇ.
καί μετά εὐκτικοῦ. ὡς ἐν τῷ.

εἰ μή ἐγώ τάδε τόξα φαεινά ἐν πυρί θείην.
καί μετά ὑποτακτικοῦ ὡς ἐν τῷ.

Μή δή πω. ὑπόχε φιλυσώμεθα μώνυχας ἵππους.
καί ἀλλαχοῦ

Μή με ἐγώ μέν ἵκωμαι ἰών. ὁ δέ μ' οὐκ ἐλεήσει
Οὐ δέ τι με δέσεται ——

εἰ δέ τῇ ὁριστικῇ. ἐγκλίσει συνταχθῇ.
ἡ μετά τῆς ἰδίας συνάρσεως τάσσεται.
ἀλλ' ἀντί τῆς οὐ ἀποφάσεως. ὡς ἐν τῷ.

Μή δι' ἐμήν ἰότητα ποσειδάων ἐνοσίχθων.
Πημαίνει τρῶας τέ καί ἕκτορα τοῖσι δ' ἀρήγει

ἀντί τοῦ οὐ διά τήν ἐμήν βούλησιν. καί
ὡς ἐν τῷ.

μή ὤφελες λίσσεσθαι — —

ἀντὶ τοῦ οὐκ ὤφελες ἀπαρεμφάτῳ δὲ
εἰ συντάττεται ἡ μὴ ἀπαγόρευσις. ἐστι
ξένον. διότι παντὸς ῥήματος ἀρχὴ
τὸ ἀπαρέμφατον. κεῖτον ἐστὶν εἰπ.
ὅτι ἡνίκα μετὰ ἀπαρεμφάτου συν-
τάσσεται ἡ μὴ ἀπαγόρευσις. ἀντὶ
προστακτικῆς ἐγκλίσεως πρόσκειται.
ὡς τό.

Μήτ' αὐτὸν κτείνειν μήτε μνᾶσθαι ἄκοιτιν.

ἀντὶ τοῦ μὴ ἐκτεινέτω τὸν Ἀγαμέμνονα ὁ
Αἴγισθος. καὶ μὴ ἔστω μνηστὴρ τῆς γυναι-
κὸς αὐτοῦ. καὶ ἐν τῇ Ἰλιάδι.

Μὴ μὲν ἐγὼ βεβυΐδι χεῖρας ἐπιτείνειν.

συνεχῶς γὰρ ὁ ποιητὴς τὰ ἀπαρέμ-
φατα ἀντὶ τῶν προστακτικῶν κέ-
χρηται. ὡς ἐν τῷ.

πειρᾶν δ' ὥς κεν τρῶες ὑπερκύδαντας Ἀχαιούς.

ἀντὶ τοῦ ἀπόπειραν ποιησάτω. καὶ
πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν.
ὡς ἐπιτέλλω. ἀντὶ τοῦ ἀγόρευσον.

Τὸ μή. ἤ. πᾶν ἐπίρρημα μονοσύλ-
λαβον μακροκατάληκτον ὀξύνεσθαι
θέλει. διὰ τοῦ η γράφεται. οἷον. μή

νῆ· δῆ· καὶ εἴ τι ὅμοιον. εἰς τὸ μή τι
προσγράφεις. οὐδὲν διατί· τὰ εἰς η λή-
γοντα ἐπιρρήματα ἔχουσι καὶ τὸ ι
προσγεγραμμένον. οἷον ἄλλῃ· πάντῃ·
πλὴν τοῦ μῆ· καὶ νῆ· καὶ δηλαδή. τὸ
μὴ σημαίνει δύο· ἀπαγόρευσιν καὶ δισ-
ταγμόν. ἀπαγόρευσιν μὲν οἷον μὴ φθέ-
γγῃς· μὴ πίῃς· μὴ τύψῃς· δισταγμὸν
δὲ μὴ ἀπέθανεν ὁ δεῖνα.

Μηδαμινός· ἄτιμος· εὐτελής. εἰς τὸ
οὔτι δαναοῖσι.

Μήδεα τὰ βουλεύματα. ἡ εὐθεῖα μῆδος.
Μήδεα τὰ αἰδοῖα. παρὰ τὸ μέδειν καὶ
ἄρχειν τῆς γενέσεως. καὶ μέζεα. κατὰ
μετάθεσιν τοῦ δ εἰς τὸ ζ. ἢ μέδεα.
καὶ κατὰ τροπὴν τοῦ ε. εἰς η. μήδεα.
μήδεα τὰ μόρια. ἤτοι μέδεα. ὧν
δεῖ κρατεῖν. ἢ τὰ ἔχοντα τὸ μήδειν.
ὅ ἐστι τὸ κρατεῖν. ἐπειδὴ τῆς ἀσθε-
νότητος αἴτια. ἢ καὶ μετὰ τοῦ σώμα-
τος αὔξειν. δ' ὑπὸ μέζε' ἔθεντο.
ὡς καὶ Ἀρχίλοχος.

ἶνας δὲ μεδέων ἀπέθρισε ——

Μηδία. κέκληται ἀπὸ τοῦ μιαροῦ

καλήματος. τῆς μηδοσύνης. ἧς ἐδίδαξε
τοὺς τε ἀνθρώπους ὁ προμηθεύς. μηδεία
δὲ ὄνομα θεᾶς.

Μηδῶς ὑποτακτικὸν δίδωμι. ὁ μέλλων.
δώσω. ὁ δεύτερος ἀόριστος ἔδων. ἡ μετ-
=οχὴ ὁ δούς. καὶ τὸ ὑποτακτικὸν
ἐὰν δῶ. δῷς.

Μήδω. τὸ μῆ. ῆ. ὅτι μήδων ἐστί.
καὶ ἐπεκτάσει τοῦ ε. εἰς η. καὶ
μέδων ὁ βασιλεύς. μεδῶ. ἐξ. οὗ καὶ
μεδέων. ἢ καὶ διὰ τοῦ ἥδω ῥήματα
δισύλλαβα βαρύτονα. διὰ τῆς ει
διφθόγγου γράφεται. οἷον δίδω. ἐρείδω.
εἴδω. τὸ γινώσκω. πλὴν τοῦ μήδω.
ἥδω τὸ εὐφραίνομαι. κήδω τὸ φρον-
=τίζω. καὶ λιπῶ. καὶ εἰς τὸ ἀμήδω.
καὶ κλυταιμνήστρα καὶ προμηθεύς.

Μηδ' ἑνός. τρία μέρη λόγου. τὸ μὴ
ἀπαγορευτικῶς. τὸ τε συνδέσμου. καὶ
τοῦ ἑνὸς ὀνόματος. ἀπὸ τοῦ εἷς ἑνός.
οἷον μήτε ἑνός καὶ κατὰ συγκοπὴν
μηθ' ἑνός. τροπῇ τοῦ τ. εἰς θ.

Μήθω. εἰς τὸ ἥνδανε καὶ προμηθεύς.

Μηϊονίης. ἡ εὐθεῖα μηϊονία. καιών.
καιόνος. ὁ κανών. τὰ εἰς ων ὀξύτονα

τῇ αι διφθόγγῳ παραληγόμενα. εἰ
μὲν ὦσιν ἐθνικά· τρέπεται τὸ ω
εἰς ο ἐπὶ γενικῆς· οἷον παιῶν παιο-
νος ὄνομα κύριον.

Μήλιον τὸ δῶρον. ὅθεν καὶ κειμήλιον.

Μῆκος· παρὰ τὴν μὴ ἀπαγόρευσιν.
καὶ τὸ γῆ· ἦγος· καὶ μῆγος· καὶ ἐξ αὐ-
τοῦ μῆκος· τὸ πολλὴν γῆν ἔχον. ἢ
παρὰ τὸ ἥκω τὸ ἔρχομαι· ἦκος καὶ μῆ-
κος· τὸ τοῖς ἐν αὐτῷ ἐρχομένοις κό-
πους παρέχων.

Μῆλα· εἰς τὸ μέλισσα.

Μηκάδες· γίνεται μηκωμένων. ἀπὸ
τῆς φωνῆς. μήκη γὰρ λέγεται ἡ τῶν
αἰγῶν φωνή. ἢ ἀπὸ τοῦ ἐπὶ τὰ μήκει
κίειν. ὅ ἐστι πορεύεσθαι. ὅμηρος.

Μὴ δώῃσι· μὴ δώσῃς.

Μήκωνος· μάκων καὶ μήκων. ἔστι δὲ ἡ
παρεῖνα. ἡ δὲ ταύτης κεφαλή· κώδεια
καὶ κωδία λέγεται.

Μηλονόμος· ὁ τὰ πρόβατα νέμων. ὅθεν
καὶ τὰ δέρματα· μηλωτάρεια. ἀπὸ
τοῦ μαλλοῦ τῶν τριχῶν.

Μῆλα τὰ πρόβατα· ἀπὸ τοῦ μεμαλ-
λῶσθαι. ὁ δὲ καρπὸς κατ' ἐξοχήν, πᾶς

γὰρ οὕτως ἐλέγετο.

πολλὰ δ' ὅγε προθέλυμνα βάλε δένδρεα μακρά,
Αὐτῇσι ῥίζῃσι καὶ αὐτοῖς ἄνθεσι μήλων.

ἀντὶ τοῦ ἐραμένοις δηιέωνται. ἐκδηιέωνται. ἔδει γὰρ εἰπεῖν. ἀνθέων μήλοις.

Μήλη. μῆκος λίου. λεία γὰρ ἡ μήλη.

Μῆλον. ἡ ὀπώρα. παρὰ τὸ μηλῶ θεῶ. ὃ σημαίνει τὸ βάπτω. ὥριμον γὰρ ἐδ-διον ἐστιν.

Μηλέα. τὸ λε. ψιλόν. τὰ γὰρ διὰ τοῦ εα πρωτότυπα τὸ ε παραλήγεται.

Μῆλον τὸ πρόβατον. ὅθεν καὶ μηλωτή. δηλοῦσιν οἱ Δωρικοὶ διὰ τοῦ ᾱ.

Μῆλον ὁ καρπός. παρὰ τὸ μήλιον. ὃ σημαίνει τὸ ἀκρόδειον.

Μήλη. ἰατρική. δι' ἧς ψαφᾶται τὰ πονούμενα. μηλοῦν γὰρ τὸ ψηλαφᾶν. λέγεται. καὶ μήλωθρα. πορφυρὰ βάμ-ματα.

Μηλιάδης. οἷον μηλιάδης ποικίλας. τουτέστιν. ἔρια. ὅ ἐστι μαλλός. ἀπὸ τοῦ μήλου. ὃ σημαίνει τὸ πρόβατον. παρὰ τὴν ἐπιμέλειαν ἥντινα εἰς αὐτὰ ποιούμεθα.

Μηλωτή. γίνεται παρὰ τὸ μῆλον. ὁ,

σημαίνει τὸ πρόβατον· ἢ παρὰ τὸ μαλ-
-λόν· τὸ λω̃ μη̃· διατί· τὰ διὰ τοῦ
ω̃ τη· εἰς τὸν κανόνα.

Μηλωτὴ· προβατίας δορά.

Μηλωτη· δέρμα· δορα προβάτου· μῆλα
γὰρ παρὰ τῶν ἰώνων τὰ πρόβατα
λέγεται.

Μηνύεται· παρὰ τὸ μήνη· ὃ σημαί-
-νει τὴν σελήνην· δι' αὐτῆς γὰρ τεκμαι-
-ροῦται ὁ μείς· ἢ παρὰ τὸ μεῖον τὸ μι-
-κρόν· γίνεται μείω· καὶ κατὰ συγκο-
-πὴν μήν· ἢ εἰς ἄκρον ἐλάττωσις καὶ
ἀποτερμάτωσις τῆς σελήνης· καὶ εἰς
τὸ ἥμιν.

Μήνη· ἢ ἀπὸ τοῦ μήν· μηνός· ἢ ἀπὸ τοῦ
μῆνις· μήνιδος· δι' αὐτῆς γὰρ τὸ πάθος
ἀναπτύουσιν.

Μήνη ἡ σελήνη· ἀπὸ τοῦ μὴ μένειν ἐν
αὐτῷ· ἀλλὰ ποτὲ μὲν μειοῦσθαι ὡς ἐκ-
-λείπειν· ἢ παρὰ τὸ ἐλαττοῦσθαι· ἐξ οὗ
καὶ σκοτομήνη· καὶ εἰς τὸ μήν.

Μῆνιγξ ὁ μυελὸς τῆς κεφαλῆς.

Μῆνις· παρὰ τὸ μένειν καὶ τὴν μνήμην
παρακατέχεσθαι.

Μήνιγγες παρὰ τὸ μένειν ἐν αὐταῖς τὸν ἐγκέφαλον.

Μηνιεῖ· ἀπὸ τοῦ μαίνω τὸ ὀργίζομαι. ὁ μέλλων μανῶ· ὁ δεύτερος ἀόριστος ἔμανον· καὶ ἔμηνα· καὶ ἐκ τούτου μῆνις· μηνίω· μηνίσω. ὁ δεύτερος μέλλων μηνιῶ· τὸ τρίτον μηνιεῖ.

Μῆνις ἐστὶ παρὰ τὴν ἐμμένουσαν ὀργήν. μένις καὶ κατ᾽ ἔκτασιν τοῦ ε· εἰς η· μῆνις· ἔστι δὲ καὶ παρὰ τὴν μανίαν. καὶ εἰς τὸ θυμός.

Μῆνις· μάνις τίς ἐστι παρὰ τὴν ὀργήν, τὴν μανίαν· ἐοίκασι γὰρ μαινομένοις οἱ ὀργιζόμενοι· ἢ παρὰ τὸ ἐμμένειν τῷ μηνιῶντι καὶ ὀργιζομένῳ. διαφέρει δὲ μῆνις χόλου καὶ ὀργῆς.

Μήνιγξ· μάνιγξ· κατὰ τροπὴν τοῦ α εἰς η· μήνιγξ.

Μήνη. ἡ μηνιαία· θέλουσιν οὖν εἶναι αὐτὴν ἀπὸ τοῦ μηνύειν· καὶ ἐλαττοῦσθαι. οὐκ ἔστι δέ· ἀλλ᾽ ἀπὸ τῆς εἰς πτωματιζομένης ὀργῆς· δι᾽ αὐτῆς γὰρ τὸ πάθος ἀναπαύουσιν. ὅθεν καὶ μῆνις, ἡ ὀργή· ἀπὸ τοῦ πάθους. ὅμηρος.

Μῆνιν παρὰ τὸ μηνίω· μηνίσω· μῆνις ἢ παρὰ τὸ μένω· ἡ ἐπίμονος ὀργή· καθάπερ γὰρ ἐπὶ συκῆς· πρῶτον μέν ἐστιν ὄλυνθος· εἶτα φῆλιξ· εἶτα σῦκον· εἶτα ἰσχάς· οὕτω· ὀργή· θυμός· χόλος· κότος καὶ μῆνις· ὁ μὲν οὖν ποιητὴς ὡς συνωνύμοις ὀνόμασι συγκεχυμένως αὐτὸ λέγει.

Μηνίσκος· ὁ περιτραχήλιος κόσμος· ὁ μανιάκης· παρὰ τὸ κυκλοειδῆ εἶναι καὶ περιτίθεσθαι· ἢ μεταφορὰ ἀπὸ τῆς μήνης· ἤγουν τῆς σελήνης· κυκλοειδής.

Μήνυμα· παρὰ τὸ μηνύω· τοῦτο παρὰ τὸ ἀνύω· ὃ σημαίνει τὸ διέρχομαι· ἄνυμα καὶ πλεονασμῷ τοῦ μ· ἐν πολλαῖς γὰρ λέξεσι πλεονάζει τὸ μ· καὶ τροπῇ τοῦ α· εἰς η· μήνυμα.

Μηνύω· ἐκ τοῦ μνῶ· τὸ ὑπομιμνήσκω· καὶ πλεονασμῷ τοῦ η· κατὰ παρέγχυσιν· μηνύω· οἱ δὲ λέγουσιν ἀπὸ τοῦ ἀνύω γεγονέναι· καὶ τροπῇ τοῦ α· εἰς η· περὶ ὧν ζητοῦμεν.

Μηϊονία· χώρα.

Μῆνις· παρὰ τὸ μένω· τὸ ἐπιμένω· ἡ ἀναπομένουσα ὀργή· κλίνεται δὲ μῆνις μήνιδος κοινῶς· μῆνις μήνιος Αἰολικῶς.

Μήπω· εἰς τὸ οὔπω.

Μήτιδια· τοῦ ι· ὥσπερ ἀπὸ τοῦ νεάνις κατὰ κρᾶσιν γίνεται νῆνις. καὶ ἐκεῖθεν νήνιος νήνιϊ· καὶ κρᾶσει τῶν δύο ι· εἰς ἓν ι μακρόν· νῆνι· ὡς· νήνι ποικίλους ἀμβάλω· οὕτω καὶ ἀπὸ τοῦ μήτιϊ· καὶ κράσει τῶν δύο ι· εἰς ἓν ι· μακρὸν μήτι.

Μηνύω· οἱ Δωριεῖς γὰρ μανύω φασί.

Μὴ πεποίθατε· ἐκ τοῦ πείθω τὸ ἐλπίζω γίνεται.

Μήρινθος· ἡ σπάρτος· παρὰ τὸ μύρεσθαι καὶ καταρρεῖν· ἐν τῷ κλῶσθαι αὐτήν· ἤτοι νήθεσθαι.

Μῆρα· μηρία· κατὰ μῆρ' ἐκάη— τὸ ὁλόκληρον γάρ· ἐστι τὰ μῆρα καὶ ὤφειλεν εἶναι κατὰ μηρὰ· ὀξύτονον. κανὼν γάρ ἐστιν ὁ λέγων· ὅτι τὰ ἀπὸ ἀρσενικοῦ ἢ θηλυκοῦ εἰς οὐδέτερον

γενόμενα κατάπλασμόν· τοῦ αὐτοῦ σμη-
:μαινομένου ὁμότονα καθεστήκασιν.
οἷον ἐρετμοί ἐρετμά· πυρετοί πυρά.

χίλια δ' ἐν πεδίῳ πυρά καίοντο. —

αἱ οἰκεῖαι τά οἰκεῖα. καί αἱ οἰκεῖαι τά
οἰκεῖα ποιήσονται.

— ὁ δ' ὦ ἐπὶ παιπαλόεσσα.

αἱ δέ πλευραί τά πλευρά. καί ὤφειλε
καί τοῦτο εἶναι ὀξύτονον. οὐκ ἔστι δέ·
ἔδειξε γάρ ὁ τόνος τό πάθος. ἔστι γάρ τό
μηρίον καί τά μηρία τῶν ποδῶν. καί
κατά συγκοπήν τά μηρά. διαφέρει τό
ἀρσενικόν τοῦ οὐδετέρου. ὅτι τό ἀρ-
:σενικόν μέν ὁ ποιητής τίθησι. καί
ἐπί τῶν ἁγιαζομένων ἤγουν θυομένων.
καί ἐπί τῶν ἀνθρωπείων. ὡς τό

μῆρους ἐξέταμον. —

ἐπί τῶν ἀνθρωπείων δέ. ὡς τοιοῦτοι
μέν μι ἀνθηναῖος μῆροι. τό δέ οὐδέτε-
:ρον ἐπί τῶν ἁγιαζομένων μόνον. ὥστε

Αὐτάρ ἐπεί κατά μῆρ' ἐκάη. —

γίνεται παρά τό μηρω τό μηρίζω.
ἀπ' αὐτοῦ γάρ τοῦτο μηρίζεται τό
σῶμα. μέχρι γάρ αὐτοῦ. ἕν ἐστιν. ἀπ'
αὐτοῦ δέ μερίζεται.

Μηρῖτιν· εἰς τὸ μήρυμα.

Μηρός· ἐκ τοῦ μέρους κατὰ τροπὴν τοῦ ε· εἰς η· ὁ μηρός.

Μηρία· γέγονε παρὰ τὸ μηρός· τοῦτο παρὰ τὸ μηρίζω· μῆρος καὶ μηρός. καὶ τὸ ὑποκοριστικὸν μηρίον.

Μηρίνθους χοινία· σπάρτα· δεσμοὺς παρὰ τὸ μηρύεσθαι καταρρεῖν ἐν τῷ μηρύεσθαι αὐτούς· τουτέστι συνάγεσθαι.

Μηρός· παρὰ τὸ μέλος· τροπῇ τοῦ ἀμεταβόλου· εἰς ἀμετάβολον· καὶ ἐκτάσει τοῦ ε· εἰς η· τὸ μη· η· τὰ διὰ τοῦ ρος· ὀξύτονα· ἅπαντα διὰ τοῦ η γράφεται· πλὴν τοῦ καυστρός.

Μῆρος· ἀπὸ τοῦ μηρίζειν εἰς δύο.

Μῆρος παρὰ τὸ μηλίζω· ἢ διὰ τὸν μηρισμὸν τοῦ σώματος.

Μηρός· παρὰ τὸ μηρίζω· ἔνθα μεμέρισται· τὸ σῶμα· καὶ τροπῇ τοῦ ε· εἰς η· οὕτως Ἡρωδιανὸς ἐν τοῖς ἐπιμερισμοῖς.

Μηριόνης· ὁ διὰ τῶν μηρῶν· τὴν ὄνησιν αὐτοῦ ἐμποιῶν· ταχὺς γάρ· καὶ μόλος· ἀπὸ τοῦ μολίσκειν.

Μηρυκισμός· ἐκ τοῦ μηρυκίζω· τοῦτο

ἐκ τοῦ μηρύκω· μηρυκεῖν γὰρ λέγεται.
τὸ ἐκ βάθεους ἀρύσασθαι τὴν τροφὴν
καὶ εἰς μικρὰ κόπτειν· τοῦτο παρὰ
τὸ μηρύω τὸ ἀναλέγομαι· τοῦτο παρὰ
τὸ μέρος μηρύω· τὸ εἰς μέρος κατακοπ-
:τόμενον·

Μήρυμα· ἀπὸ τοῦ τῆς ὑποσταλικωτέ-
:ρας ὑπάρξεως εἰς μεῖον καὶ ἔλαττον
ἕλκεσθαι· ὁ δὲ βόρημα· ἐπεὶ διὰ πό-
:ρου ἐργάζονται· πορεῖν γὰρ τὸ ποιεῖν.
ὅθεν καὶ πορτοὶ οἱ ἄνοι.

Μηρύω· εἰς τὸ μηρυκισμός.

Μήστορας· τὸ κύριον διὰ τοῦ ο μικροῦ
μήστορα δ' ἀντίθεον· τὸ δὲ σημαῖνον
τὸν ἔμπειρον τῆς μάχης· διὰ τοῦ ω με-
:γάλου· μήστωρας ἀϋτῆς.

Μύσω· εἰς τὸ μῦρ.

Μυρώδιον· μιτάριον·

Μήτειρα· σημαίνει τὴν μρα· διὰ τῆς
ει διφθόγγου γράφεται· τὰ γὰρ διὰ τοῦ
τειρα θηλυκὰ· διὰ τῆς ει διφθόγγου·
τὸ κάτειρα· καὶ ἄτειρα· ἀμφίβολα·

Μηροὶ· ὅτι ἀπὸ τοῦ χ· μεμέρισται τὰ

κάτω μέρη τοῦ σώματος.

Μῆρ· παρὰ τὸ μὴ τηρεῖσθαι. αἱ γὰρ γυναῖκες· πρὶν γένονται μῆρες. φυλάττονται. πρὸς τὸ μὴ λυμανθῆναι τὴν αὐτῶν παρθενίαν. ἡνίκα δὲ γένωνται μῆρες οὐ τηροῦνται.

Μητραλίας. ὁ τὴν μρα΄ φθείρων.

Μῆρ· τινὲς ἀπὸ τοῦ μαστεύεσθαι. τινὲς ὅτι μυθῆκε τὸ βρέφος ἐν τῇ κώδει. τινὲς ἀπὸ τῆς μήτρ. αὕτη δὲ ἡ μήτρα. μάστρα καλεῖται. καὶ ἔρα ἀπὸ τοῦ ὀρεαίνεσθαι ἀπὸ τοῦ θορεοῦ. καθὸ καὶ οἱ ἀδιαγνῶται. φύσεως ἐργαστήριον αὐτὴν εἶπον.

## τὸ Μ. διὰ τοῦ Ι.

Μίλαξ. διὰ τοῦ ι. τὰ εἰς αξ λήγοντα οὐ θέλουσι τῇ ει παραλήγεσθαι. οἷον Φαίαξ. αὖλαξ. θώραξ. κλίμαξ. θρίδαξ. πλὴν τοῦ λείαξ. ὃ σημαίνει τὸν λειμῶνα. καὶ τὸ μείραξ. ἰστέον δὲ ὅτι τὸ μίλαξ. εἶδος βοτάνης ἐστίν. ἥτις λέγεται καὶ ἡ μίλος. ἐξ οὗ καὶ τὸ μίλιον χρῶμα. διὰ τοῦ ι γράφεται. ὅμηρος.

Μητίετα Ζεύς· τὸ μῆτις γέγονεν ἐκ τοῦ μήδω· τὸ σημαῖνον τὸ βουλεύομαι· ὅθεν καὶ μέδοντες οἱ βασιλεῖς λέγονται· οἷς ἡ βουλεία ἐστί· ὅθεν καὶ βουληφόροι λέγονται· οὗ ὁ μέλλων. μήσω ῥῆμα· καὶ ὄνομα μῆσις· καὶ μεταθέσει τοῦ σ εἰς τ· μῆτις· καὶ ἐν συνθέσει ἀγκυλομήτης. ἀπὸ δὲ τοῦ μήδω· ἐγένετο τὸ μῆδος· ὄνομα· ὅθεν καὶ μήδεα πυκνά. καὶ ἀπὸ τούτου ἐγένετο μητιόεις· ὄνομα ἀρσενικόν οὐδέτερον μητιόεν· μητιόεντος. ἰστέον ὅτι ταῦτα κατὰ ποιητικὴν ἄδειαν λέγονται· ὡς ἱππότα Νέστωρ· καὶ μητίετα Ζεύς· καὶ αὐτὰρ ὦ θυέστα. καὶ τὰ τούτοις ὅμοια· ταῦτα γὰρ καὶ μονόπτωτα εἶσι· καὶ ποιητικὸν μεταπλασμὸν λέγεται εἶναι αὐτά· διὸ καὶ ἄκλιτα ἔμειναν. καὶ ἄλλως παρὰ τὸ μήδω· τὸ βουλεύομαι· γίνεται μητίτης· καὶ κατὰ πλεονασμὸν τοῦ ε· καὶ συστολῇ τοῦ ι· γίνεται μητιέτης. ἔστι Βοιωτῶν καὶ Αἰολέων ὁ τοιοῦτος τῶν ὀνομάτων μετασχηματισμός.

παρ' ἡμῖν δὲ οὐδὲ ἀρσενικὸν ὄνομα. ἐπέυθηκία εἰς α λήγει.

Μιαρία. παρὰ Δημοσθένει ἡ λέξις. εἴρηται δὲ ἀπὸ τοῦ μιαροῦ καὶ βδελυρου.

Μιαιφόνος. οἷον βιαιφόνος. κατὰ τροπὴν τοῦ μ. εἰς τὸ β. ἢ ἰαιφόνος. ὁ ἰαινόμενος. τοῖς φόνοις. τουτέστιν εὐφραινόμενος.

Μήρ. παρὰ τὸ μῶ. μήθω. μέλλοντα. ὅ ἐστι φροντίζω. τὸ μήρ. ἐκ τοῦ ματῶ. μάτηρ. καὶ μήτηρ. ὡς μάτης, μήτης. ὁ τῶν ἀδήλων ζηλωτικός.

Μῆτις. εἰς τὸ μήρ.

Μητίετα. ἐστιν ἡ εὐθεῖα μητιέτης. παρὰ τὸ μῆτις. τοῦτο παρὰ τὸ μήδω. ἐκ τοῦ μῆτις γίνεται μητῆτις. καὶ πλεονασμῷ τοῦ ε. μητιέτης. ἡ αἰτιατικὴ τὸν μητιέτην. καὶ κατὰ μεταπλασμὸν μητιέτα. διατί προπαροξύνεται. αἱ γενόμεναι κατὰ μεταπλασμὸν εἰς α. αἰτιατικαί. μὴ προηγουμένης γενικῆς ἢ δοτικῆς. διὰ τὸ ἱππότης. ἱππότου, ἱππότα. προμετεπλάσθη γὰρ πρόσκειται ὅπερ

δύο συλλαβάς · διά τό λι· τό λιτά·
καί λίτα πετάσας· τόν μητιέτην γάρ
καί ἡ κλητική· ὦ μητιέτα ὦ φίλε βα-
-ρωτκαλαι· ἀλλά κανών ἐστιν ὁ λέγων·
ὅτι τάς εἰς ης ἰσοσυλλαβα· εἰ τό τ
ἔχοι· εἰς α —— ποιοῦσι τήν κλητικήν·
καί ὦ φίλε εἶναι μητιέτα· ἀπό τῆς
μητιέτης· εὐθείας· ἀλλ· ἐπειδή ἕτερος
κανών ἐστιν ὁ λέγων· ὅτι πᾶσα πτῶσις
συνεπίπτουσα ἑτέρα πτώσει· κατά τόν
αὐτόν ἀριθμόν· καί τόν αὐτόν τόνον
ἐπιδέχεται· τούτου χάριν ἡ κλητική
τόν αὐτόν τόνον ἐφύλαξε τῆς αἰτιατικῆς·
καί ἡ εὐθεῖα πάλιν τῇ αἰτιατικῇ ὁμο-
-φωνησειν·

Μητίω· διά τοῦ ι γράφεται· τό τι-
ῶσπερ ἀπό τοῦ κόνις κονίω· καί ἀπό
τοῦ δῆρις δηρίω· καί ἀπό τοῦ μῆνις
μηνίω· οὕτω καί ἀπό τοῦ μῆτις μη-
-τίω·

Μῆτις εἰς τό ἀγκυλομήτις·

Μητίω· εἰς τό ἀδήριτον·

Μήτρα· παρά τό μήτηρ· μητέρος· μη-
-τέρα καί κατά συγκοπήν μήτρα·
σημαίνει δύο τήν ματέρα καί γράφεται

διά τοῦ π. καί τήν ζώνην. καί διά τοῦ τ. καί ὅμηρος.

μήθει θὴν ἐφόρει.-

Μήτρα. ὡς ἀπό τοῦ πατήρ πάτρα. οὕτω καί ἀπό τοῦ μήρ μήτρα. ὑπερ:βιβασμῷ τοῦ ε. τό δέ μήρ. παρά τό μῶ. τό ζητῶ. ἡ μαστεύουσα τάς πρός τροφήν τοῖς κυηθεῖσιν. ἤ ὅτι φυσικῶς αὐτά τά γεννηθέντα μαστεύει καί ζητεῖ. ἔντρα καί φρήτρα. ἡ μήτρα τῆς γυναικός.

Μηχανή. εἰς τό πολυμήχανον.

Μήχος. ἐστίν ὄνομα οὐδέτερον τό μῆ π. λέγουσι τινές. ὅτι ἐκ τοῦ μηχανή γέ:γονε κατά παρασχηματισμόν.

Μῆχος. ὡς ἦδον. ἦδος.

ἐδεῖτ' ἐδαι τοῖς θαλῆς ἔσσεται ἦδος.

Μηων. εἰς τό ζήτειον.

Μιλιαρίσιον. τό καί χρυσοῦ καί ἡμι:συ τοῦ ἀργυρίου. ἀντί συγγενείας τ. καί εἰς τό ἄργυρος.

Μιλιαρίσιον ἐν δυνάμει δύο. στρατι:ωτικόν δῶρον. μίλιν γάρ ἡ στρατία.

Μίγας. τό κοινόβιον. τό μοναστήριον. καί μιγάδες οἱ ἐν κοινοβίοις μεμιγμένοι

ζῶντες· ἤτοι τὸ ἐκ πολλῶν ἀθροισ-
τῶς ἄθροισμα. ἐκ τοῦ μίγω.

Μίνως διὰ τοῦ ι· τινὲς δὲ γράφουσιν
αὐτὸ διὰ τῆς ει διφθόγγου· παρὰ τὸ
μένειν λέγοντες μείνως· καὶ πλεονασ-
μῷ τοῦ ι. μείνως. ἡ δὲ παράδοσις
διὰ τοῦ ι· αὐτὸ γράφει. ἐπειδὴ εὕ-
ρηται καὶ παρὰ Πλάτωνι τῷ κωμι-
κῷ. ἢ ὅτι παρὰ τὸ μίμνω. γέγονε
μίμνος καὶ μίνωος· καίπερ διὰ τοῦ
ι ἐγράφη. ἢ παρὰ τὸ ἶς τὸ σημαῖνον
τὴν δύναμιν γέγονεν ἶνως· καὶ πλεονασ-
μῷ τοῦ μ μίνως· ὡς ἴα. μία. ἐκ τοῦ
μίνως γέγονε μινώταυρος.

Μίγδην. εἰς τὸ παραβλήδην.

Μία. ὄνομα θηλυκόν. γίνεται πα-
ρὰ τὸ ἴα. ζήτει τὰ λοιπὰ εἰς τὸ
εἷς.

Μιγέντα ἐκ τοῦ μίγω. τὸ μι. ι. δι-
ὰ τὸ ι. τὰ διὰ τοῦ ηγω εὕρματα· εἴ-
τε δισύλλαβα. εἴτε ὑπὲρ δύο συλλα-
βάς· εἴτε ὀξύτονα. εἴτε περισπώμε-
να. διὰ τοῦ η γράφεται. οἷον τμή-
γω τὸ διαχωρίζω. θήγω τὸ ἀκονῶ.
ἀρήγω τὸ βοηθῶ. περισπώμενα δὲ.

οἷον ξυληγῶ· στρατηγῶ· ὁδηγῶ· πλὴν
τοῦ πνίγω· μίγω· ὅπερ μετὰ τοῦ σ̄·
μίσγω· καὶ θίγω· τὸ προσεγγίζω· καὶ
τὸ σιγῶ· σεσημείωται καὶ τὸ ἐπείγω.
ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται.
Μιγέωσι· ῥῆμα ὑποτακτικὸν παθη-
τικόν· ἀορίστου δευτέρου· πρόδηλον
ὅτι ἀορίστου δευτέρου· ἐπειδὴ· εἰ ἦν
ἐνεστώς· μακρὸν ὤφειλεν ἔχειν τὸ ῑ.
ὧ δὲ δὲ ἔστι βραχύ. καὶ τούτου χάριν
ἔστιν ἀορίστου δευτέρου, ὁ ἐνεστὼς μί-
γω· καὶ τὸ μῑ μακρόν ἐστι· μίσγω
καὶ ἡ θέσει μακρὰ μετεβλήθη· εἰς
φύσει μακράν· τὸ μι· ῑ· ἐπειδὴ
ἐγράφη διὰ τῆς ει διφθόγγου. ὤ-
φειλεν ὁ μέσος παρακείμενος.
μέμοιγα. τούτου χάριν ὁ ἐνεστὼς
διὰ τοῦ ῑ· καὶ ὁ δεύτερος ἀόριστος
ἔμιγον βραχὺ τὸ ῑ· καὶ ἐμίγην
ὁ παθητικός· καὶ μιγεὶς ἡ μετο-
χή· καὶ τὸ ὑποτακτικὸν μιγῶ.
μιγῶ· μιγῶσι· καὶ πλεονασμῷ τοῦ
ε̄ μιγέωσι ποιητικῶς.
Μικρὸν εἰς τὸ ὀλίγον.
Μικρός· παρὰ τὸ μεῖον, ὃ σημαίνει

τὸν ἐλάττονα. τοῦτο δὲ κατὰ διάλυ-
σιν τοῦ ι. καὶ ἔκτασιν τοῦ ε. εἰς η.
μήϊον. καὶ ἐκεῖθεν μήϊκρος. καὶ μι-
κρὸς κατὰ συγκοπήν. τὸν μικρὸν
δὲ ἄνθρωπον. εἰώθασιν ἄνθρωπον
καλεῖν.

Μικρὸς διὰ τοῦ ι γράφεται. κανόνι
τοιούτῳ. τὰ εἰς ρος καθαρὰ δισύλ-
λαβα εἴτε κύρια. εἴτε μὴ κύρια.
ἀποστρέφει τὴν διὰ τῆς ει διφθόγ-
γου γραφήν.

Μιλτός. ἡ βαφή.

Μιμαλλόνες. γυναῖκες. παρὰ τὸ μι-
μεῖσθαι ἄνδρας. ἤτοι διὰ Μακεδονι-
κὴν ἱστορίαν. ἥτις κεῖται ἐν τοῖς Καλ-
λιμάχου καὶ εἰς τὸ ἄπολλον.

Μιμηλὸν ζῶον. ὅμοιον. ἐξομοιοῦντα.
παρὰ τὸ μιμεῖσθαι. ὁ καὶ μιμηλὸς
ἄνθρωπος ὁ μῖμος. τὸ μι ι. διατί.
ἐκ τοῦ μῖμος μιμῶ. καὶ μιμηλῶ. τὸ
μιμοῦμαι καὶ ὁμοιάζω. ἐξ οὗ καὶ
μῖμος ὁ μιμούμενος, καὶ εἰς τὸ ὅμοιος.

Μίμνω κατὰ τροπὴν τοῦ ε. εἰς ι.
καὶ πλεονασμῷ συμφώνου γέγονεν.

ὥς ἔχω· ἴσχω· τέκω τίκτω· πέτω
πίπτω· ὀρέγω ὀρίγνω· οὕτω καί
μένω· μίμνω· καί εἰς τό γίνομαι.
Μίν· ἀντωνυμία δωρική· τρίτου
προσώπου πρωτοτύπου. ἀπὸ τοῦ ἵ.
τοῦτο γάρ τό ἵ· ὡς τρίτου βραχυνό-
μενον πρόσωπον. ἐφελκύσατο τό ν.
ἔτυψε· ἔτυψεν· καί πλεονασμῷ
τοῦ μ· μίν· ὥσπερ ἴα· μία· κράδιον.
κρεμάδιον· τό μίν· τρία σημαίνει
γένη· αὐτόν· αὐτήν· αὐτό.
Μίνθη· ἥν τινες ἡδύοσμον καλοῦσιν.
ἔτι δέ καλαμίνθος· ἄγριον ἡδύοσμον.
ὅπερ λυπουμένη ἡ δημήτηρ ἰδοῦσα
ἐμίσησε καί ἄκαρπον ἐποίησεν ὄρ-
φνης. β

Τό πρίν ἔον μέγα δένδρον ἐπί χθονί καί φερέκαρπον
μή ποτε σοῦ ἡμεῖς μίνθον καί ἀντίφρα-
σιν τὴν δυσωδίαν καλοῦμεν.
Μινθήιν· εἰς τό ἀσάμινθον.
Μινώταυρος· ὄνομα κύριον.
Μίξις· ὥσπερ ἐκ τοῦ σώσω· σωσίας.
καί λέξω· λεξίας· οὕτω καί μίξω μιξί-
ας· μίξις.

Μίξις διὰ τοῦ ῑ· ὥσπερ παρὰ τὸ πράξω μέλλοντα· γίνεται πρᾶξις· οὕτω καὶ παρὰ τὸ μίξω μίξις. τὸ δὲ μίσγω διὰ τοῦ ῑ γράφεται· ἐπειδὴ μέμισγα ἐστὶν ὁ μέσος παρακείμενος· εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου· μέγα εἶχεν εἶναι. ἐὰν γὰρ εὑρεθῇ ἐν δισυλλάβῳ μέλλοντι τὸ ε̄. ἢ μόνον ἢ μετὰ τοῦ ῑ· τότε γὰρ εἰς ο̄ αὐτὸ τρέπει· ὁ μέσος παρακείμενος· οἷον πείθω· πέποιθα· οἷον λείπω. λείψω. λέλοιπα. κείρω. κερῶ. κέκορα. λέγω. λέξω. λέλογα.

Μισάγκεια· παρὰ τὸ μίσγω· μισγάγκεια· καὶ μισάγκεια. ἄγκος δὲ ἡ ἀγκάλη· σημαίνει δὲ καὶ μισάγκεια τὸν κοῖλον τόπον.

Μισάγκεια· σημαίνει τόπον κοῖλον· εἰς ὃν καταφερόμενα τὰ ὕδατα τῶν ὀρῶν· μίσγονται· γράφεται δὲ διὰ τῆς ει διφθόγγου· τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων· ἔτως σῶ καὶ ἄγκος μισγαγκος· μισγάγκεια. σημαίνει δὲ τὸ ἄγκος· τὸν ἐξέχοντα

τόπον· ἐξ οὗ τὸ ἀγκών.

Μισητή· ζήτει εἰς τὸ τέλος. παρὰ τὸ μισέω· γέγονε μισητή. καὶ κατὰ ἀποβολὴν τοῦ συμφώνου μισητή. ὡς ἀπὸ τοῦ γίγνεται ἀποτελεῖται τὸ γίνεται. καὶ ἀπὸ τοῦ γιγνώσκω. τὸ γινώσκω. κατὰ συγκοπὴν τοῦ συμφώνου.

Μισητή. καὶ μισήτη διαφέρει. ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν σημαίνει τὴν ἀξίαν μίσους. καθὼς καὶ ἐν τῇ συνηθείᾳ. εἰ δὲ βαρυτονήσωμεν. τὴν καταφερῆ πρὸς συνουσίαν. β.

Μισθαρνία παρὰ τὸ μισθὸς καὶ τὸ ἀρνῶ. τὸ ἀντικαταλλάσσομαι. ἐξ οὗ καὶ κατὰ παραγωγὴν ἀρνύω. καὶ ἄρνυμαι καὶ ἀρνύμενος. τὸ δὲ ἀρνῶ. παρὰ τὸ ἀρνός. οἱ γὰρ ἀρχαῖοι τὰς ἀμοιβὰς διὰ τῶν ἀρνῶν ἐποιοῦντο. τὸ δὲ ἀρνός. παρὰ τὸ ἄρην. ὃ σημαίνει τὸ πρόβατον. ἐκ τοῦ κατὰ συγκοπὴν καὶ μετάθεσιν ἀρνός. τὸ δὲ ἄρην παρὰ τὸ ἀρά. ὃ σημαίνει τὴν εὐχήν. τὰς γὰρ εὐχὰς οἱ ἀρχαῖοι,

διὰ τῶν ἀετῶν ἐποιοῦντο.

Μιαλός. παρὰ τὸ πείθω. πείθω. πισ-
τός. καὶ μιαλός. ὁ γὰρ μιαλὸς πείθει.
τὸν ποθοῦντα λαβεῖν. ὃ ποθεῖ.

Μιαλός. οἱονεὶ πιαλός. ὁ πείθων τινὰ
ὑπεραίρειν. ἢ παρὰ τὸ μῖσος ὠθεῖν.
ἢ παρὰ τὸ πείθω. ἢ παρὰ τὸ μῶ
τὸ ζητῶ. καὶ τὸ δὺς ὃ σημαίνει τὸν
δοῦλον. πρὸς ὃν ἀναβλέπει ὁ δουλεύων.

Μισογύνης. εἰς τὸ δαίφρων.

Μῦθος. παρὰ τὸ μύω. τὸ καμμύω.

Μιστύλλον. παρατατικοῦ τρίτου τῶν
πληθυντικῶν εἰς ῶ. τὸ ῥῆμα μιστύλλω.
σημαίνει τὸ εἰς μικρὰ κατακόπτω.
γέγονε δὲ παρὰ τὸ μεῖον τὸ μικρόν.
μιτύλλω. καὶ πλεονασμῷ τοῦ σ.
μιστύλλω.

Μίτος εἰς τὸ βάρβιτον.

Μίτρα ἡ ζώνη. ἢ διὰ τοῦ μίτου ὑφαι-
νομένη. ὅ ἐστι διάδημα.

τὸ Μ. μετὰ τοῦ ν.

Μνημόσυνον. ἀπὸ τοῦ μνῶ. μνήσω.
ὄνομα ῥηματικὸν μνήμων. μνήμονος.

μνημοσύνη. τὸ οὐδέτερον μνημόσυνον.

Μνεία. ἔστι μένω μενεία. καὶ ἐν ὑπερ-
:θέσει τοῦ ε μενεία. καὶ κατὰ συναί-
ρεσιν τοῦ ε. καὶ ι. εἰς τὴν ει δίφθογγον
μνεία. μνεία δέ ἐστιν ἡ ἔν τινι οὖσα-
όσιον κειμένη.

Μιτρώνος ὁ Αἶτος.

Μνήμη. μενήμη. ἀπὸ τοῦ μένειν ἐν
ἡμῖν αὐτήν. Ἀλκμὰν δέ φασι δοεχον
αὐτὴν καλεῖ. βλέπομεν γὰρ τῇ δια-
:νοίᾳ τὰ ἀρχαῖα.

Μνήμη καὶ μνεία. ἔστι γοῦν μνήμη γνω-
:σις τύπωσις ψυχῆς. μνεία δὲ λόγος.
κατ' ἀνανέωσιν λεγόμενος.

Μνημόσυνον. μνήμη ὁρῶντος.

Μνήσαντο. μνήμην ἐποιοῦντο τοῦ
πολέμου καὶ τῆς χάρμης. ἤτοι κατ'
ἐναντιότητα ἢ χαρὰν ποιοῦσα τοῖς
νικῶσι.

Μνᾶ. ἡ μία ἑκατοντ.

Μνᾶ. τινὲς μὲν τρία νομίσματα
ταύτην φασὶν εἶναι. ἔνιοι δὲ ἐτυμο-
λογοῦντες. μίαν τινὰ αὐτὴν εἶναι. κα-
:τὰ μίαν οὖν μνᾶ.

Μνᾶ. ἔχει οὐγκίας εἴκοσιν. ἄλλοι δὲ
ἑξάγια ἑξακόσια.

Μνᾶς καὶ μέδιμνον οἶμαι δὲ ἐκ Ῥω-
μαικῆς γλώσσης παρηχθῆναι. τὸ
γὰρ μηδιόσμ. μέσον. ἑρμηνεύεται ἐν
αὐτῇ τῇ γλώσσῃ. μνᾶς τοίνυν παρὰ
Κυπρίοις μετρεῖται καὶ παρ' ἄλλοις
ἔθνεσιν. εἰσὶ δὲ μόδια σίτου δέκα.
Σαλαμίνιοι ἤγουν κωνσάντιοι κε.
μοδίων ἔχουσι. πάφιοι δὲ καὶ Σικε-
λοί. τέταρτον ἥμισυ μόδιον αὐτὸν
μετροῦσι. καὶ εἰς τὸ σάτον.

Μόδιος παρ' ἑβραίοις μασση λέγεται.
ὅ ἐστιν εἴκοσι δύο ξέστων. ἕλληνες
δὲ αὐτὸ ἑρμηνεύουσι μόδιον. φασὶ καὶ
Αἰγύπτιοι. καὶ σύροι. καὶ ἄραβες.
καὶ εἰς τὸ σάτον.

Μνήστωρ. ἐκ τοῦ μένειν στερεῶς.

Μνήστωρ. μνηστῆς διαφέρει. μνήστωρ
μὲν λέγεται ὁ ἀνήρ. καὶ κλίνεται
μνηστήρ. μνηστῆρος. μνηστὴ δὲ ἡ γυνή
καὶ κλίνεται μνηστῇ μνηστῆς. ἰστέον
ὅτι ὁ λαμβάνων γυναῖκα πρῶτον λέ-
γεται μνηστήρ. εἶτα νυμφίος. εἶτα
ἀνήρ. ἡ δὲ γυνή. πρῶτον παρθένος.
εἶτα μνηστή. εἶτα νύμφη. εἶτα γυνή.

κἂν τὸ κυοφορούμενον βαστάζῃ· ἐὰν γὰρ οὐ προέλθῃ· μήτηρ οὐ λέγεται· τὸ δὲ γεννώμενον πρῶτον σπέρμα· ἔπειτα ἔμβρυον· καὶ ὅταν γεννηθῇ· υἱός.

Μοῦ εἰς τὸ ἀμνός.

Μνῶ· εἰς τὸ μηνίω.

τὸ Μ· μετὰ τοῦ Ο

Μόγος· κάματος· παρὰ τὸ μέγας· εἰσὶ γὰρ τοῖς μεγάλοις πράγμασι κοπιώμενοι· καὶ εἰς τὸ λόγος· καὶ μόχθος.

Μογοστόκος· μογοῦσα ποιεῖ τὸν τόκον. καὶ πονουμένη.

Μοθωνία· ἀλαζονεία τις τοῦ σώματος κινητική· ὅθεν καὶ μόθος. μόθων ὁ ταρακτικός. ὅμηρος.

οἶδα δ' ἐπαΐξαι μόθον ἵππων ὠκειάων.

Μοῖραν ἀπὸ τοῦ μεμερίσθαι· καὶ καταμεμερίσθαι τινὰ ἡμῶν ἑκάστῳ· καὶ εἰς τὸ ἠμοίρησε.

Μοιρηγενής· γίνεται· ἐκ τοῦ μοῖρα· ὃ σημαίνει τὴν εὐτυχίαν· καὶ ἰωνικῶς μοίρη· καὶ τὸ γένος μοιρηγενής. οἱονεὶ ἐπὶ εὐτυχίας γεγεννημένη.

Μοιχός· σημαίνει δύο· τὸν ἐνδότατον
τόπον· καὶ γράφεται διὰ τοῦ ῡ· γίνεται
δὲ· παρὰ τὸ νύξ· νυχός· καὶ κατὰ τρο-
πὴν τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον
μυχός· οἱονεὶ ὁ ἐνδότατος καὶ σκοτεινὸς
τόπος· παρὰ τὸ μεμυκέναι· ἢ νυχὸς
τις· ὤν· οἱονεὶ σκοτεινός· ἢ ἐκ τοῦ
μύω· τὸ καμμύω· ἐξ τὰ ἐνδότερα φω-
τὸς ἀπέρχεται· μοιχὸς δὲ ὁ πόρνος.
τὸ μοι δίφθογγον· καὶ γίνεται παρὰ
τὴν μὴ ἀπαγόρευσιν· καὶ τὸ εἴκω τὸ
ὁμοιῶ· ὁ μέσος παρακείμενος οἶκα·
καὶ ἐξ αὐτοῦ μετὰ τῆς μὴ ἀπαγορεύ-
σεως· μηοικός· καὶ κατὰ συγκοπὴν
μοικός· καὶ τροπῇ τοῦ ψιλοῦ εἰς
δασὺ μοιχός· ὁ τὰ μὴ ἐοικότα πράτ-
των· ἢ παρὰ τὴν μὴ ἀπαγόρευσιν.
καὶ τὸ οἴχω τὸ πορεύομαι· ἐπιτη-
ρεῖ γὰρ μὴ οἴχεται ὁ ἀνὴρ τῆς γυ-
ναικός.

Μοῖρα· ἡ μεμερισμένη ἑκάστῳ· καὶ
δίαις καὶ δαΐς· καὶ δαίμονα· ἀφώρισται
γὰρ καὶ δαίμων

μυραλοιφίαις ἐκ τοῦ μύρον καὶ τὸ ἀλοιφή·

Μόθος· ἡ στάσις· καὶ μάχη τοῦ πολέμου.
ἀπὸ τοῦ μῦθος γέγραπται.
Μοιχός· ἀπὸ τοῦ εἰς μυχοὺς καταβαί-
νειν· ὁ δὲ τὰ κήλας μυχῷ ἄργειος ἵππος.
ὅτι οὐχὶ ὥς τινες δὲ μάσιχος· ὁ μαινό-
μενος· καὶ ζητῶν πότε ἀπέλθῃ ὁ ἀνήρ.
ὡς ὁ ποιητής·

Δεῦρο φίλη λέκτρονδε τραπείομεν εὐνηθέντες.
Οὐ γὰρ ἔτ' Ἥφαιστος καταδήμιος· ἀλλ' ἀπου ἤδη
Οἴχεται μετὰ σίντιας ἀγροφώνους.

οἱ δὲ ἐν τῷ μοιχῷ ὀχεύ[ει]. ὡς Διόνυσος
φησί.
Μολουρίς· εἰς τὸ ἱππουριν.
Μολόχη· διὰ τὸ μαλάσσειν τὸν χυμόν.
Μολπή· εἰς τὸ μέλπω.
Μολύνω· τὸ μο· μικρόν·
Μόλυσμα· ἔστι μολύνω· μεμόλυκα· με-
μόλυμμαι· τροπῇ τοῦ μ· εἰς σ· μεμό-
λυσμαι· ἐξ αὐτοῦ μολυσμὸς καὶ τὸ μόλυσ-
μα.
Μολεῖ· παραγίνεται· ἢ παρὰ τὸ μέλω
τὸ φροντίζω· γίνεται μολῶ· ἢ παρὰ τὸ
πονῶ πολῶ· τροπῇ τοῦ ἀμεταβόλου
εἰς ἀμετάβολον· καὶ τοῦ π· εἰς μ·
μολῶ· εἰς ὃν γάρ τις τόπον οἰκεῖ, ἐκεῖ
καὶ μολεῖ.

Μονὰς· πόθεν· παρὰ τὸ μένειν ἐν ἑαυτῇ.
Μονὰς λέγεται· παρὰ τὸ μένειν ἐφ' ὅσον
ἂν γένηται ἀριθμόν.
Μόλιβδος· ὅτι ἐστὶ καὶ διὰ τοῦ υ. τὸ
δ προσλαμβάνει καὶ γίνεται μόλυβ:
:δος.
Μόλυβδος· παρὰ τὸ μολεῖν εἰς βάθος.
μετὰ τοῦτου γὰρ ἱ βολίζειν λέγουσι
τὸ πέλαγος.
Μολοβρός· ὁ ἀλήτης· ὁ ἐπαίτης· ὁ γασ:
:τρίμαργος· ὁ μολίσκων ἐπὶ τὴν βορὰν.
καὶ ἀκόρεστος τροφῆς· παρὰ τὸ τάχιστα
πληρῶσαι· τὴν ἐπιθυμίαν.
Μονονουχί· ἐπίρρημα συγκριτικόν
σημαίνει δὲ τὸ σχέδον καὶ τὸ ἐγγύς.
καὶ ἔστι τοπικόν.
Μόνον ἐπίρρημα εἰκασμοῦ· ὡς ἐπὶ τὸ
μόνον ἐπάγει.
Μοναχός· παρὰ τὸ μόνῳ θεῷ προσεύ:
:χεσθαι· ἢ μόνως ἔχων· τὸ πάντων αἴ:
:τιον ἤτοι καλόν
Μονιός· σημαίνει τὸν ἄγριον· γέγονε
δὲ ἀπὸ τοῦ μόνος μονιός· ὁ γὰρ ἄγριος
οὐ προσκολλᾶται ἑτέρῳ τινί. καταχ:
:ρηστικῶς δὲ σημαίνει τὸν δαίμονα.

Μονιὸς σημαίνει τὴν μεμονωμένην ἄγριον· παρὰ τὸ μονιᾶν· τοῦτο παρὰ τὸ μόνος· καταχρηστικῶς δὲ σημαίνει τὸν δαίμονα.

Μονοκερώτων· ἐκ τοῦ μόνος καὶ τοῦ κείρω· τὸ κόπτω γίνεται κέρας· καὶ κλίνεται κέρατος· καὶ τὸ ἰωνικὸν κέραος· καὶ ἀττικῶς κέρως· καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν· καὶ κλίνεται κέρωτος· ἡ γενικὴ τῶν πληθυντικῶν τῶν μονοκερώτων Ὅμηρος.

Μονογενής· ὁ μόνος γενόμενος· ἢ διὰ τὸ μόνος τῷ γένει ὤν.

Μονοκερώτων· ἐπὶ κείρω τὸ σημαίνον τὸ κουρεύω· καὶ ἐξ αὐτοῦ κέρας· ἡ γενικὴ κέρατος· καὶ ἰωνικῶς κέραος· καὶ Ἀττικῶς κέρως· καὶ μετὰ τοῦ μόνος· γίνεται μονόκερως· μονοκέρωτος. ἡ γενικὴ τῶν πληθυντικῶν μονοκερώτων· ὥσπερ γέλως γέλωτος· φιλογελως.

Μόνος παρὰ τὸ μὴ μετ' ἑτέρου εἶναι.

Μόνος παρὰ τὸ μένω· μένος· καὶ μόνος.

Μόνος· καὶ μοναχὸς διαφέρει· μοναχὸς

μὴν εἴρηται· παρὰ τὸ μόνῳ θεῷ εὔχεσθαι· ἢ παρὰ τὸ μόνος ἄχη ἔχει· μόνος δὲ ἁπλῶς ὁ μεμονωμένος.

Μονιμώτερα· βεβαιότερα· παρὰ τὸ μένειν μονίμως· καὶ ἐπιμόνως.

Μορμολύκιον· τὸ ἐκφοβοῦν· παρὰ τὸ μορμὼ ἐστὶ δὲ ὄνομα γυναικὸς μεταφορικῶς οὖν ἐκ ταύτης· τὰ πρὸς κατάπληξιν προτυπωθέντα προσωπεῖα· ἐκάλεσαν μορμολύκεια.

Μορμολυκεῖα· ἡ ἐκφόβησις.

Μόρον· εἰς τὸ ἴσομοροι.

Μορφή· ἰδέα· παρὰ τὸ μείρω τὸ μερίζω· γίνεται μορή· καὶ πλεονασμῷ τοῦ φ· μορφή· ἢ παρὰ τὸ μαρμαίρω τὸ λάμπω· τὸ πρὸ μικρόν· τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν· ἔχουσι τὸ ο ἀντὶ παρακειμένου.

Τί διαφέρει μορφὴ καὶ σχῆμα· μορφὴ λέγεται ἐπὶ τῶν ἐμψύχων· σχῆμα δὲ ἐπὶ τῶν ἀψύχων· καὶ σχῆμα μέν ἐστιν ἡ παντὸς ὄγκου ἀποπεράτωσις· μορφὴ δὲ ἡ τοῦ ὅλου ζώου ἀποπεράτωσις. ἡ γὰρ μορφὴ πάντα μερίζει.

Μόρος· παρὰ τὸ μερείζω· ὁ μεμερισμέ:νος ἑκάστῳ· ὡς σπείρω· σπόρος· σημαί:νει τρία· τὸν θάνατον· τὴν κακοπά:θειαν· καὶ κόπον· καὶ τὴν μοῖραν.

Μορῶ· εἰς τὸ ἄρμορε·

Μόχθος· ἀπὸ τοῦ μῶ· τοῦ σημαίνοντος τὸ ζητῶ· ὁ τοῖς πᾶσι ζητούμενος· ἢ ἀπὸ τοῦ ὄζω γίνεται ὄχθος καὶ πλεονασμῷ τοῦ μ μόχθος· ἢ κατὰ στέρη:σιν τῆς δυσωδίας· ἀπὸ τοῦ ὄζω· ὄχθος· καὶ μ· μόχθος· δύο γὰρ σημαίνει τὸ ὄζω·

Μόσχος· σημαίνει τρία· τὸ μοσχάριον· καὶ τὸν ἀρωματικὸν μόσχον· σημαίνει καὶ τὸ ἱμαντῶδες φυτόν· καὶ εἰ μὲν σημαίνει τὸ μοσχάριον· γίνεται παρὰ τὸ μυκεῖ κράζειν· μῶ μᾶ· ἢ παρὰ τὸ τὴν μρα· ὀσμᾶσθαι· εἰ δὲ σημαί:νει τὸν ἀρωματικὸν μόσχον· γίνε:ται παρὰ τὸ μέθον χεῖσθαι· εἰ δὲ τὸ ἱμαντῶδες· - - - - - -

Μοχλός· παρὰ τὸ μὴ χαλᾶσθαι τὰς θύρας.

Μοχλός· μὴ ὀχλός τις ἐστὶν ὁ μὴ ἰῶν

ὀχλεῖν τινα τὴν θέαν. ὡς καὶ ὅμηρος.
ἀπ' οὐδενὸς ὀχλίζει. — καὶ ὄχλος ἀπὸ
τοῦ κινεῖσθαι ἄκοντας. ὑπ' ἀλλήλων.

Μοῦσα. γνῶσις. παίδευσις. θεωρία.
μορφή. ᾠδή. καὶ ὄνομα κύριον. ἄμου
:σον. ἀπαίδευτον καὶ ἀμουσία.

Μόριον. τὸ ἐπὶ τοῦ αἰδοίου. κατ'
ἐξοχὴν γὰρ τῶν ἄλλων μορίων, ἐπει
:δὴ γεννήσεως ἐστὶν ὄργανον.

Μορόεντα. τὰ τῆς ἥρας ἐνώτια. ζήνων
ὁ φυσικὸς φιλόσοφος. στρογγύλα ἀπὸ
τῶν φυσικῶν μορ..

Μορία. ἡ ἐλαία. πᾶσαν ἐλαίαν οὕτω
καλοῦσιν. οἱ δὲ τὰς ἱερὰς τῆς θεοῦ.
ἐκλήθη δὲ μορία. οἱ μὲν ὅτι διεμερισθεί
:αν μοῖραν ἐκ τῶν παρθένων ἐλάμβα
:νον. ζήνων δὲ ὁ μίνδιος. ὅτι τὸ
βεῖον τῶν ἐλαιῶν ἐκαλεῖτο μόριον.
ἔνθα αἱ ἀνθοῦσαι ἐλαῖαι. μόραι. τι
νὲς δὲ φασι. διὰ τὸν ἀλλιρροθίου μῦθον.
ὃς ἑαυτὸν ἀνεῖλε πελέκει ἰασάμενον
αὐτοῦ τὴν θυγατέρα ἀναλκίππην...

. . . . . . . . . . . . . εἰς τὸ
ἐλαίας. μορία ἐκλήθη.

Μοτάριον. ἐκ τοῦ βῶ. βίβημι. βίβηται.
βέβαμαι. βέβαται. καὶ ἐξ αὐτοῦ βατός.
καὶ τροπῇ τοῦ β̄. εἰς μ̄. καὶ τοῦ ᾱ.
εἰς ō. μοτός. μοτῶ. καὶ μοτῶ ῥῆμα.
μοτῶ. μοτώσω. τρίτης συζυγίας τῶν
περισπωμένων. καὶ ἐξ αὐτοῦ μοτάριον.
Μοτόν. τὸ εἰς ἀναπλήρωσιν σαρκός τι-
θέμενον. ἔνθεν καὶ ὁ μόλυτος. οἷον
πεπληρωμένος σαρκός. τὸ τῶσις. παρὰ
τὸ βῶ. βήσω. βέβηκα. βέβημαι βέβαται.
βατός. καὶ τροπῇ τοῦ β̄. εἰς μ̄. ματός.
καὶ τροπῇ τοῦ ᾱ. εἰς ō μοτός. καὶ ἐξ
αὐτοῦ περισπώμενον ῥῆμα μοτῶ.
μοτώσω. μότωσις. καὶ μοτάριον.
Μουδυχος. εἰς τὸ ἀσύφυτος.
Μοχθηρία. λέγεται ἡ κακία. ἀπὸ τοῦ
μοχθηρός. ὁ σημαίνει τὸν κακόν. τοῦτο
ἐκ τοῦ μόχθος. τοῦτο ἐκ τοῦ μόγος.
ὁ σημαίνει τὸν κόπον. πλεονασμῷ
τοῦ θ̄. καὶ τροπῇ τοῦ γ̄. εἰς χ̄. μόχ-
θος.
Μοχθηρός. εἰς τὸ πονηρός.

τὸ Μ. μετὰ τοῦ Ῡ.

Μυῖα. πόθεν ἐκ τοῦ μυῶ. σημαίνει δὲ

τὸ σαρκῶδες τῶν ὀπισθίων μέρος-
τὸ ἐσωτεσφιγμένον ὑπὸ τῶν νεύρων.
καὶ γίνεται παρὰ τὸ μύω τὸ συσφίγ-
γω μυῶν. — ἔνθα πάχιστος
μυῶν ἀνδρὸς πέλεται —
ὁ ἐσωτεσφιγμένος τόπος. ἐξ αὐτοῦ γί-
νεται μυῖα. ἡ σαρκώδης οὖσα. καὶ πα-
χεῖα. καὶ ὥσπερ ἐπὶ τοῦ ἄλω πλε-
ονασμῷ τοῦ ι. γίνεται ἀλοίω. οὕτω
τοῦ ι. οἷον.
ἡ δ᾽ ἀλδοῦσ᾽ ἀπεβήσατο. —
οὕτω καὶ τὸ μυῖα πλεονασμῷ τοῦ ι.
καὶ ἡ γενικὴ μυάων αἰολικῶς.
Μυδᾶν δευτέρας ἐστὶ συζυγίας τῶν
περισπωμένων. σημαίνει δὲ τὸ οἰδαί-
νειν. καὶ φυσᾶσθαι. καὶ ὀγκοῦσθαι.
οἰδαίνουσι τοίνυν οἱ τάφοι καὶ μυδῶσι
τοῖς κατὰ τὸ ἔνδον ὥσπερ τῶν ταφ(ῶν)
ὅσοι τὰ ἔξω εὐπρεπεῖς. καὶ ὡραῖοι.
μυδῶσιν νεκροῖς τὰ ἔνδον. καὶ τὰ
ἔξω.
Μύδρος. ὁ ἀργὸς σίδηρος. ἔστι δὲ ἡ
φωνὴ πεποιημένη. ἐκ τοῦ μείζω —

ῥήματος· ὅ ἐστιν ἠχῶ· καὶ εἰς τὸ ἀμυ-
δρός·
Μύδρος· ὁ ἀργὸς σίδηρος· τίθεται
καὶ ἐπὶ ἀναισθήτου· καλεῖται δὲ οὕτω διά-
-πυρος σίδηρος· ἐκ τοῦ μύζω ῥήματος
ὃ σημαίνει τὸ ἠχῶ·
Μύδρος· ὁ πεπυρακτωμένος σίδηρος·
παρὰ τὸ μύεσθαι καὶ διαρρεῖν·
Μυδῶ· εἰς τὸ κατορρωδηκότης·
Μυδῶντα· σημαίνει τὸν ὄζοντα· ἔστι
γὰρ μυδῶ καὶ γίνεται παρὰ τὸ μύειν
τοὺς μυκτῆρας ἤγουν κλείειν· καὶ
ἔστι δευτέρας συζυγίας τῶν περισπω-
-μένων· μυδᾷς γὰρ λέγομεν· καὶ ἡ
μετοχὴ μυδάων· μυδῶν·
Μυεῖται· παρὰ τὸ μύω· τὸ μανθάνω·
τὰ ἀπόκρυφα· μύω γὰρ τὸ καμμύω.
Μύειν· εἰς τὸ μυδῶντος·
Μυελός· παρὰ τὸ ἐν τῷ μυχῷ εἰλεῖσθαι.
μυχελός τις ὤν· καὶ εἰς τὸ μεμυαλός·
Μυελός· ὅτι μεμυκόσι τοῖς ὀστοῖς ἐγ-
-γενᾶται.
Μυζῶ· εἰς τὸ κατορρωδηκότα· καὶ
μύδρα·
Μυζῶ· ἐκ τοῦ μύζω τὸ σφίγγω.

Μυθήσασθαι. εἰπεῖν. ἔστι μέσου ἀορίστου πρώτου παθητικοῦ. οὐκ ἀπαρεμφάτου πέμπτης συζυγίας τῶν περισπωμένων μυθῶ. μυθήσω. ἐμύθησα, ἐμυθησάμην. μυθήσασθαι τὸ ἀπαρέμφατον.

Μῦθος. σημαίνει δύο. τὸν σκοτεινὸν λόγον. παρὰ τὸ μύω τὸ καμμύω. καὶ τὸν ἁπλοῦν λόγον. καὶ γίνεται παρὰ τὸ μύω. μυήσω. τὸ διδάσκω. μύηθος καὶ μῦθος. τὸ ῡ ψιλόν. τὰ διὰ τοῦ ηθος δισύλλαβα. διὰ τοῦ ῡ ψιλοῦ γράφεται· οἷον μῦθος. βυθός. τὸ μὲν βυθὸς τὸν τόνον ἤμειψε. τὴν δὲ γραφὴν φυλάξε. βαρύνεται. τὰ εἰς ος λήγοντα καθαρά. μονογενῆ δισύλλαβα παραλήγοντα φύσει μακρά. οἷον μῦθος. κῦθος. ζῦθος. πρόσκειται μονογενῆ. διὰ τὸ στρουθός. καὶ εἰς τὸ μυστήριον.

Μύνη. ἡ πρόφασις.

Μυελός. ἀπὸ τοῦ περὶ αὐτὸ μεμυκέναι τὸ ὀστέον.

Μύλη· ἡ πόλις κατεργαζομένη.

Μύινον· εἰς τὸ φαιόν.

Μυκῶ· εἰς τὸ μεμυκέναι.

Μυκτήρ· ἀπὸ τοῦ μεμυκέναι τὴν ὑγρὰν ἔκστασιν

Μυκώμεναι· μοῶσθαι.

Μυκηθμός· ἡ τῶν βοῶν φωνή.

Μυλωθρός· πλεονασμῷ τοῦ ρ· οἱονεὶ ὁ τὴν μύλην ὠθῶν. μυλωθρός τις ὤν.

Μύλος· διὰ τὸ μυλίζειν λίαν· ἤγουν κόπτειν· ἢ παρὰ τὸ μοχλός· κατὰ συγκοπήν. μύλος· παρὰ τὸ ὡς μοχλοῦ ποιεῖν τὰ εἰς αὐτὸν βαλλόμενα· καὶ τὸ θηλυκὸν μύλη. τοῦτο παρὰ τὸ μεῖον· ὃ σημαίνει τὸ ἔλαττον· ἢ παρὰ τὸ εἴλω· τὸ συστρέφω· ἢ παρὰ τὸ μειοῦν λίαν.

Μύω· εἰς τὸ ἀμμῦσαι· καὶ γμύω.

Μύλαι· τινὲς τῶν ὀδόντων· διὰ τὸ ὑπ' αὐτῶν λεαίνεσθαι· ἤτοι τρίβεσθαι τὴν τροφήν.

Μύξα· παρὰ τὸ ἀπὸ τῶν μυκτήρων ἐξέρχεσθαι.

Μύριος ἐπίρρημα ἀορίστου· ἀντὶ τοῦ
μεγάλως.
Μύρια· τὸ μῦ ψιλόν· οὐδὲν στοιχεῖον
ὀνόματος εἰς δίφθογγον λήγει· ἢ
οὕτως· ὁ τεσσαρακοστὸς ἀριθμὸς ἐφ'
ἑαυτὸν πολυπλασιαζόμενος γίνεται
αχ· εἶτα τὰ αχ ἐφ' ἑαυτὰ ἑξα
πλασιαζόμενα· γίνεται θχ· εἶτα.
λείπει τὸ ῦ στοιχεῖον· τὰ τετρα
κόσια καὶ προσθὲν γίνεται μύρια.
δέκα χιλιάδες.
Μυρία· ἀορίστως ἀντὶ τοῦ πολλά.
τὸ μῦ βραχύ· ἐπὶ μὲν γὰρ τοῦ ἄλ
λου τοῦ σημαίνοντος· τὸ ὡρισμένον
πλῆθος· ἐκτεταμένον ἐστίν· ἀπὸ
γὰρ τοῦ μ̄ στοιχείου γίνεται τοῦ
μακροῦ· ἐκεῖνο γὰρ ἐστι μακρόν.
τοῦτο δὲ συστέλλεται· τὸ σημαῖνον
τὸ ἀόριστον πλῆθος· πρὸς ἀντιδι
αστολὴν ἐκείνου τοῦ σημαίνοντος.
τὸ πληθυντικόν· τὸ ἔτι ῑ· διότι
ἄλλο ἐστὶ μύριος· καὶ ἄλλο μυρίος.
Μύρεσθαι· τὸ κλαίειν· παρὰ τὸ μὺ
ρειν καὶ ἔχειν τὰ δάκρυα.

Μυριάς τὸ μῦ ψιλόν. τὰ γὰρ ἀριθμη-
-τικὰ ἀπὸ ὀνόματος στοιχείου ἀρχόμε-
-να τὴν αὐτὴν τοῦ στοιχείου ἔχει γρα-
-φήν. οἷον χι. χιλιάς. ει. εἰκοσι. μυ.
μύριοι. οὐ μόνως δέ. ἀλλὰ καὶ τετρα-
-κοσιοστὸς ἀριθμός. συγγένειαν ἔχει πρὸς
τὸν τεσσαρακοστὸν ἀριθμόν. ὁ γὰρ
τεσσαρακοστὸς ἀριθμὸς ἀφ᾽ ἑαυτοῦ πο-
-λυπλασιαζόμενος ποιεῖ τὸν χιλιοστὸν
χ. ὅστις πάλιν ἐξαπλούμενος ποιεῖ
ρ̀. χ. τὸ ὁ ὅπερ ἐπιτιθεὶν τὸ χαρακ-
-τῆρι τοῦ μ̄. ἀποτελεῖ στοιχεῖον
ἐκφωνεῖσθαι. τὸ μ̄. ὅτι δὲ συγγένειαν
ἔχει πρόδηλον. ὁ γὰρ τέταρτος τὸν
δ̄. χ̄. ὅστις ἐνδεῖ πρὸς ἀναπλή-
-ρωσιν τοῦ μυρίου. τὸν τριακοσόν.
οὗτινος ἐστὶν ἀριθμός. γεννητικός
ἐστι τοῦ ῑ. ἀριθμοῦ. φαμὲν γὰρ μία
δύο. τρεῖς. τέσσαρες. καὶ γίνονται
δέκα.
Μυριὰς ὀξυτόνως. κλίνουσι δὲ διὰ
τοῦ δος.
Μύρον τινὲς ἀπὸ τῆς κόρρ——
ἔπος ὠνομασμένης γυναικός. ἢ ἀπὸ
-δεν ῥεῶσθαι. ἢ μύρον. ἀπὸ τοῦ ἐκπιέζεσθαι

τὰ ἀρώματα. ἀποστάζειν ἐκεῖνα.

——— ποταμῶν ἀλιμυρηέντων.

εἰς θάλασσαν.

Μυροφόροι. εἰς τὸ θεῖον.

Μῦς διὰ τὸ τῆς μύδους ἐρᾶν. ἤγουν

τῆς ἀκαθαρσίας.

Μύσταξ. ἀπὸ τοῦ τοὺς μυκτῆρας

στάζειν ἐν αὐτῷ, ἢ ἀπὸ τοῦ μυσοῦσθαι

τῶν τειχῶν. ἤτοι μυστὰς εἶναι.

τῶν Μύκητες. οἱ σπινθῆρες. ἀπὸ

μυξῶν τοῦ λύχνου.

Μυρία. τινὲς τὰ μὴ ὡρισμένα.

οἱ δὲ τὰ πολλά. οἱ δὲ τὰς δέκα

χιλιάδας. ἀπὸ τοῦ μεμυκέναι τοὺς

δακτύλους ἐν τῇ ψήφῳ.

Μύστης ἀρσενικῶς. ὁ τῶν μυστηρίων

εἰσηγητής.

Μύστις δὲ θηλυκῶς. ἡ τῶν μυστηρίων

κοινωνός.

Μυσταγωγός. ἱερεύς.

Μώλωψ. Δημήτριος ὁ ποιητὴς ἐν

τῷ περὶ διαλέξεως. βώλωψ ἐτυ-

μολογεῖ. οἷον ἀπὸ τοῦ βοὸς λέπους.

ὅ ἐστι δέρματος. ᾧ οἱ ἱμάντες δέρω

ἄζονται. μήποτε οὖν καὶ ὁ ἄλλος

ὁ νεβρός· καὶ οἱ ἔλλοπες· οἱ ἰχθύες.
ἢ ἀπὸ τοῦ τὴν ὄπα μὴ ἔχειν· ἀλλ'
ἀπὸ τοῦ τοὺς μὲν ἐλλειπεῖς εἶναι.
τοὺς ἐν λόποις· λέπις μὲν γὰρ καὶ
λέπος. καὶ λόπος· τὸ περικείμενον
τῇ σαρκὶ καλεῖται· λῶπος μὲν οὐ
λέγεται. τὸ ἱμάτιον· κατὰ μεταφο-
ράν. λόπος καὶ λέπυρον· καὶ λέπις
κυρίως· ὡς καὶ τὴν φολίδα· ἀπὸ
τοῦ φολεύειν· ἐν αὐτῇ.
Μύστης· καὶ μυσταγωγὸς διαφέρει.
Μυσταγωγὸς ὁ μυῶν καὶ τελῶν.
μύστης δὲ ὁ μυῶν καὶ τελούμενος.
Μυχαίτατον· ἐσώτατον.
Μώδος. ὁ μὴ αὐδῶν· Σοφοκλῆς. μώ-
διος ι. ὁ μὴ αὐδῶν. ὅθεν καὶ ἔλλοψ
ἀπὸ τοῦ ἐλλειπεῖ τὴν ὄπα ἔχειν. τὸ δὲ
μῦ. ὅτι μυγμόν τινα ἔχει ἡ τούτου
ἐκφώνησις.
Μυκτηρίζω· παρὰ τὸ μυκτήρ· τοῦτο
παρὰ τὸ μύω· μύσω· ἢ παρὰ τὸ
ἐκμάσσω τὸ ἐκπιέζω ἀφ' οὗ τὸ αἷμα
ἐκμύζει.
Μυειοπλάσιον. ἐκ τοῦ μύειος καί

τοῦ πλάσσω· γίνεται μυριοπλάσιον.

Μυστήρια· μυθήρια· μῦθος γάρ ὁ λόγος.

βέλτιον δέ ἃ δεῖ μύσαντας τηρεῖν

ἔνδον.

Μυστήριον· κατά τό μύειν· καί αἴσθησιν

νοῦ καί τηρεῖν τό νοούμενον. μετά

δέ ὧρον· ἡ ἰδιαιτής γνῶσις τῶν πάνυ

πολλῶν ἀγνοουμένη.

Μύστρον· ἀπό τοῦ μισύλλεσθαι· τουτέστι μικρά ἐπαίρειν.

Μυττωτόν· τρίμμα ἐξ ἀρτυμάτων

πολλῶν συντιθέμενον. οἱ δέ Ἀττικοί

ἀρτυμάτιον μετά σκορόδου ἀπότριμμα γινόμενον λέγουσιν. ἔνιοι δέ πλακοῦντα διά λαχάνων· συντιθέντα.

βέλτιον δέ τό διά σκορόδων σύντριμμα.

ὡς εἰ καί παρά τό μυσάττεσθαι

τήν δυσωδίαν· μυσσωτόν καί μυττωτόν.

Μυχός· εἰς τό μοιχία.

Μυχῷ· εἰς τό ἀποσμόχω.

Μύω· εἰς τό ἀμυδρῶς καί βυοῦσιν.

καί μέμυκα — καί μυία. καί μῦθος.

Μεμυκέσθαι· ἢ διά τό ἐπισκοτεῖσθαι

τήν νόητα.

# Τὸ Π μετὰ τοῦ ω

Μω· εἰς τὸ μεμάσθειν καὶ μάννα· καὶ μαστός· καὶ μήχω· καὶ μπέ· καὶ μιαθός καὶ μόχος.

Μῶλον· ἄρειος· τινὲς χρονισμὸν ἀπὸ τοῦ μόλις δύνασθαι ἐκφυγεῖν· ἢ ἀπὸ τοῦ μόλις κινεῖσθαι αὐτόν· καὶ οἱ ναυτικοὶ οἰκείως μῶλον ἀντὶ τοῦ μόλις ἐξέρχονται. ἀλλ' οὐ μόγις· τὸ μὲν γὰρ ἀπὸ τοῦ μόγου ἐτυμολογεῖται. οἱ δὲ μῶλον.

Μωλυ ἀντὶ σπάθιον.

Μῶλος· ὁ μολυσμός.

Μῶλος ἡ πολυχρόνιος μάχη. κυρίως παρὰ τὸ μὴ δύνασθαι ταχέως. ἢ παρὰ τὸ ὁμοῦ ὀλλύειν. ἢ παρὰ τὸ μολεῖν τὸ σῶμα. ἐκ δὲ τοῦ ὀλλύω. τὸ ὀλοθρεύω γίνεται. καὶ εἰς τὸ ἀμβλύς. καὶ μῶλυς.

Μώλωψ. σίγματος διαφέρει. μώλωψ. ἡ ἐκ τοῦ πολέμου γινομένη πληγή. σίγμα δέ. ἡ ἀπὸ τοῦ δαρμοῦ πλῆξις καὶ σημείωσις.

Μώλωψ· τραῦμα. ἔστιν ὄλλω· τὸ
δυστρέφω· καὶ φθείρω· ὁ μέλλων ὀλῶ.
ὁ παρακείμενος ὦλκα· ὁ παθητικὸς
ὦλμαι· καὶ ἐξ αὐτοῦ ὠλμός· καὶ
ὑπερβιβασθέντος τοῦ μ· μῶλος· ἡ δυστροφή.
οἷον μώλου ἄρηος· καὶ ἐξ αὐτοῦ μώ-
λωψ· ἤγουν ἡ πληγή· ἡ ἐκ τοῦ πο-
λέμου γινομένη· καὶ ἄλλως. ζήτει
εἰς τὸν ἔρωτα.

Μεμωλωπωμένον μωλωπῶ· ὁ μέλλων
μωλωπώσω· ὁ παθητικὸς μεμωλώπω-
μαι· ἡ μετοχὴ ὁ μεμωλωπωμένος.

Μῶμος παρὰ τὸ μῶ· οὗ ὁ μέλλων
μώσω· δηλοῖ δὲ τὸ ζητῶ· τὸ μῶμαι
μῶμος οὖν ὁ ἀεὶ ζητικός· καὶ μηδὲν
τῶν ἄλλων ἱκανὸς εἶναι νομίζων·
ἀλλ' ἔνδον τοῦ κρείττονος· ἀεὶ πᾶν
ὅτι λέγειν· καὶ διαβάλλων.

Μωλῦ· ἐκ τοῦ μῶ τὸ ζητῶ· μῶλυ
βοτάνης εἶδος· παρὰ τὸ μωλύειν.
ὅ ἐστιν ἀφανίζειν· τὰ φάρμακα.
φασὶ δὲ αὐτὸ ἑλκόμενον τῆς ῥίζης
τῷ τέλει, θάνατον ἐπιφέρειν τῷ

ἀποσπῶντι.

Μωκῶ. τὸ καταγελῶ. καὶ διαμωκῶ τὸ καταγελῶ. καὶ συντάσσεται μετὰ γενικῆς.

Μύλη. ἐπὶ τῆς ἐπιγονατίδος. ἀπὸ τῆς πρὸς τὴν ἔξω μηχανὴν ἐμφερεί=ας. διὰ τὸ ἄνω τοῦ ἄρθρου εἶναι τὸ κοῖλον. ὡς καὶ τῆς μύλης τὰ ὄπι=θεν ἐπιβαλλόμενα σπέρματα.

Μυοπάζω τὸ τυφλώττω. μυωπίζω δὲ τὸ τύπτω.

Μῶν ἐστὶ ἀντὶ τοῦ ἄρα. ἔστιν ἀπορ=ρηματικοῦ συνδέσμου. συντέθη δὲ ἀπὸ τῆς μὴ ἀπαγορεύσεως. καὶ τοῦ οὖν συνδέσμου. καὶ ἐγένετο μὴ οὖν. καὶ ἀποβολῇ τοῦ η μοῦν. καὶ τροπῇ Δωρικῶς. τοῦ ο. εἰς ω. γέγονε μῶν. περισπᾶται.

Μώνυχες. μονόνυχες.

Μωρία. εἰς τὸ ἁπλότης.

Μωρός. παρὰ τὸ μὴ σκεπτικόν. καὶ τὸ ὦρα. οἱονεὶ ὁ μὴ ἐπιτηρῶν τὴν ὥραν. ἢ διὰ τὸ μὴ ὁρᾶν τὸ συμφέρον.

Μωρον. ὀξύνεται. μάταιον. ἄμβλυ. βαρύνεται. νωθρόν. ὑλακτικόν—

δηλοῖ δὲ καὶ τὸ πεπονηκὸς περί τι καὶ ἠλίθιον.

Μωρός· ὁ ἄνους.

Μωρόν· τινὲς εὐφήμως· μωρὸν ἐπεὶ ἀβέλτατοι ἦλθον. οἱ δὲ ἐν τῇ κωμῳδίᾳ· μωρὸς ὁ βραδὺς τὸν νοῦν· οἱ δὲ ἐπεὶ ἐν Κορίνθῳ ἦν τις παράφρων μωρὸς καλούμενος· ἀφ' οὗ οἱ Κορίνθιοι τοὺς εὐήθεις ὡς ἐκεῖνον μωροὺς καλοῦσι.

Μωρὸς πόθεν ἐτυμολογεῖται, μηρωρός τις ὤν· ὁ μὴ βουλόμενος φροντίζειν περὶ τοῦ συμφέροντος· ὥρα γὰρ ἡ φροντίς.

β Μωϋσῆς· παρὰ τὸ μῶϋ ὃ σημαίνει τὸ ὕδωρ αἰγυπτιστί· καὶ τὸ σῆς· ὃ σημαίνει τὸ λαμβάνω· κατ' Αἰγυπτίους· ὁ ἐκ τοῦ ὕδατος ληφθείς.

Μῶς· καὶ μῶϋ τὸ ὕδωρ· ἐξ οὗ καὶ Μωϋσῆς.

Μωσῆς· πόσας κλίσεις ἐπιδέχεται· τρεῖς. μωσῆς· μωσῆ· μωϋσῆς· μωϋσέως· καὶ μωσεὺς· μωσέως ὡς πηλεὺς πηλέως.

# Ἀρχὴ τοῦ Ν̄ στοιχείου

## τὸ ν̄ μετὰ τοῦ ᾱ·

νάειν· εἰς τὸ ὄρνεα.

ναὶ μὰ τόδε σκῆπτρον· πλεοναϲ-
-μὸς τοῦ μᾱ· ἤτοι ἀπομοτικὸν
μόριον κατὰ Ἀττικὸν εἶδος ἐστίν·
ἄρκει γὰρ εἰπεῖν νὴ τοῦ τοῦτο τὸ
σκῆπτρον· λέγεται καὶ ἀντὶ τοῦ ὅμως.
οἷον· ναὶ μὲν ἀκῆδες.

τὸν γαίῃ ἐνὶ τῇδε λίπουτα —
ἢ ἀντὶ τοῦ ἐγκαλῶν καὶ λιπούμενος· τὸ
ναὶ δίφθογγον ἀπουεδ·: ναὶ ἐπίρρημα
συγκαταθέσεως ἀπὸ τοῦ νοῦς· νοὸς·
νοΐ· καὶ τροπῇ τοῦ ο̄ εἰς ᾱ· καὶ ἐν
συναιρέσει· ναί. διότι καὶ ὀξύνεται.
Ναζαρέτ· καθαρσις καὶ ναζιραῖος ὁ
καθαριστής. ναζιραῖος ὁ καθαρός. καὶ ἅγιος.
Ναός· παρὰ τὸ ἐν αὐτῷ ναίειν· ὅ ἐστιν οἰκεῖν
ἢ νάειν· ὅ ἐστι ῥέειν. σημαίνει δὲ τὸ θυσιαστή-
-ριον. καὶ Ἀττικῶς· νεώς. ναός. βωμὸς δια-
-φέρει.
Ναιετάωσα· ἀπὸ τοῦ ναίω. ναιέτης. να-
-ιετῶ. ὡς κυνηγῶ κυνηγέτης· κυνηγετῶ.

ναιέτης· ναιετῶ· ναιετῶν· διάλυσις να-
=ιετάω· καὶ ἔδει μὲν ναιετάουσι· ὡς
βοάουσι· ἀλλ' ἔστιν ὅμοιον τῷ ἱδρῶσαι.

ναίνω· εἰς τὸ ἀπηνήνατο.

ναίουσι· καὶ ναίοιτε εὐκτικὸν χρόνου
ἐνεστῶτος· καὶ παρατατικοῦ· δευτέρου
προσώπου τὸ ῥῆμα ναίω· τὸ καὶ δίφ-
=θογγον· διότι ἀναφαίνει τὸ ᾱ ἐν τῷ
ναός· ἐπὶ μὲν τοῦ οἰκῶ διαφέρει· ἐπὶ
δὲ τοῦ πορεύομαι· νέω διὰ τοῦ ε̄ ψιλοῦ
πρὸς ἀντιδιαστολὴν ἐκείνου.

ναίων· παρὰ τὸ ναίω τὸ οἰκῶ· νέω
διὰ τοῦ ε̄ ψιλοῦ· σημαίνει δύο· τὸ πο-
=ρεύομαι.

νῶι δ' ἐπεὶ οὐ νέομαί γε φίλην εἰς πατρίδα

καὶ νέω τὸ κολυμβῶ.

αὐτὰρ ὁ χερσὶ νέων ἐπεμαίετο νόστου—

καὶ διὰ τῆς αι διφθόγγου. ἐν τὸ οἰκῶ

———— ἔνθα δ' ἔναιε

Κίρκη εὐπλόκαμος δεινὴ θεὸς αὐδήεσσα.

νάμα· παρὰ τὸ νῶ· τὸ ῥέω· οὗ ὁ μέλλων
νάσω· νάμα· ὡς δράσω δρᾶμα.

νάμα τὸ ὕδωρ· διὰ τὸ νομὰς ἔχειν.
ἅμα εἰκός· ἢ ἐκ τοῦ νάουσα· ὡς προ-
=νάουσα καὶ προχέουσα.

νάνος· παρὰ ἄνω· ὃ δηλοῖ τὸ αὐξάνω
ἄναος· καὶ μετὰ τοῦ νη στερητικοῦ
νάνος· ὁ μικρὸς ἀνήρ· ὁ πίθηκος.
οὐδέτερον τὸ νάπος· ἔδαφος· καὶ νάπη
δοτικῇ.
νάπαι· ὑψώματα ἀπὸ τῆς ψάμμου
αὗται δὴ καὶ θῖνες λέγονται ἄμμου.
νάπαι· δρυμοί· φάραγγες· κοιλάδες.
παρὰ τὸ πίω· ἔρημα· μετὰ τοῦ στερη-
τικοῦ α· ἄπη· καὶ μετὰ τῆς νη
στερήσεως νηάπη· καὶ συγκοπῇ νάπη.
οἱονεὶ ἄγαν πίνουσα· αἱ γὰρ δύο
στερήσεις ποιοῦσι μίαν ἐπίτασιν.
νάβλαον· κατὰ διάλεκτον τὸ μου-
σικὸν ὄργανον· καὶ δίσηχον, καὶ νάβλας
ὁ κίθος
ναῦλον· οὐδέτερον ἐκ τοῦ ναῦς καὶ τοῦ
αὐλῶ τὸ σημαῖνον τὸ κατοικῶ· ναυ-
λόν τι ὄν· καὶ ναῦλον· τὸ μίσθωμα
τοῦ πλοίου· ἢ ὁ μισθὸς τοῦ πλοῦ.
ναύκληρος· σκαφηφόρος.
ναρόν· ὁμοίως· παρὰ τὸ νῶ· νάω.
τὸ ῥέω· ναρόν· Σοφοκλῆς Τρωΐλω.
πρὸς κρὰ δὴ κρηναῖον χωροῦμεν ποτά. β.
καὶ ἴσως ἡ συνήθεια τρέψασα τὸ α εἰς η.

λέγεται νηρόν.

νάπυ. τὸ σίναπι. κατὰ στέρησιν τοῦ ἠπίου. διὰ τὴν δριμύτητα.

ναζιραῖος. ἡγιασμένος. καθαρός. μοναχός. ἄζυξ. ἅγιος. ἐξ οὗ καὶ ναζιραῖον τὸ ἀγγελικόν.

ναζωραῖος. δὲ ὁ ἀπὸ ναζαρέθ.

ναύλοχος. λιμήν. ἐν ᾧ αἱ ναῦς κοιμῶνται. ὅθεν καὶ εὐναὶ αἱ ἄγκυραι.

ναστός. ὁ πεπιλημένος ἄρτος. ἀπὸ τοῦ νάσσεσθαι ἀρτύμασι τισὶν ἢ τραγήμασι.

νάρθηξ. παρὰ τὸ νάρθαν. τοῦ ἄμβωνος εἶναι. ἔστι καὶ σκεῦος ἰατρικόν.

ναρόν. εἰς τὸ νύσαντα.

ναύποδα. εἰς τὸ ναῦφιν.

ναῦς. παρὰ τὸ νέω τὸ κολυμβῶ. ἢ διὰ τὸ ἐν τοῖς νάμασιν ἵστασθαι. ἤγουν φέρεσθαι. ναῦς καὶ γραῦς. ὁ κανών. δύο μόνα εἰσὶν εἰς ᾶς θηλυκὰ μονοσύλλαβα περισπώμενα ναῦς. καὶ γραῦς. κέκλινται δὲ ἀμφότερα. διὰ καθαροῦ τοῦ ος. ναός καὶ γραός.

ναύτης ὁ ἄγων τὴν ναῦν. ἢ διὰ τὸ νάματα τέμνειν. ἢ διὰ τὸ τὰ νάματα

τείνειν· ἤγουν ἐλαύνειν.

ναῦφι. ὥσπερ ἀπὸ τοῦ ναῦποδα γίνε-
-ται τὰ ναύποδα. καὶ κρᾶσει τοῦ ᾱ. ῡ
εἰς τὴν αυ δίφθογγον σημαίνει τὸν
θέοντα πόδα. οὕτω καὶ ἀπὸ τοῦ ναῦς
ναὸς γίνεται ναόφι. καὶ κρᾶσει ναῦφι.
ναῦφιν ἀμυνόμενοι. ἀντὶ τοῦ ἐκ τῶν
νεῶν ἀποσοβοῦντες.

νάφθα. παρὰ τὸ ἀνάπτω. ἀνάψω. ἀνῆ-
-φα. ἀνῆμμαι. ἀνῆψαι. ἀνῆπται. νάπτα.
καὶ νάφθα. παρασκευαστικὸν γὰρ πρὸ
τὸ ἐξάψαι.

## τὸ ν. μετὰ τοῦ ε.

νέα. παρὰ τὸ γένος. τοῦτο παρὰ τὸ
γείνω. τὸ γεννῶ.

νεαλές. εἰς τὸ νεαρόν.

νεανικῶς. ἐκ τοῦ νεανίας. καὶ τὸ κτη-
-τικὸν νεανικός. καὶ τὸ ἐπίρρημα
νεανικῶς. τὸ δὲ νεανίας. παρὰ τὸ νέον
νέαρος. τοῦτο δὲ παρὰ τὸ νέος. τοῦτο δὲ
παρὰ τὸ νέω τὸ περιπατῶ. ἢ παρὰ
τὸ νέω. τὸ πορεύομαι. οἱ γὰρ νέοι εὐ-
-χερῶς ὁδεύουσι.

ναυκρατίτης τῷ λόγῳ τοῦ μεμφίτης.

νείατον. σημαίνει τὸ ἔσχατον. διὰ τῆς ει διφθόγγου γράφεται. ὥσπερ παρὰ τὸ μέσω γίνεται μέσατον. οὕτω καὶ παρὰ τὸ νέω. γίνεται νέατον. καὶ πλεονασμῷ τοῦ ι. νείατον.

νέηαι. ὑποτακτικόν. χρόνου ἐνεστῶτος. καὶ παρατατικοῦ δεύτερον πρόσωπον ἰωνικόν. οἱ γὰρ ἴωνες ὁμοίως τοῖς ὁριστικοῖς καὶ τὰ ὑποτακτικὰ ποιοῦσιν. ἔστι νέω τὸ πορεύομαι. καὶ τὸ ὑποτακτικόν, ἐὰν νέω. καὶ τὸ παθητικόν ἐὰν νέωμαι. τὸ τρίτον ἐὰν νέηται καὶ τὸ ἰωνικόν ἐὰν νέηαι. συστέλλουσι τὸ τρίτον οἱ ἴωνες.

νάνω. δηλοῖ τὸ αὐξάνω κατὰ τοῦ στερητικοῦ νη. νήανος. καὶ νάνος. οἷον ὅλη αἰνέναι.

νεανίσκος. εἰς τὸ γέρων.

νεαρόν ὄνομα γίνεται παρὰ τὸ νέον. καὶ τὸ ἄρδω. τὸ νεωστὶ ἀρδευθὲν ὕδωρ. μεταφορικῶς δὲ λέγεται. ἐπὶ τῶν παίδων τῶν νεωστὶ γεννηθέντων. λέγεται δὲ πρόσφατον. τὸ νεωστὶ ἐσφαγμένον κρέας.

νεαρὸν καὶ πρόσφατον καὶ νεαλὲς· δια-
φέρει· νεαρὸν μὲν γάρ ἐστι· τὸ νεωστὶ ὕδωρ
κομισθέν· πρόσφατον δὲ τὸ κρέας· πεποί-
ηται γὰρ τὸ φάσαι· ὅ ἐστι φονεῦσαι· ὅθεν
καὶ τὸ φάσγανον· νεαλὲς δέ· τὸ νεωστὶ
ἑαλωκός· οἷον ἰχθύς· δύναται δὲ καὶ τὸ
ἁλσὶ νεωστὶ πρὸς βορὰν εἶναι· ἢ παρὰ
τὸ νε στερητικὸν καὶ τὸ βορᾶ· ὃ σημαίνει
τὴν τροφήν· τὸ ἐστερημένον τῆς βορᾶς.
νεβρός· παρὰ τὸ νεοβόρον· ὃ ἄρτι
ἐπὶ τὴν πόαν ἰόν.
νεβέλ· οἴνου μέτρον· ξέστων ν̄.
νεάζω· τὸ ἀκμάζω· καὶ νεάζω τὸ
τὴν γῆν ἀροτριῶ· παρὰ τὸ νέω τὸ
πληρῶ· καὶ γὰρ νεαζομένη ἡ γῆ· ἤτοι
πληρωθεῖσα τοῦ ἐργάζεσθαι, σπείρεται.
νεαρὸς καὶ πρόσφατος διαφέρει· νεα-
ρὸς μέν· ὁ νεωστὶ γεννηθείς· πρόσφατον
δὲ τὸ νεωστὶ ἐσφαγμένον κρέας.
νέηαι· πορεύθητι· ἐπάνελθε· ὑπερσυν-
τελίκου χρόνου καὶ παρατατικοῦ.
δευτέρου προσώπου ἰωνικῶς· οἱ γὰρ
ἴωνες ὁμοίως· τοῖς ὁριστικοῖς τὰ ὑπο-
τακτικὰ ποιοῦσι.
νέω· τὸ πορεύομαι καὶ ὑποτακτικὸν ἐὰν

γένωμαι. τὸ τρίτον ἐὰν γένηται καὶ τὸ ἰωνικὸν γένηαι. συστέλλουσι γὰρ τὸ τ οἱ ἴωνες. καὶ ποιοῦσι τρίτον πρόσωπον. ἐκεῖνο γὰρ τῇ ὑποστολῇ τοῦ τ. τὸ τρίτον πρόσωπον ποιοῦσι. κρᾶσιν δὲ οὐ ποιοῦσι.

νεικείεσκε. ῥῆμα παρατατικοῦ τρίτου προσώπου.

νεικείω. τὸ ει δίφθογγον. διατί. τὰ διὰ τοῦ εια παρηγμένων ἢ μελλόντων γίνεται δὲ ἐκ τοῦ νεικῶ. τὸ πλήσσω.

νεικέσσω. ὁ παρατατικὸς ἐνείκεον. ἐνείκεες. καὶ συναιρουμένως. νεικέσκει.

νέηλυς. νεήλυδος ὁ κανών. τὰ εἰς υς σύνθετα. εἰ μὲν ἀπὸ ἁπλῶν εἰς υς λήγει. καὶ εἰσι συντεθειμένα. τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν. οἷον βραχὺς βραχέος. τρίβραχυς τριβράχεος. πῆχυς. πήχεως. δεκάπηχυς. δεκαπήχεως. θῆλυς. θήλεως. ἰχθῦς. ἰχθύος. καλλίχθυς. καλλίχθυος. ὀφρῦς. ὀφρύος. λευκόφρυς. λευκόφρυος. εἰ δὲ ἀπὸ ῥημάτων εἰσι συντεθειμένα. διὰ τοῦ δος κλίνονται. οἷον ἔπηλυς ἐπήλυδος. νέηλυς νεήλυδος. ταῦτα γὰρ οὐκ ἀπὸ ἁπλῶν εἰς

ὡς λέγοντα καί εἰσί συντεθειμένα. ἀλλ'
ἀπό ῥήματος τοῦ ἐλαύνω.
νέην· νέαν. ἐστι τροπῆ τοῦ α. εἰς η.
ἰωνικῶς. ὡς ἀναίδειαν ἀναιδείην.
νείαιρα σημαίνει τό ἔσχατον μέρος τῆς
γαστρός. παρά τό νέω τό σημαῖνον τό
πορεύομαι. γέγονε νέαιρα. καί ἐν πλε-
ονασμῷ τοῦ ι νείαιρα. εἰς αὐτήν πο-
ρεύονται τά ἐσθιόμενα.
νεικείεσκεν. ῥῆμα τρίτου προσώπου.
νεικῶ εἰ. τό κατά δίφθογγον. καί διά τοῦ
είω παρ' ἐνεστώτων ἢ μελλόντων παρηγ-
μένα. ἐκ τοῦ νεικῶ τό παραπλήσσω.
ὅτε δέ ἐστιν ἐπί τῆς νείκης. δευτέρας
ἐστι συζυγίας τῶν περισπωμένων. ὅτι
δέ τό φιλονεικῶ. πρώτης καί ἐστιν ὁ
μέλλων νεικέσω. καί ὅμηρος.

ὡς νεικείεσκεν ὁ γέρων —

ὁμοίως δέ ἐπί τῆς νίκης. νικέσω. ὁ πα-
ρατατικός ἐνίκεον. ἐνίκεες. ἐνίκεε.
καί νείκεε. συναίρεται καί νεικείεσ-
κεν.
νεῖκος. σύνθετε παρά τό νε στερητικόν
καί τό κέαρ τό σημαῖνον τήν ψυχήν
γίνεται νεκρός. οἱονεί ὁ ἐστερημένος

του ὑποχωρεῖν· εἰ γὰρ ὑποχωρήσουσιν οὐκέτι γίνεται φιλονεικία·

νεικῶ· τὸ λοιδορῶ· διὰ τῆς ει διφθόγγου γράφεται· ὅτι παρὰ τὸ νεῖκος· γίνεται γὰρ παρὰ τὸ νέοις ἐοικέναι. ἡ γὰρ φιλονεικία· τοῖς νέοις ἁρμόζει· ὥσπερ γὰρ παρὰ τὸ νε στερητικὸν καὶ τὸ κέαρ τὸ θυμαῖνον τὴν ψυχὴν γίνεται νεκρὸς ὁ ἐστερημένος τῆς ψυχῆς· οὕτω καὶ παρὰ τὸ νε· καὶ τὸ εἴκειν τὸ ὑποχωρεῖν γίνεται φιλονεικία· του ὑποχωρεῖν ἐστερηται· εἰ γὰρ ἀποχωρήσωσιν· οὐκέτι γίνεται φιλονεικία.

νέηαι· ἐκ τοῦ νέω τὸ πορεύομαι νέομαι. τὸ ὑποτακτικὸν ἐὰν νέωμαι τὸ δεύτερον ἐὰν νέηαι.

νεῖκη· ἡ φιλονεικία· καὶ τοῦ νεῖκος· τὸ φιλόνεικον· νέοις γὰρ ἔοικεν ἡ φιλονεικία· ὅμηρος.

νέηαι· ὑποτακτικὸν ἐνεστῶτος χρόνου. ἰωνικῶς· οἱ γὰρ ἴωνες ὁμοίως τοῖς ὁριστικοῖς καὶ τὰ ὑποτακτικὰ ποιοῦσιν· οἷον νέεται· καὶ συστολῇ τοῦ η νέεαι· τὸ δὲ τρίτον πρόσωπον ὁμοίως

νέεται. νέηται. τὸ ὑποτακτικόν. καὶ συς-
τολῇ τοῦ η νέηαι.

νεῖλος. παρὰ τὸ νέος γέγονε νέιλος.
καὶ κατὰ συναίρεσιν τοῦ ε. καὶ ι. εἰς
τὴν ει δίφθογγον. νεῖλος. καὶ κατ᾿ ἔτος
νέος φαίνεται. πλημμυρῶν καὶ ποτίζων
πᾶσαν αἰγύπτου γῆν.

νεῖλος. ἀπὸ τοῦ νε(ον) ἰλύος. ἢ ἀπὸ
βασιλέως οὕτω καλουμένου. ἢ διὰ τὸ νε-
άζειν τὴν ὕλην.

νεῖλος ὄνομα ποταμοῦ παρὰ τὸ νέω.
τὸ πορεύομαι. καὶ κατὰ πλεονασμὸν
τοῦ ι. νέιλος. καὶ γίνεται παρὰ τὸ νέαν
ἰλὺν ἔχειν. νέϊλος. καὶ ἐν συναιρέσει
νεῖλος. ἢ παρὰ τὸ περιέχειν τὰς τοῦ
χρόνου ἡμέρας ἐν ψήφῳ. τοῦ δὲ νείλου
στόματα εἰσὶν ἑπτά. πρῶτον πηλουσιακόν.
δεύτερον τανικόν. τρίτον μενδήσιον.
τέταρτον φατμιτικόν. πέμπτον σεβε-
ννυτικόν. ἕκτον βολβιτικόν. ἕβδομον
κανωβικόν. τὸ νῦν ἡρακλειον καλούμε-
νον.

νεῖλος. παρὰ τὸ νέος παρῆκται. νεῖλός
τις ὤν. ὁ ἀεὶ νέαν ἰλὺν ἄγων. ἐν τῇ
βάθει. ὅτι κατ᾿ ἔτος νέος φαίνεται.

γεῖλος· διὰ τῆς ει διφθόγγου· ἐπειδὴ
νῆλος λέγουσιν οἱ Δωριεῖς· διὰ τοῦ η
ἔθος γὰρ ἔχουσι τὴν ει δίφθογγον εἰς η
τρέπειν. ἢ παρὰ τὸ νέω τὸ σημαῖνον
τὸ ῥέω· καὶ τὸ ἰλὺς νεῖλος· καὶ κατὰ
συναίρεσιν νεῖλος· οἱονεὶ ῥέων ἰλύν.
ὁ γὰρ νεῖλος ἰλυώδης ἐστί:
γειός· σημαίνει τὴν ἀνακουμένην γῆν.
παρὰ τὸ νέω γέγονε νεός· καὶ ἐν πλε-
ονασμῷ τοῦ ι· νειός.
γείφω· καὶ σημαίνει τὸ βρέχω. ἔστι δὲ
νέφος· ἐξ οὗ γίνεται νόφος· καὶ ἐν
πλεονασμῷ τοῦ ι νείφω.
γαίφω· νέφος γὰρ ἐν ὤ φαινόμενος πα-
ρακείμενος· παρὰ Ἀριστοφάνει καὶ τὸ
νεφέλη σεσάφηκε. Ἀπολλώνιος δὲ ὁ τοῦ
Ἀρχιβίου καὶ τοῦ νείφειν κατὰ τρεπὴν
ἔλεγε γεγενῆσθαι· κυρίως γὰρ φησὶ νεί-
φειν λέγεται· κατὰ τοῦ ὕδατος προφοράν
καὶ νιφαλιάσθειν· ἤγουν τρέχειν λέγεται
ὅτε ὁ . . . . σπεύδουσιν· εἰ μὲν
ὅσω ἐκπέπτωκεν ἀπ' αὐτοῦ καὶ τοῦ
νιφὰς καὶ τὸ νιφετός· διὰ τοῦ ι· οὐ
θαῦμα· καὶ κατὰ τοῦ λείβω λίβας· καὶ
κατὰ τοῦ πείθω πίθας· καὶ κατὰ τοῦ

ἀλείφω θωαλοιφή.

νεκάδες. ὅμηρος. εἴωθε λέγειν τὰς τῶν νεκρῶν τάξεις. παρὰ τοὺς νέκυας. νεκυάδας. τινὰς οὔσας. οἱ δὲ νεώτεροι. τὰς τῶν ὁπλιτῶν τάξεις. οὕτω κα:λοῦσι. παρὰ τὸ νεῖκος. αἱ εἰς πόλε:μον ἡτοιμασμέναι. ἢ ἀχώριστοι. τὸ γὰρ νε. στερητικόν ἐστι. καὶ καδεῖν τὸ χωρῆσαι. καὶ ὅμηρος.

οὐκ ἔστιν ὦ ἀρετῇ θανάτῳ νεκαδισσώμεθα.

παρὰ μὲν τοῖς κυκλικοῖς. αἱ ψυχαὶ νεκάδες λέγονται. ἤ τεκε δηρόν. ἔστιν αὐτοῦ ~~πήματ᾽~~ ἔχατον ἐναὶ νῆσι δεκά:δεσσιν.

νεκάδες. παρὰ τοὺς νέκυας. ἢ παρὰ τὸ νεῖκος. αἱ εἰς πόλεμον ἡτοιμασμέ:ναι. ἢ ἀχώριστοι. τὸ γὰρ. νε. στερη:τικόν ἐστι. καὶ καδεῖν τὸ χωρῆσαι. ὅμηρος.

νέκυς ὁ νεκρὸς καὶ πληθυντικῶς νεκύ:ων. εἴρηται δὲ παρὰ τὸ νεκρός. ὁ μὴ ἔχων κέαρ. ὅ ἐστι ψυχήν.

νέκρος δυσθετον. παρὰ τὸ νη στερητι:κὸν καὶ τὸ κῆρ. ὃ δηλοῖ τὴν ψυχήν. γέγονε νήκηρ. ὁ ἐστερημένος τῆς ψυχῆς.

καὶ συγκοπῇ καὶ συστολῇ τοῦ η. εἰς ε. νε-
:κρός. καὶ ὥσπερ κόπτος κόπτυς. οὕτω καὶ
νεκρὸν νέκευς. καὶ ἀποβολῇ τοῦ ε. νέκυς.
καὶ εἰς τὸ νίκος.

νέβελ. οἴνου μέτρον. ξέστας ἑκατὸν πεν-
:τήκοντα. ὅμοιον ὑγροῦ τρία βάτα.

νεκρός. παρὰ γὰρ τὸ νη στερητικὸν νέκυς.
νήκυρος. καὶ νεκρός. ὁ ἐστερημένος τοῦ
κέαρος.

νέκυς νεκρόν. εἴρηται δὲ παρὰ τὸ νήκυρος
ὁ μὴ ἔχων κέαρ ὅ ἐστι ψυχήν.

νεκύων. παρὰ τὸ κίκυς τὸ δηλοῦν τὴν
ἰσχύν. καὶ τὸ στερητικὸν νέκυς.

νέκταρ τὸ πόμα. παρὰ τὸ νεάζειν γεγε-
:νημένον.

νεκταρέου. ἐκ τοῦ νέκταρ. νέκταρος. τὸ
κτητικὸν νεκτάρεος. τὸ δὲ νέκταρ. παρὰ
τὸ κτῶ τὸ φονεύω. καὶ ἀναιρῶ. μετὰ
τοῦ νε στερητικοῦ. τὸ μὴ τοῖς κτεινομέ-
:νοις ἀλλὰ τοῖς ἀθανάτοις διδόμενον.

νέκυς. παρὰ τὸ μὴ ἔχειν κίκυν ἤγουν
δύναμιν. ἢ παρὰ τὸ κίκυς. ὁ δηλοῖ
τὴν ἰσχύν. καὶ τοῦ νε στερητικοῦ. νέκι-
:κυς. καὶ συγκοπῇ νέκυς. ὁ ἐστερημένος
τῆς ἰσχύος. ὅμηρος.

νέμεσιν· ὕβριν. ἀπὸ τῆς ἑκάστου διανε:
:μήσεως.

νεμεσσηθέντες· ἐνὶ θυμῷ· διατί ἀναπέμ:
:πει τὸν τόνον· ὅτι ἐὰν ἡ προκειμέ:
:νη λέξις· τοῦ ἐγκλιτικοῦ μορίου προπα:
:ροξύνηται· τὴν ἐν τῷ τέλει αὐτῆς βαρεῖ:
:αν εἰς ὀξεῖαν ἐγείρει· ἤκουσέ μου. ἔδω:
:κέ μοι· τὸ δὲ νεμεσῶ· ἐκ τοῦ νέμω
περισπώμενον· ἐξ αὐτοῦ νεμεσῶ δευ:
:τέρας τῶν περισπωμένων· καὶ νεμεσ:
:σηθέντες ἐνὶ θυμῷ κίννυμέσθα· τοῦτο
ἐκ τοῦ νέμεσις· τουτέστιν ἀορίστου
πρώτου παθητικοῦ καὶ οἱ βοιωτοί· ἐπὶ
τῶν μὴ ἐχόντων τὴν μετοχήν· ὥσπερ
τὸ κόσμηθ.

νεμέα. ἐκ τοῦ τρέμω· σημεῖα, ἀμαλ:
:θαῖα· προονομαῖα· πλὴν τοῦ αἰγανέα.

νεμεασβέλινα.

νεόσμηκτον· ἐκ τοῦ σμήχω τὸ καθαίρω.
ἐσοπτέον· τὸ νεωστὶ κεκαθαρμένον κά:
:τοπτρον καθαρθέν.

νέκταρ· ὄνομα οὐδέτερον· ἰστέον δὲ
ὅτι διαφορὰν ἐπίσταται ὁ ποιητὴς νέκ:
:ταρος καὶ ἀμβροσίας· νέκταρ μὲν γὰρ
οἶδε τὸ τῶν θεῶν πόμα· ἀμβροσίαν

δὲ τὴν τῶν θεῶν βρῶσιν.

νέκταρ. παρὰ τὸ κτῶ. τὸ σημαίνον τὸ
κτείνω. γίνεται κτάρ. καὶ κατὰ τῆς
νῦ στερήσεως. νέκταρ τὸ θεῖον πόμα.
ὅπερ τοῖς κτεινομένοις καὶ θνητοῖς
οὐ δίδοται.

νέκταρ τὸ σώζον τοὺς πίνοντας.
αὐτὸ ἐν νεότητι. οἷον νεοέκταρ. διό-
-περ ἡ ἥβη. αὐτὸ κιρνᾷ. οἱ δὲ παρὰ
τὸ στερῆσαι. τὸ κτᾶσθαι. καὶ φονεύ-
-σασθαι τοὺς πίνοντας. ἀφ' οὗ τὸ ἀθά-
-νατον δηλοῦσθαι. τὸ μὴ τοῖς κτεινομέ-
-νοις διδόμενον.

νέποδες. οἱ διὰ τοῦ νήχεσθαι τὴν
πορείαν ποιούμενοι.

νεός. ἡ ἀρωσίμη γῆ. παρὰ τὸ νέω.
ἀνανεοῦται γὰρ ἡ γῆ ἀρουμένη.

νεός. ἀπὸ τοῦ νέεσθαι. καὶ ἔρχεσθαι εἰς
αὔξησιν. ἢ παρὰ τὸ ὁρμᾶσθαι. ὁρμῆς
γὰρ ἡ ἡλικία. ἀνάπλεως.

νέμω. εἰς τὸ νομή. καὶ νόμος καὶ νόου.

νεοκρὰς ὁ νεωστὶ κεκραμένος. εἰς τὸ
προβλῆτις.

νεομηνία. παρὰ τὸ νέος. καὶ τὸ μήν.
μηνός.

νέος ἀπὸ τοῦ νέω τὸ ἔρχομαι. ὁ
εἰς αὔξησιν καὶ παιδείαν ἐρχόμενος.
ἢ παρὰ τὸ νέειν· καὶ αὔξεσθαι· τῇ
ἡλικίᾳ. ἢ παρὰ τὸ νέω τὸ πορεύ-
ομαι· συμπορευτικὴ γὰρ ἡ ἡλικία.
τῷ νέῳ.

νέος· ἀπὸ τοῦ νέεσθαι· ὅ ἐστι πορεύ-
εσθαι· ἢ ἀπὸ τοῦ νεωστὶ βεβηκέναι
αὐτόν.

νεότης· παρὰ τὸ νέος· τοῦτο παρὰ
τὸ νέω τὸ πορεύομαι.

νεολαία· ὁ νέος λαός· ἐκ τοῦ νέος·
καὶ τοῦ λαὸς νεωλαία· ὁ ἐν τῷ ναῷ
ἔσω λαός.

νεογνόν· τὸ νεωστὶ γεγεννημένον· ἐκ
τοῦ γονὴ γέγονον καὶ ἐν συγκοπῇ
νέογνον.

νεόφυτον· ἐκ τοῦ νέος· καὶ τοῦ
φυτόν· τὸ φυ ψιλόν· πᾶσα λέξις
ἀπὸ τῆς φυ συλλαβῆς ἀρχομένη
διὰ τοῦ υ ψιλοῦ γράφεται· πλὴν
τοῦ φοιτῶ τὸ παραγίνομαι· πόθεν
γίνεται· παρὰ τὸ εἶμι· τὸ πορεύο-
μαι· τὸ παθητικὸν ἔμε· εἶμαι.

ἴσαι· εἶται· ἰτὸς καὶ πρόϊτος· καὶ
ἐξ αὐτοῦ προΐτω· καὶ τροπῇ τοῦ
π εἰς φ· καὶ ἐκβολῇ τοῦ ε· φοιτῶ.
νεοσσός· παρὰ τὸ νέος τις ἧσθαι.
ἢ παρὰ τὸ νεάζω· ἢ παρὰ τὸ νεωστὶ
σεύεσθαι.
νεοῦν· παρὰ τὸ νέαν γῆν ἐγείρεσθαι.
ἐν τῇ ἀρόσει.
νεωργός· παρὰ τὸ νέος καὶ τὸ ἔργον.
νεοεργός· καὶ κατὰ κρᾶσιν τοῦ ο ε εἰς
τὴν ου δίφθογγον· νεωργός.
νεοχμοῦσται· μετακοσμούμενα· καὶ
νεόχμωσιν τὴν νεοκίνησιν· καὶ νεοχ-
μός· ἄπονος· ἄκοπος· νεωστὶ εἰργασ-
μένος· συντάσσεται μετὰ γενικῆς.
καὶ εἰς τὸ ἐνεόχμωσε.
νέποδες· οἱ ἰχθύες παρὰ τὸ πόδας
μὴ ἔχειν· τὸ γὰρ νε στερητικόν.
νέρθεν· κάτωθεν· εἰς τὸ νέρθεξ· ὅ-
μηρος.
νεαρόν· διὰ τὸ νεωστὶ ἀεὶ ῥέειν.
νεστορέῃ· ὄνομα θηλυκὸν δοτική.
νεστόρεος· ἐπὶ τῶν διὰ τοῦ ειος κτη-
τικῶν οἱ ἴωνες· ἀποβολὴν ποιοῦσι
τὴν ει δίφθογγον· καὶ διὰ τοῦ εος

προσφέρουσι κτητικά. ἔτι τὰ εἰς ος κτητικὰ εἰς τὸ πρῶος. τὸ ἀπὸ τοῦ χάλκεος. χρύσεος. σιδήρεος. σιδή:ρειος. διὰ τῆς ει διφθόγγου. τὰ διὰ τοῦ ειος ὀνόματα σημαίνοντα. μέρος σωματικόν. ἢ μετουσιαστικόν ἢ κτητικόν. ὑπάρχοντα. διὰ τῆς ει διφθόγγου γράφεται. μέρος σώματος. ἀνθρώπειος πούς. μετουσιαστικόν. ἀργύρειος. χρύσειος. κτητικόν ἄγειος. νεῦρον. παρὰ τὸ νεῖσθαι δι᾽ ὅλου τοῦ σώματος.

νεῦσον. παρὰ τὸ νεύω.

νευστάζει. τὸ νυστάζει.

νευστάζων παρὰ τὸ νεύειν. καὶ ὑπνώττειν εἰς τοῦτο. καὶ ἡ μετοχὴ νευστάζων. ἤγουν διὰ τὴν ἐπιγινομένην ἐκ τοῦ ὕπνου καταφοράν.

νεωσικός. τὸ καρδιοσαρκεῖν

νείω. εἰς τὸ νεῦσος.

νεφέλη. διὰ τὸ τὰ νάματα ἀφέλκειν ἐκ τῆς θαλάσσης. ἢ ταῦτα φέρειν. ἢ ὑφέλκειν. ἢ παρὰ τὸ νίφω. τὸ χιο:νίζω. τὸ φε φιλοῦντα διὰ τοῦ ε θηλυκά. εἰς τὸν κανόνα καὶ εἰς τὸ γνόφος.

νεφέλη· παρὰ τὸ ὕφελ. τὸ νᾶμα. ἤτοι ἐφέλκεσθαι τὸ ὕδωρ. ἢ παρὰ τὸ νείφω τὸ βρέχω.

νέφος· παρὰ τὸ νε στερητικόν. ὅ ἐστι κενὸν φάους. οἷον καὶ νεόφαος. τὸ ἐστερημένον φωτός. σημαίνει καὶ πλῆθος.

νεφεληγερέταο· τοῦ τὰς νεφέλας ἀθροίζοντος.

νεφθαλείμ· ὄνομα πόλεως ἄκλιτον. γέγονε δὲ ἀπὸ τοῦ θάλλω τὸ αὔξω. καὶ τοῦ εὖ μορίου εὐθαλής. καὶ ἐκ τούτου εὐθαλεὶμ καὶ πλεονασμῷ τοῦ φ. ἀποβάλλει ἢ ἐκ διφθόγγου τὸ υ ψιλόν. καὶ πλεονασμῷ τοῦ ν. νεφθαλείμ. σημαίνει δὲ ἀντίληψιν.

νεφρός· παρὰ τὸ νείφεσθαι. ὅ ἐστι βρέχεσθαι τῷ οὔρῳ. ἢ διὰ τὸ ἐν νώτῳ φέρεσθαι.

νέω· εἰς τὸ ναίουσι καὶ νέω. καὶ νεαροὶ καὶ νέαι. καὶ νέαιρα καὶ νηδύ. καὶ νόστος.

νεωκόρος· ἐκ τοῦ νεὼς καὶ τοῦ κορῶ τὸ καθαίρω. καὶ ἐπιμελοῦμαι. καὶ σηκοκόρον λέγει ὅμηρος. τὸν τοῦ σηκοῦ ἐπιμελούμενον.

νεωκόρος· ὁ τοῦ ναοῦ παῖς· ἤγουν
κόσμος.
ναιετάω· ἐστὶ τὸ ῥῆμα· ναιετάω· ναιε-
-τῶ· καὶ ἡ μετοχὴ ναιετάων· καὶ τὸ
θηλυκὸν ναιετάουσα· καὶ δωρικῶς
ναιετάωσσα· ὡς ἱδρύσθαι· ἱδρῶσθαι· καὶ
βοῶν· βῶν.
νηγατέω· νεωστὶ γεγονότι· λεπτῶ.
παρὰ τὸ τείνομαι τάνος· γίμαι· γά-
-τος· καὶ νεήγατος· ὑπερθέσει τοῦ
ε νηγάτεος.
νεώτερος· ὁ νέος τῇ ὀράσει· ἢ νέος ἔ-
-ρως· καὶ εἰς τὸ νέος.
νεωτόν· εἰς τὸ εἰνεωτόν.

## τὸ ν· μετὰ τοῦ η.

νηγάτεον· καινόν· ὥσπερ παρὰ τὸ
τείνω· γίνεται τάνος· οὕτω καὶ παρὰ
τὸ γείνω γίνεται γάνος· καὶ τοῦ νέος
νεήγατος· τροπῇ τοῦ ο· εἰς η· ὡς
τὸ θεοτόκος θεητόκος· καὶ πλεονασ-
-μῷ τοῦ ε· νηγάτεος· ἢ παρὰ τὸ θέω
τὸ θαυμάζω· — θηεῦντο μέγα ἔργον.
καὶ τὸ νήθω· τὸ κλώθω γίνεται —

νηγάτεος τὸ ἄγαν κεκνισμένου· νήδυμος· ὄνομα ἐκ τοῦ ἡδύς· ἡ γὰρ τῷ ν λέξει σεσωσμένη συντίθεται· ἀλλ' ἔστιν ἐκ τοῦ νηδύς· ὃ σημαίνει τὴν βαθεῖαν· ὧδε γὰρ τὸν βαθὺν ὕπνον. ἐπιφέρει γὰρ ὕπνος· οὐ γάρ ἐστιν ἡδύς. τὸ δὲ νηδύς· παρὰ τὸ νῶ· τὸ σωρεύω. καὶ πόθεν δῆλον· ὡς χεῦσιν·

νηδύας ἐνγῆας ἐπὴν ἄλα δὲ προσερεύω. τὴν βαθεῖαν γὰρ σημαίνει τὸ νηδύς· παρὰ τὸ σεσωρεῦσθαι ἐν αὐτῇ τὰ βρώματα· τὸ δὲ βραχύ. τὰ εἰς μος λήγοντα ὀνόματα· ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται· μὴ ὄντα σύνθετα τοῦ ῡ· παραληγόμενα συστέλλει τὸ ῡ· οἷον ἔλυμος. δίδυμος. ἔτυμος. τὸ γὰρ πρόθυμον σύνθετον. ὁ δὲ Ἀπίων· ἐτυμολογεῖται φησίν· ἄδυμος ὃν οὐκ ἔστιν ἀποδύεσθαι διὰ τὸ βάθος. φασὶ δέ τινες κατὰ μεταφοράν· ὅτι τὸν βαθὺν σημαίνει τὸν ἀπὸ τῆς νηδύος. ἡ ἐστὶ κοιλία. βαθύτατον δέ ἐστιν ἐν ἡμῖν τοῦτο τὸ μέρος.

νηδύς· γαστήρ· παρὰ τὸ νάειν ἢ παρὰ τὸ νῶ· τὸ σωρεύω· ἢ ἀπὸ τοῦ νάω τὸ ῥέω· διὰ τὸ ἐν αὐτῇ σεσωρεῦσθαι τὸ ἔμβρυον.

νηδύς· ἡ γαστήρ· ἀπὸ τοῦ διακεκενῆσθαι τὸ τῆς τροφῆς. ἢ ἐπὶ σωρεύεσθαι· καὶ πεπληρῶσθαι· ἢ ὅτι ἐπαρδεύσεις τοῦ σώματος τῆς τροφῆς. ἀπὸ τοῦ ταῦτα γίνεται. νάειν γὰρ τὸ ῥεῖν.

νῆες τῶν πλοίων· διαφέρουσιν· αἱ μὲν νῆες· στρογγύλαι φορτιζόμεναι· τὸ δὲ πλοῖον στρατιωτικόν.

νηδύς· γαστήρ· παρὰ τὸ νάειν· ἢ παρὰ τὸ νῶ· τὸ σωρεύω· ἢ ἀπὸ τοῦ νάω· τὸ ῥέω· διὰ τὸ ἐν αὐτῇ σωρεύεσθαι τὰ σπέρματα τῆς γονῆς. τὸ νῶ· σημαίνει πέντε. νῶ· τὸ νοήσω· ἐξ οὗ καὶ νοῦς. νῶ· τὸ ῥέω. ἐξ οὗ καὶ νερὸν τὸ ὑγρόν. νῶ· τὸ κολυμβῶ· ἐξ οὗ καὶ νῆσος καὶ νησσάριον. νῶ· τὸ κλώθω· ἐξ οὗ καὶ νῆμα. νῶ· τὸ σωρεύω· ἐξ οὗ καὶ νηδὺς ἡ γαστήρ· παρὰ τὸ εἰς αὐτὴν σεσωρεῦσθαι

τὸ ἔμβρυον·

γήθω· εἰς τὸ θρῆνος·

γήθω· εἰς τὸ νήγατον·

γήϊον· τὸ νῆ· η· καὶ τὸ ι· ι· διατί.
τὰ ἀπὸ τῶν εἰς αυς· θηλυκὰ διὰ
τοῦ ιος παραγόμενα διὰ τοῦ ι· γρά=
φεται· οἷον ναῦς· ναός· ναΐος· καὶ
τροπῇ νήϊος καὶ νήϊον ξύλον τὸ πρὸς
ναῦν ἐπιτήδειον· ὁμοίως καὶ τὸ
γραῦς· γραός· γραΐος· καὶ γρήϊος·
καὶ γρηΐδιον· εἶδος ἔχιδνα· ἔστι καὶ
ὄνομα ὄρους· πλησίον ἰθάκης· ὡς καὶ
ὅμηρος·

Ἡμεῖς δ' ἐξ ἰθάκης ὑπονηΐου ἤλθομεν·
ὑπονηΐῳ ὄρει κειμένης· οὕτω καὶ θή=
βη ὑποπλακίη· καὶ ὑπὸ πλακίῳ ὄ=
ρει·

γῆϊς· καὶ νηῒς· παρὰ τὸ διαφέρειν
τῇ σημασίᾳ· καὶ ὁ τόνος ἤλλακται.

νηῒς· σημαίνει τὸν ἄπειρον.

νῆϊς ὁ μὴ ἰδὼς καὶ μαθὼν ἀπὸ τοῦ
ἴσημι· ἢ ὁ μέλλων εἴσω· καὶ εἴσο=
μαι· ἀποβολῇ τοῦ ω καὶ τοῦ ε·
καὶ μετὰ τῆς νη στερήσεως νηῒς

ἢ ἄπειρος γάμου.

νηκτά· τὰ ἔνυδρα· παρὰ τὸ νήχεσθαι. ὅ ἐστι κολυμβᾶν.

νηΐτης· ἀπὸ τοῦ νηὸς γέγονε νηΐτης ἐπεὶ καὶ ἀπὸ τῆς νεὼς νεΐτης. ὁ ἔμπειρος.

νηλέϊ χαλκῷ· ἡ εὐθεῖα νηλής· γίνεται ἐκ τοῦ ἐλεῶ· ἐλεήσω· καὶ μετὰ τοῦ νη στερητικοῦ· καὶ κατὰ συγκοπὴν νηλής· γίνεται ἐκ τοῦ ἐλεῶ. ἐλεήσω· καὶ μετὰ τοῦ νη στερητικοῦ καὶ κατὰ συγκοπὴν νηλής. ὁ ἐστερημένος τοῦ ἐλέους· ἔστι δὲ καὶ νηλεής. δύο γὰρ εὐθεῖαι· ἐξ οὗ καὶ ἡ κλητική· ὦ νηλεὲς οὐκ ἄρα.

νηλίτης· σημαίνει δὲ τὸν ἁμαρτωλόν. παρὰ τὸ νη· ἐπιτατικοῦ· καὶ τὸ ἀλίτην τὸ σημαῖνον τὸν ἁμαρτωλόν. τροπῇ αἰολικῶς τοῦ ι· εἰς η· γέγονε νηλήτης· οὐδέτερον

νημερτής· τροπῇ τοῦ α· εἰς η· καὶ κατὰ στέρησιν τοῦ ἁμαρτεῖν ἐγένετο νημερτής· καὶ τροπῇ τοῦ α· εἰς η· νημερτής· καὶ τὸ οὐδέτερον νημερτές.

γνίτης πόθεν γίνεται παρά τὸ ναῦς

νηός. ὁ κανὼν δύο μόνα εἶσιν εἰς

αυς θηλυκὰ περισπώμενα ναῦς καὶ

γραῦς. κέκλινται δὲ ἀμφότερα διὰ

τοῦ ος. ἡ δὲ νηῒς εἶδος πλοίου. καὶ

ἐξ αὐτοῦ νηΐτης. καὶ τὸ μὲν νηΐν.

σημαίνει τὴν νεανίδα.

νημερτής. παρὰ τὸ μὴ ἁμαρτεῖν.

νημερτής. καὶ νημαρτής.

νημερτές. ἐπίρρημα ἀπὸ τοῦ νημερ-

-τής ὀνόματος. καὶ τὸ οὐδέτερον νη-

-μερτής. τοῦτο παρὰ τὸ ἁμαρτῶ τὸ

ἀποτυγχάνω. καὶ μετὰ τοῦ στερητικοῦ

νημερτής. οἱονεὶ ὁ μὴ ἀποτυγχάνων

τοῦ σκοποῦ τῶν λόγων. τουτέστι

μὴ ψευδόμενος.

νηόν. εἰς τὸ ἐπίνηον.

νηπενθές. ἀπένθητον. μέγα. ἢ μεγα-

-λοπενθές. προσφάτως πενθούμενον.

ὡς τὸ νη. καὶ στέρησιν καὶ ἐπίτασιν

δηλοῦντος.

νηπίαχος. παρὰ τὸ νη στερητικὸν

καὶ τὸ ἰάχω. τοῦτο ἐκ τοῦ ἴα. ἢ

ἐκπεμπομένη βοή. γίνεται δὲ τοῦτο

παρὰ τὸ ἐπὶ πᾶσαν ἀκουὴν ἰέναι.

λοιπὸν ἐκ τοῦ ἴα. γίνεται ῥηματικὸν ἰάχω.

νηνεμία. ἐπὶ ἀνέμων. εὐδία ἐπὶ ἀέρος. γαλήνη. ἐπὶ θαλάσσης.

ναρόν. παρὰ τὸ νῶ. νάσω. ναρόν. β.

Σοφοκλῆς Τρωΐλῳ.

ναρὰ δὲ κρηναῖα χωρούσμην ποτά.

καὶ ἴσως ἡ συνήθεια τρέψασα τὸ ᾱ εἰς ε̄. λέγει νερόν.

νηρείτης. σημαίνει τὸν κόχλον ἤγουν τὸν κοχλίαν τῆς θαλάσσης. διὰ τοῦ ῑ. γράφεται. καὶ τινὲς μὲν λέγουσιν. ὅτι παρὰ τὸ νηρεὺς ἐστίν. οὐ καλῶς δέ. ὅτι εἰ ἦν ἀπὸ τοῦ νηρεὺς. διὰ τῆς ει διφθόγγου εἶχε γράφεσθαι. ὡς ἀταρνεὺς ἀταρνείτης. ὁ δὲ τεχνικὸς λέγει. ὅτι ἀπὸ τοῦ νηρηῒς ἐστί. καὶ οὐδὲ οὗτος καλῶς εἶπεν. εἰ γὰρ ἦν ἀπὸ τοῦ νηρηῒς νηρηΐτης. εἶχεν εἶναι διὰ τῆς ει διφθόγγου. ὥσπερ ἀπὸ τοῦ ὄρεος ὀρεΐτος. καὶ ἐν συναιρέσει ὀρεῖτος. οὕτω καὶ ἀπὸ τοῦ νηρηῒς. νηρεΐτης. καὶ ἐν συναιρέσει νηρεῖτης. ἔστιν οὖν εἰπεῖν. ὅτι ἀπὸ τοῦ νῶ τὸ κολυμβῶ γίνεται.

ὁ μέλλων νύσω· καὶ ἐκ τούτου νηρός.
οὕτω δὲ λέγεται ὁ ἰχθύς· ἐκ τοῦ νή-
χεσθαι· ἔνθεν ἐστὶ· τὸ νηρεύς· ὁ νηχό-
μενος θεός· ἀπὸ νηρός γίνεται νηρεί-
της διὰ τοῦ ῑ· ταῦτα γὰρ ἀπὸ τῶν
εἰς ος διὰ τοῦ ῑτης γινόμενα· διὰ
τοῦ ῑ γράφεται· οἷον· τόπος τοπί-
της.

νηρεΐδας· καὶ νηρηΐδας κατὰ συγκο-
πὴν τοῦ ῑ· τὰς νύμφας.

β νῆστις· οὕτως εἴρηται· Σιμωνίδῃ·
παρὰ τὸ ἔδω· καὶ ὡς παρὰ τὸ ψεύ-
δω οὗ παθητικὸς ψεύδομαι ψευστής.
οὕτω καὶ παρὰ τὸ ἔδω τὸ ἐσθίω.
οὗ ὁ μέλλων ἔσω, ἔστης· καὶ μετὰ τοῦ
στερητικοῦ νε· νέστης· ἢ παρώνυμον.
νῆστις· οὕτως Ἡρωδιανὸς ἐν ἐπιμε-
ρισμοῖς.

νηστεία· ἀσιτία· ἔνδεια· τὸ νη· ἢ
διατί· τὰ παρὰ τὸ νη στερητικὸν
καὶ τὸ θύω ῥῆμα, ὃ σημαίνει τὸ
ὁρμῶ· διὰ τοῦ η· γράφεται.

νήπιος· παρὰ τὸ στέρησιν ἔχειν
τοῦ εἰπεῖν· ἢ νέος πάνυ· ἢ πλεονάζει

ἢ ἤπια νοῶν. ἢ παρὰ τὸ νη. στερητι-
:κὸν κατὰ στέρησιν τοῦ εἰπεῖν καὶ
λαλεῖν. οἷον νήπιος. ὁ λέγειν μὴ
δυνάμενος. ἢ νέον λιπαρῆ.

νηποινεί. χωρὶς ποινῆς. ἀτιμωρητί.
καὶ νήποινον τὸ ἀτιμώρητον. ἀπὸ
τοῦ νηρείτης. οὕτως λέγεται ὁ ἰχθύς.

νήσαντες. σωρεύσαντες. νῶ γὰρ τὸ
σωρεύω. ὁ μέλλων νήσω. ἐξ οὗ
καὶ νῆσος. καὶ νησσάριον. καὶ ναῦς.
ἢ πᾶν μέρος ἐν τῇ θαλάσσῃ ἔχουσα.
ὡς τὰ νηχόμενα σώματα. νῶ τὸ ῥέω.
οὗ νάσω. ἐξ οὗ νηρόν τὸ ὑγρόν. ὡς
φησὶ Σοφοκλῆς τρωΐλω.
πρὸ ναρὰ δὲ κρηναῖα χωροῦσ. μὲν ποτά. β
καὶ νῶ. τὸ νήθω. ὁ μέλλων νήσω.
ἐξ οὗ καὶ νῆμα.

νῆσος. παρὰ τὸ νῶ. οὗ ὁ μέλλων
νήσω. τὸ νήχομαι. πᾶν γὰρ μέρος
ἔχει ἐν τῇ θαλάσσῃ. ὥσπερ ἀεὶ
τῶν σωμάτων τὰ νηχόμενα. ἢ τῶν
ναμάτων ἕως ἤγουν τῶν ὑδάτων
τῆς θαλάσσης.

νῆσσα. παρὰ τὸ νέω τὸ κολυμβῶ

νεόσσα· καὶ τροπῇ τοῦ ε· εἰς η· καὶ προσθέσει τοῦ σ· τοῦ σ̄· νύσσα·

νυσσάριον· παρότι νύσσεται καὶ ἐν τῷ ἄρει αἴρεται.

νῆστις· ἔντερον οὕτω καλούμενον. οἱονεὶ νησίτις· παρὰ τὸ κενὸν εἶναι σιτίων· καὶ ὁ νῆστις ἄνθρωπος· παρὰ τὸ αὐτό· καὶ τὸ νηστεύειν· παρὰ τὸ στερεῖσθαι σιτίων· τὸ γὰρ νῆ στερητικὸν μόριον ἔγκειται.

νῆστις· ὁ ἄγευστος· παρὰ τὸ ἔδω τὸ ἐσθίω· οὗ ὁ μέλλων ἔδω ἔσῃς· καὶ κατὰ τοῦ στερητικοῦ νῆ· νῆστις· ὁ ἐστερημένος τῶν σιτίων· ἔστι ἡ παράδοσις· καὶ ἄγευστος ὁ γεγευμένος. καὶ τὸ πληθυντικὸν ὁμοίως· οὕτω γράφεται· οἱ νήστεις.

νηός· πλοῖον· παρὰ τὸ νεῖσθαι.

νηυσί· πλοίοις· τρεῖς εὐθείας ἔχει· ναῦς καὶ νηῦς καὶ νεῦς· καὶ γίνεται παρὰ τὸ νέω τὸ κολυμβῶ· καὶ ὅμηρος·

Αὐτὰρ ὁ χερσὶ νέων ἐπεμαίετο νόστου.

ἡ δοτικὴ νηΐ· ἐξ αὐτοῦ ὄνομα νηΐτης· ἐπαινῶ τὸν νηΐτην νόμον· ναῦς· ναός·

ὁ κανών· δύο μόνα εἰσὶν εἰς αυς θη-
-λυκὰ μονοσύλλαβα περισπώμενα·
ναῦς· καὶ γραῦς· κλίνονται δι' ἀμ-
-φότερα διὰ τοῦ ος.

νῆσις· ἕτερον· ἔστω λεγόμενον οἷον εἰ
νήσιτις· παρὰ τὸ κενὸν εἶναι σι-
-τίων· καὶ τὰ θηλυκά· αἱ ἔρις· αἱ
τρόπις· αἱ μῆνις· αἱ ἄμπωτις.

νήφω· τὸ μεθύω· διὰ τοῦ η γρ(άφεται),
ὡς φησὶν Ἀπολλώνιος· κατὰ τροπὴν τῆς
ει εἰς η· ὡς ἀπὸ τοῦ νείφω τὸ βρέχω·
τοὺς γὰρ λειποψυχοῦντας πολλάκις
ὕδατος ῥαντίσει νήφειν ποιοῦμεν.

νήφω· ἐπὶ τοῦ μεθύω· ἀπὸ τοῦ νεί-
-φω τοῦ σημαίνοντος τὸ βρέχω ἐγρά-
-φη.

νήφω· τὸ εὔχομαι παρὰ τὸ νείφω.
ἀπὸ τῆς τοῦ ὕδατος ἐπιφορᾶς· οἱ
γὰρ τοῦτο κεχρημένοι· εἰσὶν ἐγρήγο-
-ροι καὶ νηφάλεοι· ἔνθεν καὶ νήφειν
τὸ φρονεῖν· οὕτως ἡ παράδοσις.

νήχω· νῶ· καὶ νέω· ὅ ἐστι κολυμβῶ
ὡς Ἀριστοφάνης ἱππεῦσιν. β.

ἔνεον ἐν ταῖς ἐμβάσεσι.

προσθέσει τοῦ χ· εἰς η· νήχω· οὕτω Φιλόξενος.

τὸ ν̄· μετὰ τοῦ ῑ.

νικᾶς· ἐκ τοῦ νεῖκο· τὸ νι· ῑ· ἐκ
τοῦ ἐνὶ καὶ τοῦ εἴκω τὸ ὑποχωρῶ.
ἡ ὑποχωροῦσα· τινὶ τὴν νίκην· ἢ:
:γουσα τὸν στέφανον· γέγονεν ἐνιίκη·
καὶ κράσει τῶν δύο ῑ εἰς ῑ μακρόν·
γίνεται νίκη· ἀποβολῇ τοῦ ε· καὶ
ἐξ αὐτοῦ νικῶ· δευτέρας τῶν περισ=
:πωμένων συζυγίας.

νίκη· παρὰ τὴν ἐνὶ δοτικὴν καὶ
τὸ ἥκω τὸ σημαῖνον τὸ παραγίνο:
:μαι· γέγονεν ἐνιίκη· καὶ κατὰ κρᾶ:
:σιν τῶν δύο ῑ· εἰς ῑ μακρόν· ἐνίκη·
καὶ νίκη ἀποβολῇ τοῦ ε·

νίκη· παρὰ τὴν ἐνὶ δοτικήν· καὶ τὸ
εἴκω· ἡ ἐνὶ ὑποχωροῦσα· καὶ ὅμηρος
— ἑτεραλκέα νίκην.

τουτέστιν ἑτεροκλινῆ.

νηῦς παρὰ τὸ νῆσαι ἀπὸ τῶν ἐντι:
:θεμένων αὐτῇ φορτίων· οἱ δὲ παρὰ
τὸ νεῖσθαι.

νησὶς· τῷ λόγῳ τοῦ ἀκτὶς· σημαίνει
δὲ τὴν μικρὰν νῆσον· ἰστέον δὲ ὅτι
νῆσος· διὰ τοῦ η· γράφεται· καὶ ἑνὸς
σ· κατὰ παράδοσιν ἀπὸ τοῦ νησίς.

νησσάριον δέ· διά τοῦ η· καί δύο σσ.
ὅθεν ἐστί κατά παράδοσιν.
νησίδιον· διά τοῦ ι· ἀπό γάρ τοῦ
νῆσος· νήσου γέγονε νήσιον· καί ἐντεῦ-
θεν νησίδιον· οὕτω καί ἀπό τοῦ σφαί-
ρειον σφαιρίδιον· καί βιβλίον βιβλίδιον.
νιτρῶς· παρά μέν τῷ ποιητῇ· διά
τοῦ ι· γράφεται· ἐπί δέ τοῦ θαλαττίου
καί τοῦ τεχνικοῦ· διά τοῦ η· γράφεται.
νίσσος· ἐστιν ὄνομα κύριον· καί νίσσα
ἐστιν ὄνομα πόλεως.
νίκη· ἀποβολῇ τοῦ ε· ἡ ἐνί γινομέ-
νη· ἐνίκη τις οὖσα· καί ἡ Ἀθηνᾶ δέ
νίκη προσαγορεύεται· ὅτι νομιζομέ-
νης αὐτῆς πολεμικῆς καί φρονίμης·
ἀκόλουθον ἄν εἴη· καί τό τήν νίκην
αὐτῇ συνῆφθαι· τό γάρ ἐμφρόνως
πολεμεῖν νικητικόν· τό δέ ἀβούλως
καί προπετῶς χωρεῖν νοῦ ἐλαττικόν.
νίφω· νέφος γάρ· ὁ κενός φάους·
ὡς παρά Ἀριστοφάνει· καί τό νεφέλη·
διδάσκει· Ἀπολλώνιος δέ ὁ τοῦ Ἀρχι-
βίου· τό νίφω κατά τροπήν ἔλεγε
γεγενῆσθαι· κυρίως γάρ φησί νίφειν

εἴρηται. κατὰ ~~τὴν~~ τοῦ ὕδατος προφο-
:ράν καὶ νιφαλέωσιν εἰ καὶ ἐμπέπτωκε
παρ' αὐτοῦ καὶ τὸ νειφάς. τὸ δὲ νιφετὸς
διὰ τοῦ ῑ. καὶ ὁ ἔλασμα. εὕρηκε γὰρ
ἀπὸ τοῦ λείβω. λίβας. καὶ ἀπὸ τοῦ
πείθω. πιθανότης. καὶ ἀπὸ τοῦ ἀλείφω.
ἀλοιφή. οὕτω καὶ ἀπὸ τοῦ νείφω νιφε-
:τός.
γνικήτας. ὁ κανὼν τὰ εἰς ᾱς ὀνόματα
ἀπὸ φύσει μακρᾶς ἀρχόμενα ἀποβολῇ
τοῦ σ̄ κλίνονται. οἷον νικήτας νικήτα.
γίσομαι. τὸ πορεύσομαι. ὤφειλε δὲ διὰ
τῆς ει διφθόγγου. ἀνεφάνη γὰρ ἐν τῷ
νέομαι. ἀλλ' ἡ παράδοσις. τὸ ῑ. ἔχει
θεματικόν. νίω. ὁ μέλλων νίσω.
τὸ νῑ μακρόν.
γίσσω. εἰς τὸ βλέπω. καὶ πεσέμεν.

τὸ ν̄ μετὰ τοῦ ο̄.

γνοήματα. ὀνόματα καὶ ῥήματα. καὶ
εἰς τὸ βρέχω.
γνοθεῖον. εἰς τὸ ὀθνεῖον.
γνόσος. παρὰ τὸ ἐστερῆσθαι τοῦ σωματικοῦ χρό-
:νου.

νομὴ ἐκ τοῦ νέμω· νομή· καὶ σημαίνει
τὴν τροφήν· γίνεται παρὰ τὸ νέμω
τὸ βόσκω· ὁ νομὸς ὀξύνεται· ὁπότε
περισπάρχει διὰ τοῦ ε. κατὰ τὴν πα-
ραλήγουσαν· οἷον μονὴ ἀνατολή.
ἀντολή· τὸ μὲν τοι εὐρυνομένη· καὶ
ἀμφινόμη βαρύνεται.
νόμισμα· παρὰ τὸ νομίζω· νομίσω.
νόμισμα. ἢ διὰ τὸ νομιζόμενον μηδὲν
εἶναι. ἢ διὰ τὸ νομίζεσθαί τι μηδὲν ὄν.
νόμισμα χρ᾽ ἔπη.
νόμισμα· ἄλλο· γράμματα γρία.
νόμος· σημαίνει· ἐξ· νόμος ὁ γραπτὸς
ὃν ἔχομεν· νόμος καὶ τὸ νόμισμα.
νόμος ὁ τὴν γῆν μερίζων αἰγυπτιακός.
νόμος ἡ χώρα· νόμος ἡ συνήθεια.
νόμος ἡ τάξις· νομὸς δὲ ἡ νομὴ τῆς
βοσκῆς· γέγονε δὲ ἀμφότερα· παρὰ τὸ
νέμω· τὸ μερίζω.
νόμος· παρὰ τὸ νέμω τὸ μερίζω· ὡς
λέγω· λόγος.
νόου ἡ εὐθεῖα νόος· τοῦτο δὲ παρὰ
τὸ νέω· τὸ πορεύομαι· τὸ δὲ νέω
σημαίνει· δύο· ναίω τὸ οἰκῶ· διὰ τῆς.

αἱ διφθόγγοι. καὶ νέω. τὸ πορεύομαι καὶ κολυμβῶ. διὰ τοῦ ε. ψιλοῦ.
νόθος. ὁ μὴ γνήσιος υἱός. ἀλλ' ἐκ παλ-λακίδος ὤν. αἱ γὰρ παιδοποιίαι παρὰ τῷ ποιητῇ. λέγεται τετραχῶς. γνήσιος, νόθος. σκότιος. παρθένιος. γνήσιος μὲν καλεῖται. ὁ ἐκ νομίμων γάμων. νόθος δὲ ὁ ἐκ παλλακίδος. καὶ φησιν

εἴκειν ἐνὶ φρενὶ δίφρῳ ἐόντε —

γνήσιον καὶ νόθον ἄμφω.
σκότιος δὲ ἐγείνατο μήτηρ.
παρθένιος δὲ ὁ ἐκ τῆς παρθένου ἔτι νομιζομένης γενόμενος. ὡς τὸ

παρθένιος τὸν ἔτικτε χορῷ καλὴ πολυμήλη.

νόθος. διὰ τὸ νοθεύειν τὸ σῶμα. ἢ παρὰ τὸ νῦ τὸ στερητικόν. καὶ τοῦ θεῖος. ὁ ἐστερημένος τῆς ὑγείας.
νωθεία. παρὰ τὸ νωθρός. ὁ νωθεῖ σω-ώμενος. καὶ ἐξ ὁρμῶν τῆς γαστρός. τοῦτο δὲ παρὰ τὸ ν στερητικόν. καὶ τὸ θέω. τὸ ὁρμῶ. νωθεία δὲ ἡ κακία.
νόθος. παρὰ τὸ ἐστερῆσθαι τοῦ θεοῦ. τὸ γὰρ νῦ στερητικόν. κατὰ δὲ μετα-βολὴν τοῦ νῶ. εἰς νο. γίνεται.

νόστος· παρὰ μὲν τῇ συνηθείᾳ· ὁ γλυ-
κασμὸς λέγεται· νόστος· μεταφορικῶς δὲ
καὶ ἡ εἰς τὸν οἶκον ἀνακομιδή· ἀπὸ
τῶν ἐδεσμάτων· ὡς φησὶν ὅμηρος·

οὐδὲν γλύκιον ἧς πατρίδος·

γέγονε δὲ παρὰ τὸ νέω· σημαίνει πέντε.
τρία διὰ τοῦ ε ψιλοῦ· τὰ μὲν δύο βαρύ-
τονα· καὶ τὸ ἓν περισπώμενον· καὶ
τὰ ἕτερα δύο· τὸ μὲν ἕν· διὰ τῆς αι
διφθόγγου, τὰ δὲ δύο διὰ τοῦ ε ψιλοῦ.
καὶ εἰς τὸ νοσφισμός.

νόσφι· χωρὶς κατ' ἰδίαν· ἐπίρρημα χω-
ριστόν· ἐκ τοῦ νόστος· νόστου· ἐπεκτάσει
τῆς φι συλλαβῆς γίνεται νόστουφι·
καὶ ἐν συγκοπῇ νόσφι· καὶ εἰς τὸ ἶφι.
ὅμηρος·

νόσφι τὰ εἰς ι λήγοντα ἐπιρρήματα·
συνεσταλμένον ἔχουσι τὸ ι καὶ βαρύ-
νεσθαι θέλουσι καὶ διὰ τοῦ ι γράφεσθαι.
οἷον ναῦφι· νόσφι· ναίχι· ἶφι· ἑτέ-
ρηφι· χάλκοφι· βίηφι· ὅθεν καὶ τὸ
πρωΐ ἀναλογώτερον ἐστὶ παρὰ τοῖς
ποιηταῖς· βαρυνόμενον πρόσκειται
τὸ ι συνεσταλμένον· διὰ τὸ νωεί· νωΐ
καὶ κοΐ· ἐστὶ δὲ μίμημα φωνῆς χοίρου β.

νοσφιζοίμεθα· παρὰ τὸ νοσφίζω· τοῦτο
ἐκ τοῦ νόσφι· τοῦτο ἐκ τοῦ νω στερητικοῦ
καὶ τοῦ ἕπω τὸ ἀκολουθῶ· καὶ ἐξ αὐτοῦ
νόεπι· καὶ ὥσπερ ἀπὸ τοῦ θεόφατον κατ'
ἀποβολὴν τοῦ ο καὶ πλεονασμῷ τοῦ σ.
γίνεται θέσφατον, καὶ θέοπιν θέσπιν
θέσπιν κατεβρόντησεν ὁ βλέπων ὄπα·
ὧς ἐκ τοῦ νοέπω· νόεπι· ἀποβολῇ τοῦ
ε· καὶ πλεονασμῷ τοῦ σ· νόσφι· τροπῇ
τοῦ ψιλοῦ εἰς δασύ· ὃ μὴ ἀκολουθοῦν, ἀλλὰ
πόρρωθεν καὶ χωρὶς ὑπάρχον· καὶ ἄλ-
λως νόσφι γίνεται· ἐκ τοῦ νόσος· νόσου
νόσοφι· καὶ συγκοπῇ νόσφι· καὶ διὰ τὸ
γενόμενον ἀπὸ τῆς τοῦ νόσου γενικῆς
οὐκ ἐγένετο νοσοῦφι· ἀλλ' ἀπέβαλε τὸ
υ· καὶ λέγομεν ὅτι αἱ πτώσεις· αἱ ἐπεκ-
τεινόμεναι· διὰ τῆς φι συλλαβῆς·
εἰ μὲν ἔχοιεν ἓν φωνῆεν κατὰ τὴν
λήγουσαν φυλάττει αὐτό· ὁμοίως· οὐ-
ρανίαφι· ἔτεει ἔτεεφι· εἰ δὲ ἔχουσι
δύο φωνήεντα· κατὰ τὴν λήγουσαν·
τὸ τελευταῖον φωνῆεν ἀποβάλλουσι·
νόσος· νόσου· νόσοφι· καὶ συγκοπῇ
νόσφι· ἰστέον δὲ ὅτι τῆς φι συλλαβῆς·

ἡ παραγωγὴ κατὰ πᾶσαν πτῶσιν γίνεται.
καὶ ἀπὸ ὀρθίας μέν· ὡς ἑτέρη ἑτέρηφι.
παρελθεῖν· ἀπὸ γενικῆς· οἷον· χαλκός
χαλκοῦ χαλκόφι.

— πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός.

ἀπὸ δοτικῆς· βίη· βίηφι. ἤπερ ἦφι βίηφι.
ἀντὶ τοῦ ἢ βία· φρήτρη φρήτρηφιν.
ἀρσενικῶς· ἀπὸ αἰτιατικῆς· οἷον δεξιόν
δεξιόφιν. ὡς τό

εἶτ' ἐπιδεξιόφιν —

ἀντὶ τοῦ ἐπὶ τὸ δεξιὸν παντὸς στρατοῦ.
ἀπὸ δὲ κλητικῆς. οἷον

ὀπωιάφι φιλησάμενοι ἆσται.

αἱ δὲ τῆς φι συλλαβῆς ἐπεκτάσεις τὸ
τὸ αὐτὸ μέρος τοῦ λόγου φυλάττουσι· χωρὶς
τοῦ νόσφι· καὶ ἶφι· ταῦτα γὰρ ἐπὶ πλεῖον
εἰς ἐπιρρηματικὴν σύνταξιν. βαρύτονον
τὸ νόσφι. κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ
εἰς ι· λήγοντα ἐπιρρήματα συνεσταλμέ-
νον ἔχοντα τὸ ι· βαρύνεσθαι θέλουσιν.
οἷον νόσφι· αὖθι· ἶφι· ναίχι· ἧχι.
ὅθεν καὶ τὸ πρωΐ· ἀναλογώτερόν ἐστι
παρὰ τῷ ποιητῇ βαρύνεσθαι. οἷον
πρῶϊ δ' ὕπνῳ. τὸ δέ· ἀποβάλ-
λει τὸ ι διὰ τὸν κανόνα· καὶ βαρύνεται.

προσκεῖται. ἔχοντα τὸ ι. συνεσταλμένον.
διὰ τὸ δρωεί. νωί. κοΐ. ἔστι δὲ μίμημα
φωνῆς χοιρ. ἐχρήσατο δὲ Ἀριστοφάνης
β. τῇ λέξει. τὸ ἄει καὶ ἀεὶ. ἐπιτατικὸν
ἐπίρρημα. συνεσταλμένον ἔχοντα τὸ ι.
καὶ μὴ βαρυνόμενα. οὐκ ἀντίκειται
ἡμῖν. ἐπειδὴ οὐδέποτε ταῦτα ὁρίζ-
-εται. αὐτὰ καθ' ἑαυτά. ἀλλ' ἀεὶ ἐν
συνθέσει. ὡς τὸ ἀειβεβρέτης καὶ ἀει-
-δείκετος. τόδε ἠχί. ὤφειλε βαρύνεσθαι.
ἀλλ' ἐπειδὴ ἐκ τοῦ ἧ ἀρκτικῶς γέγονε
κατ' ἐπέκτασιν. τῆς χι συλλαβῆς.
τόδε ἧ παραλόγως ὀξύνθη. ὤφειλε γὰρ
περισπᾶσθαι. ἐπειδὴ πᾶσα δίφθογγος
τελική. εἰς ῡ λήγουσα. καὶ τὰ ἑξῆς.
ἐπειδὴ οὖν παραλόγως ὀξύνθη πρὸ τῆς
ἐπεκτάσεως. τούτου χάριν καὶ μετὰ
τὴν ἐπέκτασιν παραλόγως ὀξύνθη.
ὅμηρος.
γοῦσον παρὰ τὸ σῶον. ὅπερ διὰ τοῦ
ῡ μικροῦ γράφεται. καὶ τοῦ νῦ στερητι-
-κοῦ μορίου. καὶ πλεονασμῷ τοῦ ῡ νό-
-σος καὶ νοῦσος. ὡς ὄλυμπος οὔλυμπος.
νοῦς. παρὰ τὸ νεῖσθαι πάντοτε κινούμενος.

καὶ ἐπὶ πάντα πεφοιτῶν· τί γὰρ θερμητι:κώτερον νοῦ· ὅμηρος·

ὡς δ' ὅταν ἀΐξῃ νόος ἀνέρος—
καὶ ὡς τί πτερὸν ἠὲ νόημα.

νουνεχόντως· ἀπὸ τοῦ νοῦν ἔχων σύνθετον νουνεχόντως. πολλάκις γὰρ ἀπὸ δύο ἐνεστώτων· τοῦ λόγου μέρος γίνεται ἑνότης οἷον ἄρειος πά:γος· ἀρεοπαγίτης· νέα πόλις· νεαπο:λίτης· τὸ αὐτό· ταυτότης. οὕτω νοῦν ἔχων· νουνεχόντως.

νοσφισμός· χωρισμός. παρὰ τὸ νοσφί:ζω· τοῦτο παρὰ τὸ νόσφι· ὃ σημαί:νει τὸ χωρίς· τοῦτο παρὰ τὸ νόσος. νόσοφι· καὶ συγκοπῇ νόσφι. τὸ νόσος ἐστι σω· καὶ μετὰ τοῦ νο στερητικοῦ. νόσοφι· καὶ συγκοπῇ νόσφι. καὶ νόσος τὸ μὴ ἵστασθαι εἰς ἀλλότριον τόπον. ἀλλ' ἐν τοῖς οἰκείοις ἀπέρχεσθαι.

νοσφισμός· χωρισμός. ἀποστέρησις. ἀφαίρεσις· ἀποκρουσμή· ἀβλεψία.

νοτάριος· ὅτι νοῦν τηρεῖ. ἢ ὅτι νοῦν τηρῶν. ἢ ὅτι τὰ νοήματα τηρῶν. ῥωμαϊκὴ δὲ ἡ λέξις. διὰ τὸ νότα τὰ γράμματα λέγειν.

νότος· ὅτι νοτίζει· ἤτοι καθυγραίνει.

νότος· διότι νόθους ποιεῖ τοὺς καρ-
-πούς.

νότος· τάχα διὰ τὸ νοτίζειν· ἢ τὴν νοτί-
-δαν αἴρειν.

νότος· ὁ ἄνεμος· παρὰ τὸ ὄνω· τὸ
βλάπτω· ὁ μέλλων ὀνήσω· ἐξ αὐτοῦ
ὁ νότος· καὶ κατ' ἀφαίρεσιν τοῦ ο̄ νότος
οἱονεὶ ὁ βλαπτικός· τῶν καρπῶν καὶ
τῶν σωμάτων.

νοῦς παρὰ τὸ νέεσθαι καὶ ὁρμᾶν· τί γὰρ
κινητικώτερον τοῦ νοός.

νοῦσος· ἡ ἀσθένεια· πλεονασμῷ τοῦ
ῡ· ἰωνικῶς· ὡς κόρος· κοῦρος· μόνος
μοῦνος· λέγεται δὲ νόσος παρὰ τὸ νο-
στερητικὸν· μόριον καὶ τὸ σῶος· ὁ ἀκέ-
-ραιος· σόος δὲ γράφεται καὶ διὰ τοῦ ο̄
μικροῦ· οἷον

βούλομαι ἐγὼ λαὸν σόον—

## τὸ ν̄ μετὰ τοῦ ῡ.

νυμφαγωγός· τὰ παρὰ τὸ ἄγω συντι-
-θέμενα· διὰ τοῦ ω̄ γράφεται· νυμφα-
-γωγός· μυσταγωγός.

νυκτικόραξ· παρὰ τὸ νυκτὶ καὶ τὸ
κόραξ· τοῦτο παρὰ τὸ κορόν· ὁ—

σημαίνει τὸ μέλαν· ἢ παρὰ τὸ καρ-
μεγάλην ἔχειν.
νουμόν· νουμᾶς τις βασιλεὺς ῥωμαί-
ων· ἐποίησε, καὶ πρὸς τὸ ὄνομα αὐτοῦ
ἐκλήθη.
νυμφίος· παρὰ τὸ νύμφη· τοῦτο πα-
ρὰ τὸ νέον φῶς ἔχειν· ἢ παρὰ τὸ νεωστὶ
φαίνεσθαι.
νύμφιος· καὶ νυμφίος διαφέρει. νύμ-
φιος λέγεται· ὁ πεποικιλμένος οἶκος.
νυμφίος δὲ αὐτὸς ὁ γεγαμηκώς.
νύμφη· ὅτι ἐν μὲν τῇ παρθενίᾳ
ἐκρύπτετο· γαμηθεῖσα δὲ ἐφαίνετο.
νυκτέλιος· ὁ διόνυσος· ᾧ νύκτωρ
τὰ μυστήρια ἐπιτελεῖται.
νουμηνία· παρὰ τὸ νέος καὶ τὸ μήν.
νυκτερίς· νυκτίδρα· καὶ ἕρα...
ἐξ ἀνυμφεύτου· ἐκ τούτου παράγω-
γον· νυμφεύω· καὶ ὄνομα ῥηματικὸν
νυμφευτός· τὸ δὲ νύμφη· παρὰ τὸ
νῦν φαινομένη· νέα· ἢ παρὰ τὸ νέαν
φαίνεσθαι.
νυμφίος· παρὰ τὸ νῦν ἠμφιάσθαι
καλῶς· ἢ νῦν φιλῶν νύμφην· τὸ ετ
τ· τὰ διὰ τοῦ τος ὀνόματα κατὰ τὸν

τόνου διαφορεῖται, διὰ τοῦ ι γράφεται.
διαφέρει δὲ νύμφιος καὶ νυμφίος. νύμ-
φιος λέγεται ὁ θάλαμος. νυμφίος δὲ
ὁ γεγαμηκώς. τὸ δὲ νῦ ὅτι νωγμόν
τινὰ ἔχει. ἢ τοῦ τοῦ ἐκφωνήσεως.
νῦν. καὶ νυνὶ διαφέρει. τὸ μὲν γὰρ
νῦν. χρονικὸν ἐπίρρημα ἐστι. τάσσεται
ἐπὶ τῶν τριῶν χρόνων. ἐνεστῶτος
καὶ παρῳχηκότος. καὶ μέλλοντος.
οἷον νῦν ὁ ἀγὼν ἐστί. νῦν ὁ ἀγὼν
διῆλθε. νῦν ὁ ἀγὼν ἔσται. τὸ δὲ νυνὶ
ἐπὶ μόνου τοῦ ἐνεστῶτος.
νῦν δηλοῖ χρόνους τρεῖς. ἐνεστῶτα.
νῦν γὰρ ἐστι βιβλίον. παρεληλυθότα.
νῦν ὤλετο πᾶσα πειχθών—
μέλλοντα.
νῦν δὲ ἀνείαο βίη πᾶσι τρώεσσιν ἀνάξει.
νυνί. ἐπίρρημα χρόνου δηλωτικόν.
κατ' ἐπέκτασιν τοῦ ι. ἀπὸ γὰρ τοῦ
νῦν γίνεται ἡ διὰ τοῦ ι ἐπέκτασις.
δίφθογγον οὐκ ἔχει. ὡδί. νυνί. δευρί.
νῦν. τρεῖς χρόνους δηλοῖ. ἐνεστῶτα.
νῦν μὲν πειρᾶται. τάχα δ' ἴψεται λαὸν ἀχαιῶν.

παρεληλυθότα.

γνῶ μὲν γὰρ Μενέλαος ἐνίκησε σὺν Ἀθήνῃ.

μέλλοντα.

γνῶ δ' αὖτις χάλη πυεύσομαι αἴκε τύχοιμι.

νύξ. παρὰ τὸ νύσσω. νυσσόμεθα γὰρ προσπίπτοντες τῷ σκότει. ἢ παρὰ τὸ νεύω τὸ κάμπτω. ἢ νύσσουσα ἡμᾶς πρὸς ὕπνον. καὶ κλίνεται νυκτός. ὁ κανὼν πᾶν ὄνομα ἔχον ἐπὶ τῆς εὐθείας τὸ σύμφωνον τοῦ παρακειμένου. νύξ. σημαίνει τρία. τὴν σωματοειδῆ θεόν. — εἰ μὴ νὺξ ἔλθοι. — καὶ ἐπὶ τῆς συνηθείας ἡμῖν νοουμένης νυκτός. — νὺξ ἤδη τελέθει — καὶ ἐπὶ τῆς βαθείας καὶ σκοτεινῆς. καὶ γνοφώδους.

τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψε.

νυός. νύμφη. ἡ τοῦ υἱοῦ γυνή. παρὰ τὸ νέος τροπῇ τοῦ ε. εἰς υ. νυός. οὕτως Ἡρωδιανός. ἐν ἐπιμερισμοῖς.

νύσσα. ὁδὸς. καμπή. παρὰ τὸ ἐκεῖ νύσσεσθαι τοὺς ἵππους.

νυστάζει. οἷον νευστάζει. παρὰ τὸ ἐπινεύειν διὰ τὴν ἐπιγινομένην ἐκ τοῦ ὕπνου καταφοράν.

τὸ ν̅ · μετὰ τοῦ ω̅.

νω · εἰς τὸ νώδυμος καὶ νωδὸς· καὶ νω-
:βαντες· καὶ νώχω· καὶ νωλεμέως· καὶ
ὀμπνος·

νωε· κύριον ὄνομα· παρὰ τὸ νῶ τὸ
κολυμβῶ·

νωδής· ὁ μὴ ἔχων ὀδόντας·

νωθὴς ὁ βραδὺς· παρὰ τὸ μὴ θέειν
αὐτόν·

νωθρός· παρὰ τὸ νωθὸς· νωθερός· καὶ
νωθρός· ὁ ἐστερημένος τοῦ θορεῖν· ἤγουν
ὀξέως κινεῖσθαι·

νώποδες· οἱ ἰχθύες· παρὰ τὸ νῶ στε-
:ρητικὸν καὶ τὸ πούς· οἱ ἐστερημένοι
τῶν ποδῶν·

νωροψ· ὁ μὴ ἐῶν εἰς ἑαυτὸν ἀφορᾶν
τὴν ὄψιν· διὰ τὸ εἶναι λαμπρόν· ἀ-
:μαυροῖ γὰρ τὴν ὄψιν τὰ πάνυ λαμπρά·

νότος· ὄνομα· τίς ὤν· κατὰ ἀποβολὴν
τοῦ ο καὶ τροπῇ τοῦ τ εἰς θ· οὕτω
εὗρον ἐν ὑπομνήματι τῆς ἰλιάδος·
ὄνω δὲ τὸ βλάπτω·

νώροπι χαλκῷ· τῷ λαμπρῷ σιδήρῳ·

γνώροπα· λαμπρὸν ἀμαυροῦντα τὰς ὦπας. ὅ ἐστι τοὺς ὀφθαλμούς.

γνωλεμέως· διηνεκῶς· καὶ ἀδιαλείπτως. παρὰ τὸ νω στερητικὸν μόριον καὶ τὸ λείπω τὸ λιμπάνω· γέγονε νωλεμπὲς καὶ τροπῇ τοῦ π εἰς μ· νωλεμέως. οἱονεὶ τὸ μὴ λειπόμενον· ἀλλ' ἀδιαλείπτως. ὅν.

γνῶ· εἰς τὸ ἡμῖν.

γνωμῶ τὸ πωλῶ.

γνώσκω· εἰς τὸ γινώσκω.

γνῶτον· ὄνομα οὐδέτερον· εὐθεῖα τῶν πληθυντικῶν· τὸ ἀρσενικὸν ὁ νῶτος. τὸ νω μέγα πρὸς ἀντιδιαστολὴν τοῦ νότου· τοῦ σημαίνοντος τὸν ἄνεμον. τὰ νῶτα καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν οὐκ ἔχει· ὥσπερ ἡ κέλευθος· καὶ ἡ εὐθεῖα τῶν· τῶν πληθυντικῶν οὐκ ἔχει. καὶ τὸ οὐδέτερον οὐκ ἔχει. πλὴν μόνον τῶν πληθυντικῶν τὰ κέλευθα· οὕτω καὶ τὰ νῶτα.

γνῶτα τὰ μετάφρενα· ἐν τῷ οἴω τὸ κομίζω.

γνῶτος σημαίνει τὴν φοίαν· παρὰ τὸ·

νοτίζεσθαι. ἀυτοῦ ἱδρῶτι. ἀντὶ δὲ τοῦ
ο. τὸ ω. ἢ παρὰ τὸ νοτὶς. ὃ σημαί-
νει τὴν ὑγρότητα. κατ' ἐπαύξησιν τοῦ
ο εἰς ω. ἢ παρὰ τὸ ω εἶμα. ὃ
σημαίνει τὸ ὑπάρχω. ὦτος καὶ νῶτος.

νωχελής. ὁ δυσκίνητος. καὶ ἀργός.
νωχελὴς τὶς ὢν. ὁ μὴ κέλλων. κέλ-
λειν δέ ἐστι τὸ ταχέως τρέχειν. ἀφ'
οὗ κέλης ὁ μονῶνυξ ἵππος. καὶ δρο-
μικός.

νωχελής. παρὰ τὸ νω στερητικὸν. καὶ
τὸ κέλλειν. τουτέστιν ὁ στερηθεὶς τοῦ
τρέχειν.

νῶτος. ἐπειδὴ τῶν ἄλλων νοτίζεται
μᾶλλον. καὶ εἰς τοῦτο ὁ ἱδρὼς κα-
ταρρεῖ. ὡς τροπῇ εἶναι τοῦ ο. εἰς
ω. ὅμηρος.

— κατὰ δὲ νώτιον ἔρρεεν ἱδρώς.

ἀντὶ τοῦ κατὰ νώτου ἐφέρετο ὁ ἱδρώς.

νωΐτερος. ἀπὸ τοῦ νῶϊ δυϊκῆς ἀντω-
νυμίας. καὶ σημαίνει τὸν ἡμέτερον.
πρώτου προσώπου. οὕτω καὶ σφωΐτερος.
ἀπὸ τοῦ σφῶϊ δυϊκῆς ἀντωνυμίας.
δευτέρου προσώπου καὶ σημαίνει τὸν
ὑμέτερον. ὁ σφέτερος δὲ. ἀπὸ τοῦ
σφεῖς. τρίτου προσώπου. καὶ σημαίνει
τὸν ἀλλότριον.

## Ἀρχὴ τοῦ ξ στοιχείου.

### τὸ ξ. μετὰ τοῦ α:

ξανθός. ἐκ τοῦ ξαίνω. ξαντός. καὶ ξανθός. διὰ τούτου γὰρ φησὶν αἰνίττεται τὸ θερμὸν καὶ δεινὸν τοῦ ἥρωος. οἱ γὰρ ξανθόχολοι τοιοῦτοι. ἢ παρὰ τὸ ἄνθος. πλεονασμῷ τοῦ ξ. καὶ καταβιβασμῷ τοῦ τόνου.

ξάνθος. ποταμὸς τροίας παρὰ τὸ ξανθὰς τρίχας ποιεῖν τῶν λουομένων ἐκεῖθεν.

ξανθὸς ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι. εἰδικοῦ. τὸ γενικὸν πῶς ἐστι. χολή. διαιρεῖται εἰς δύο. εἰς ἀτμώδες καὶ ὠχρόν. γίνεται δὲ ἐκ τοῦ ξαίνω. ξαντὸν ἐγράφη.

### τὸ ξ. μετὰ τοῦ ε.

ξενοδόκος. ἐκ τοῦ ξένος καὶ τοῦ δέχομαι. ὅτινος ὁ μὲν χαρακτὴρ παθητικός. τὸ δὲ σημαινόμενον ἐνεργητικόν.

ξεῖνος. ὥσπερ ἀπὸ τοῦ κενός. κει-
:νός κατὰ πλεονασμὸν τοῦ ι. καὶ
ἀπὸ τοῦ ξένος. ξεῖνος. οὐδέποτε
γὰρ οἱ Αἰολεῖς τὸ ι ἀπὸ πλεονασ-
:μοῦ ἀποβάλλουσι. καὶ διπλασιάζου-
:σι τὸ σύμφωνον. οἷον τὸ κένος, γί-
:νεται κενός κατὰ πλεονασμὸν τοῦ
ι. καὶ οὐ λέγουσι κέννος. ἀλλ' ἀπὸ
τοῦ ξένος γέγονε ξέννος. καὶ γὰρ
πολλάκις ἐπεὶ βραχεῖα συλλαβή.
ποιοῦνται τοῦ συμφώνου διπλα-
:σιασμόν. οἷον ἔνη. ἔννη. ἔστι δὲ
ὄνομα πόλεως. ὡς θεράπων θερά-
:πον. οὕτω καὶ ξένος ξέννος.
ξεινοδόχος. καὶ ἰωνικὴ τροπῇ
τοῦ δασέος εἰς ψιλόν. ὡς τὸ
Εἰ ἐτεὸν κάλχας μαντεύεται ἠὲ καὶ οὐκί.
πλεονασμῷ τοῦ ι. ξεινοδόκος. ὁ τοὺς
ξένους φιλοφρονῶν.
ξεῖνος. ἀπὸ τοῦ ξένος γίνεται ξεῖ-
:νος. κατὰ πλεονασμὸν τοῦ ι. ὥσπερ
καὶ ἀπὸ τοῦ κενός. γίνεται κεινός.
ξενικοσάλευαν. ἔστι ξένος. ὁ σημαίνει

τὸν θαυμαστὸν καὶ τὸ ἄκουσω· καὶ ἐκ
τούτου κατὰ σύνθεσιν γέγονε ξεναικου
:σιω· ξεναικουσέω· ξενήκουκα· ξενήκου
:σα· ξενήκουσμαι· ὁ ἀόριστος παθητι
:κὸς ξενηκούσθην· καὶ τὸ τρίτον τῶν
πληθυντικῶν ξενηκούσθησαν.

ξενοδόκος· ὁ μὲν ὅμηρος τὸν τοὺς
ξένους ὑποδεχόμενον συνήθως ἡμῖν.
Σιμωνίδης δὲ καὶ Πίνδαρος· καὶ ἄλλοι
τινές· τὸν μάρτυρα ἐξεδέξαντο. Σιμω β
:νίδης

ξεινοδόκησε τε ~~καλ~~

ἀντὶ τοῦ ἐμαρτύρησε. καὶ πίνδαρος.

ξεινοδόκει δ' ἄριστος χρυσὸς αἰ αἴθει
λάμπων.—

ἀντὶ τοῦ μαρτυρῶν.

ξέστης· ῥωμαϊκόν ἐστι τὸ ὄνομα· τὸν
γὰρ παρ' ἡμῖν ἓξ ἀριθμόν· αὐτοὶ
σέξ· καὶ μέτρου τινὸς παρ' αὐτοῖς.
τὸ ἕκτον λέγουσι σέξτον· διὰ δὲ
εὐφωνίαν· τὸ σέξτης ἐγένετο ξέστης.
μεταθέσει τοῦ ξ· οὕτω Φιλόξενος·
ἐν τῷ περὶ τῆς τῶν ῥωμαίων δια
:λέξεως.

ξένος παρά τό ἔξω εἶναι· ἢ παρά τό ἐκτός τῆς ἑνότητος· ἢ παρά τό ξέω· ὁ ἐξεσμένος καί ἀποκεχωρισμένος· λέγεται δέ ξένος καί ὁ ὑποδεχόμενος τόν ξένον· καί ὁ ἀπό τῆς ἀλλοδαπῆς ἥκων· καί πεποίηται τό ὄνομα παρά τήν σκηνήν· τουτέστι ὁ παρέχων σκέπην ἵν᾽ ᾖ σκένος καί ξένος· ἢ παρά τό ἄγω· ἄξω· ἄξενος· καί ξένος· ὃν ἄγει τις εἰς ἑαυτόν· καί ὑποδέχεται· ἢ παρά τό ἵξω· ἵξενος· καί ξένος· ἢ ὅρασις ξενία· δύο σημαίνει τήν κατοικίαν καί τήν μακράν ὁδόν·

ξένος· παρά τό ἔξω εἶναι· ἢ παρά τό ἀπεξεσμένος εἶναι ἀπό τῶν ἰδίων· τό ξε ψιλόν· διατί· τά διά τοῦ ενος ὀνόματα βαρύτονα· εἴτε· ὀξύτονα διά τοῦ ε ψιλοῦ γράφονται. οἷον ξένος· ἀφένος· ἢ δύναμις· ἕνος ὁ ἐνιαυτός· στενός· κενός ὁ μάταιος. πλήν τοῦ αἶνος· ὃ σημαίνει τόν ἔπαινον πάντων.

ξενοφῶν· ὁ ἐν τοῖς ξένοις νηφῶν. τουτέστιν ἀρχόμενος· ἢ ὁ ἐν τοῖς ξένοις τόποις φονευόμενος.

ξέστης· ὁ ἀλεξανδρεινός· δύο λίτρας ἔχει· καὶ ὁλκὴν ἐλαίου·

ξέστιον· διὰ τὸ ἐπιξεσμένον τοῦ εἴδους· ἢ διὰ τὸ ἀκριβὲς τοῦ μέτρου.

τὸ ξ̄· μετὰ τοῦ η̄·

ξηρά· ἐκ τοῦ ξηρός· τοῦτο παρὰ τὸ σκληρός· καὶ κατ' ἀποβολὴν τοῦ λ̄· καὶ κράσει τοῦ κσ εἰς ξ̄ ξηρός· καὶ ξηρὰ δὲ τὸ ξίφος δὲ θηλυκόν·

ξηρὸν παρὰ τὸ ξέω· ἀπὸ μεταφορᾶς τῆς ὕλης τῶν ξύλων· εἴ τι γὰρ ἐξέσθη, ξηρὸν γίνεται· τροπῇ τοῦ ε̄· εἰς η̄· οὕτω φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων.

ξηρός· ἐκ τοῦ σκληρός· ἀποβολῇ τοῦ λ̄ γίνεται σκηρός· καὶ κατὰ συναίρεσιν τοῦ κ̄ σ̄ εἰς ξ̄· ξηρός· τὸ γὰρ ξ̄· ἐκ τοῦ κ̄· σ̄ σύγκειται· τὸ ξη· η̄· τὰ διὰ τοῦ ηρος· ὀνόματα ὀξύτονα ἅπαντα· διὰ τοῦ η̄ γράφεται· οἷον σκληρός.

ξηρός· πλὴν τοῦ καυστηρός· καὶ ὅμηρος·

μάχης καυστηρῆς ἀντιβολῆσαι·

τὸ ξ̄· μετὰ τοῦ ῑ.

ξιφίσματα· σημαίνει δύο ὀρχήσεις· λέ-
γουσι παρὰ τὸ ξίφος· ὡς τῶν ὀρχου-
μένων ξιφήρεων ἐόντων·
ξίφος· παρὰ τὸ ξέειν· ἢ παρὰ τὸ
ὀξῦνθαι πρὸς φόνον· ἢ παρὰ τὸ
ξύω· ξύσω· ξύφος· καὶ ξίφος· ὁ ξ̄ῑ.
ῑ· διατί· τὰ εἰς φος ὀνόματα δύο
θέλουσι τὴν ει διφθόγγῳ παραλήγεσθαι·
οἷον ἔρειφος· στρεῖφος· καὶ ξίφος· καὶ
εἴ τι ὅμοιον· καὶ ἄλλως· τὸ ξι· ῑ.
διατί· τὰ εἰς φος ὀνόματα οὐδέτερα
διὰ τοῦ ῑ· γράφεται· οἷον ξίφος·
ἀρσενικόν· οἷον στρεῖφος· ἔρειφος·
ξηνός καὶ ἐπίξηνος ὁ κορμός· διὰ
τοῦ η̄· ἐν ᾧ τὰ κρέα ξέονται· τὸ
δὲ ξ̄· ἐν τῷ γράφεσθαι· πλέον τῶν
ἄλλων ξέεσθαι· τὸν αὐτοῦ χαρακτῆρα.
ἔχει γὰρ μακρὰν γραφήν· ἄλλοι δὲ
ὅτι ἡ τούτου ἐκφώνησις· ὡσεὶ
ξύσματος ἐστὶν ἦχος· ἀπὸ σιδήρου
γινόμενος·

ξηραίνω. ἐκ τοῦ ξηρός. τοῦτο παρά τό σκληραίνω. τοῦτο παρά τό σκληρός. ἀποβολῇ τοῦ ε. καί κρᾶσει τοῦ κ. σ. εἰς ξ. ξηρός.

ξίρις. διά τοῦ ι. ἔστι δέ εἶδος ἀρωματικοῦ φυτοῦ. ἰστέον δέ ὅτι τινές μέν τῶν λεξιγραφων. διά τοῦ ι γράφουσιν αὐτό. τινές δέ διά τῆς ει διφθόγγου. λέγεται δέ ξίρις. ἐξ οὗ καί τεξίρεια. ὁ μέντοι ὦρος ἐν τῇ οἰκίᾳ ὀρθογραφίᾳ. διά τῆς ει διφθόγγου γράφει. ἐν δέ τῷ ὑπομνήματι τῆς ὀρθογραφίας. τοῦ ἡρωδιανοῦ ἐπικρίνει τήν διά τοῦ ι γραφήν. γράφονται γάρ διά τοῦ ι. ἐπειδή τά εἰς ΕΙΣ βαρύτονα. οὐ παραλήγεται τῇ ει διφθόγγῳ. οἷον ἔρις. δῆρις. ἴρις. δίρις ὄνομα πόλεως φοινίκης. κίρις ἔστι δέ εἶδος ὀρνέου τίρις. βούβριρις. ὄδιρις. οὕτω καί ξίρις. πρόσκειται βαρύτονα. διά τό χηρίς. χηρίδος. σημαίνει δέ τό χηρομάντικον.

τό ξ. μετά τοῦ ο

ξόανον. παρά τό ξέω. ξέανον.

καὶ ξόανον. ξ.

ξόανον. καὶ βρέτας. καὶ ἄγαλμα δια-
φέρει. ξόανον μὲν γάρ ἐστι τὸ ἐξεσ-
μένον εἴδωλον. λίθινον ἢ ἐλεφάντινον.
ἢ ξύλινον. βρέτας καὶ τὸ βροτῷ ὅμοι-
ον ἤτοι χαλκοῦ. ἢ ἐξ ἐμφεροῦς ὕλης.
πεποιημένον.

τὸ ξ̄ μετὰ τοῦ ῡ.

ξυγκλείδες. σύμμαχοι. παραίβαται.
ξύλον. παρὰ τὸν ξύσω μέλλοντα. διὰ
τὸ ξέεσθαι αὐτό. ἢ διὰ τὸ ξαίνεσθαι.
καὶ λεπτύνεσθαι. τουτέστι λεπίζεσθαι.
ἢ διὰ τὸ ξηρὰν ὕλην εἶναι

ξυναλογιζόμενοι. ξυναθροιζόμενοι.
ἢ συναλίζοντες. παρὰ τὸ ἅλας. ἐκ
τοῦ ἅλς. ἁλός. ἁλίζω. καὶ συναλίζω.
συναθροιζόμενοι δὲ παρὰ τὸ ἁλίζω.
ἁλίζω γὰρ τὸ συνάγω. καὶ συναθροίζω.
τροπῇ τοῦ σ̄. εἰς ξ̄.

ξυνάρασθαι. ξυναρμόσασθαι. συγκα-
τάθεσθαι. ἀπὸ τοῦ ἄρω ὃ σημαίνει

τὸ ἁρμόζω· ὁ μέλλων ἁρῶ. ὁ μέσος ἤραμον. καὶ τὸ ἀπαρέμφατον ἄρασθαι. καὶ ξυνάρασθαι.

ξυνδεδέατο. συνδεδεμένοι ἦσαν. ἀπὸ τοῦ δέω ὃ σημαίνει δεσμεύω. ὁ παθητικὸς ὑπερσυντέλικος ἐδεδέμην. καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἐδέδεντο. καὶ τὸ ἰωνικὸν ἐδεδέατο. καὶ μετὰ τῆς σὺν προθέσεως συνδεδέατο. καὶ τάσσεται μετὰ αἰτιατικῆς.

ξυνέηκα. ῥῆμα. καὶ ἀττικοὶ τὸ σ. εἰς τ. τῇ μὲν εἰς σ τρέπουσι. τῇ δὲ εἰς ξ. τὸ γὰρ σὺν ξὺν λέγουσι. καὶ τὸ σοι. τοι. ὁμοίως καὶ τὴν σὺν πρόθεσιν. ξὺν λέγουσι. τὴν γὰρ συμφορὰν. ξυμφορὰν λέγουσι. καὶ τὸ σύμπαν ξύμπαν. ἔστιν θ(έμα) δ' ἵημι τὸ γινώσκω. καὶ αἰσθάνομαι. ἕσω. ἧκα. καὶ τὸ τρίτον ἧκε. καὶ πλεονασμῷ τοῦ ε. ἕηκε. καὶ μετὰ τῆς ξὺν προθέσεως. ξυνέηκε.

ξύνιον. ἐπείθοντο. ἡ μεταφορὰ ἀπὸ τῶν ἐπὶ σκοπὸν βαλλόντων. ξυνιέναι γὰρ τὸ ἐπὶ τὸ αὐτὸ τῇ τοῦ συμβουλεύοντος φέρεσθαι γνώμῃ.

ξύλον παρὰ τὸ ξύσω μέλλοντα. οὐδεμία γὰρ ὕλη πρὸς τὸ ξύεσιν ἐπιτηδειοτέρα. ἔνθεν καὶ ξυρόν. πᾶν γὰρ τὸ ξυόμενον ξυρὸν γίνεται.

ξύλον ὁ τὸ ξίφος δηλοῖ.

ξυνῆκε. ἔηκα. οἱ Ἀττικοὶ τῇ μὲν τὸ σ. εἰς τ. τρέπουσι. τῇ δὲ εἰς ξ. τὸ γὰρ σὺν ξὺν λέγουσι. καὶ τὸ σοὶ τοί. ὁμοίως δὲ καὶ τὴν σὺν πρόθεσιν ξὺν λέγουσι. τὴν γὰρ συμφορὰν ξυμφορὰν λέγουσιν. οὕτω καὶ τὸ συνῆκε ξυνῆκε. ἵημι τὸ θέμα. ἥσω ὁ μέλλων ὁ παρακείμενος ἧκα. τὸ τρίτον ἧκε. καὶ πλεονασμῷ τοῦ ε. ἕηκε. καὶ μετὰ τῆς σὺν προθέσεως κατὰ τροπὴν τοῦ σ. εἰς ξ.

ξυνερρώγει. συνερράγη. διεσάσθη.

ἀπὸ τοῦ ῥήσσω. ὁ μέσος παρακεί-
μενος ἔρρηγα. ὁ ὑπερσυντέλικος
ἐρρήγειν. καὶ τροπῇ τοῦ η. εἰς ω
ἐρρώγειν. καὶ συνερρώγειν. κατὰ
τροπὴν τοῦ σ. εἰς ξ. ξυνερρώγειν

ξυνήϊα. ἐκ τοῦ κέω. κέμαι. κεῖ-
μαι. ἡ μετοχὴ κείμενος. ἀπὸ
τῆς συν προθέσεως. παρ' Ἀττικοῖς
λέγεται ξύν. γίνεται ὄνομα ξυνός.
ἐκ τούτου ξυνεῖος. καὶ τὸ οὐδέτε-
ρον ξυνεῖον. ὥσπερ κοινὸν κοινεῖ-
ον. καὶ διαιρέσει ἰωνικῇ. ξυνέϊον
καὶ τροπῇ τοῦ ε. εἰς η. ξυνήϊον.
καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν
ξυνήϊα.

ξύνιον. ὑπήκοον. ἀπὸ τοῦ ξυνίω.
κατὰ τροπὴν τοῦ σ. εἰς ξ. ξυνίω
συνίω. καὶ ὁ παρατατικὸς. ξυνίουν. ὁ
δὲ δεύτερος ἀόριστος σύνιον καὶ ξύνιον.

ξυνίστωρ συμπράκτωρ. σύμβουλος.
συγγνώστης. καὶ τὸ εἴδω. ῥῆμα ὃ ση-
μαίνει. τὸ γινώσκω. ὁ μέλλων εἴ-
σω. ἐκ τούτου ἵστωρ καὶ συνίστωρ.

ξυνώορος· εἰς τὸ ὤρεσσι.

ξυνός· κοινός οἶμαι· ὥσπερ τις συνός ὁ σύν τινι· ἢ ξύνιος· παρὰ τὸ συνιέναι τινί· παρὰ τὴν ξὺν πρόθεσιν παρῆκται.

ξυνωρίς· σημαίνει τὴν δυάδα καὶ τὴν ἀδελφότητα· γίνεται ἐκ τοῦ ξυνώορος· ὁ μετά τινος συναρμοζόμενος· τοῦτο ἐκ τῆς ξὺν Ἀττικῆς προθέσεως· καὶ τοῦ ἄρω τὸ ἁρμόζω· ἐκ τοῦ ὅου ξυνάορος· τὸ θηλυκὸν ἡ ξυνάορος καὶ ξυναορίς· καὶ κράσει τοῦ α̅· ο̅· εἰς ω̅· ξυνωρίς.

ξυνωρίς· ἐπὶ δυσί· ζυγὸς ἐπὶ πλειόνων οἷον τὰ τέθριππα· ζευγη λέγουσιν.

ξυρόν· παρὰ τὸ ξύειν ἑαυτόν.

ξυρόν· παρὰ τὸ ξέω γίνεται ξυρόν

ξυνωμοσία· ἢ ὁρκομοσία.

## Ἀρχὴ τοῦ ο στοιχείου.

### τὸ ο καθ' αὑτό.

Ὁ ἄρθρον ὑποτακτικόν. μεταχθὲν εἰς ἀντωνυμίαν μεταφορικήν.
Ὅ ἔθος γὰρ τῷ ποιητῇ. τὰ ὑποτακτικὰ τῶν ἄρθρων εἰς ἀντωνυμίαν μετάγειν. ὅτι οὐκ ἔχει ὑποκείμενον εἰς ὃ συντάξει. τὸ δὲ ἕνεκα σφῶν. ἀντὶ τοῦ τούτου χάριν.
τὸ δὲ ἐπετοξάζοντο. ἀντὶ τοῦ ἐδοξάζοντο. τὸν δ' ἀπομειβόμενος. ἀντὶ τοῦ πρὸς τοῦ τόνδε. σημαίνει δὲ τὸ ὅ. καὶ ἄρθρον προτακτικὸν καὶ ὑποτακτικόν. καὶ ἀντωνυμία. τρίτου προσώπου ἀναφορική. ὁ γὰρ βασιλῆϊ. ἀντὶ τοῦ οὗτος ὁ μέν.

ὅ τι τόσον τέτληκε κακὸν ἄνδρεσσι μίμνον. τουτέστι νῦν δὲ τοῦτο μὲν τοῦτο μὲν ὑπάρχοι κακόν. ἀντὶ τοῦ ὅτι.

Λωβεῦντε γὰρ τόγε πάντες ὅ μοι γέρας. ἀντὶ τοῦ διό.

τοιοῦ γάρ κε πὲς ὅ καί πεπνυμένα βάζεις. καί εἰς τό ἀλλ' ὅτι.

Ὄαρες· αἱ γυναῖκες· εἰς τό ὠαρίζειν.

Ὄαροι· αἱ γυναῖκες· παρά τό ὁμοῦ ἀρηρέναι.

τό ο μετά τοῦ β.

ὀβελίσκος· παρά τό ὀφέλλειν καί εἰς μῆκος αὔξεσθαι.

Ὀβελος· τό ο μικρόν· πλεονασμός ἐστιν· ἔστιν γάρ ῥῆμα βάλλω· καί ἀπό τοῦ βάλλω ῥήματος· τρία γένη γεννῶνται· καί ἐκ τοῦ βάλλω· γίνεται βολή· καί βουλή θηλυκῶς· καί βάλλω· βόλος· ὀξύτονον· καί πλεονασμῷ τοῦ ο· τό β· ψιλόν.

Ὀβελός· παρά τό βάλλω· βελός· ὅθεν καί ὀξύνεται.

Ὀβελός· παρά τό βέλει ἐοικέναι.

ὀβελός· ὀβολοῦ διαφέρει· ὀβελός μέν γάρ ἐστιν· εἰς ὅν διαπείρονται τά κρέα, μέλλοντα ὀπτᾶσθαι.

ὀβολός· μέρος δραχμῆς.

ὀβολός ὁ ἐξ ἀργυρίου ἄγει γράμματα

τεία. ὁμοί(ως). καὶ ὁ ἀπὸ σιδήρου ὀ-
βολός. καὶ αὐτὸς ἐν ἀργυρείοις ἐτετυ-
πωτο. ὄγδοον δὲ ἦν καὶ οὗτος τῆς
οὐγκίας. οὐκ ἐξ ἀργύρου. ἀλλ' ἀπὸ
σιδήρου πεποιημένος. ὀβολὸς δὲ
τοῦτο ἦν. ἦν δὲ καὶ ὁ ἕτερος ὀβολός.
ἐξ ἀργύρου τετυπωμένος. ὤν. ὃ ἦν
λεπτότατον. ὀγδοηκοστὸν δὲ ἦν τῆς
οὐγκίας. λέγεται γὰρ ἐν τῷ Λευϊτι-
κῷ τὸ δίδραχμον. εἴκοσι ὀβολοί.
ὅτι δὲ τέταρτον ἦν τῆς οὐγκίας.
τὸ τέταρτον ἐδείξαμεν.

Ὄβριμος. ὁ ἰσχυρός. τὸ βρι. ι διὰ
τί. τὰ διὰ τοῦ ι μος. παράγωγα
ὑπὲρ δύο συλλαβάς. μὴ ὄντα παρὰ
τὸ σχῆμα καὶ σῆμα. καὶ φήμη.
συγκείμενα διὰ τοῦ ι. γράφεται.
γίνεται ἐκ τοῦ βρι ἐπιρρήματος.
σημαίνει δὲ τὸ μεγάλως καὶ ἰσχυ-
ρῶς. βρίμος. καὶ πλεονασμῷ τοῦ
ο ὄβριμος. ἐκ δὲ τοῦ βρίμος ῥῆμα
καὶ μετὰ τῆς ἐν προθέσεως ἐμβρι-
μῶ. σημαίνει δὲ τὸ ἐπιτιμῶ.

Ὄβριμος· παρὰ τὸ ἄβρεον ὃ ση-
-μαίνει τὸ στερεόν· καὶ εἰς τὸ
βαρύ.

Ὅγε· ἤγουν οὗτος· τὸ ὁ ἀντωνυμία· καὶ
τὸ γε σύνδεσμος.

Ὅγε· καὶ ὅδε· σύνδεσμος μετὰ τοῦ
πρώτου προσώπου τῆς προτοτύ-
-που ἀντωνυμίας· ὁ μὲν γε ἐν
συνθέσει ἐστί· ἔγωγε· σύγε. ὁ δὲ·
δὲ ἐν παραθέσει· ἐγὼ δὲ· σὺ δὲ.
μετὰ τοῦ τρίτου ἀνάπαλιν· ὁ μὲν
γε· ἐν παραθέσει· ὅγε ὁ δὲ δέ·
ἐν συνθέσει· ὅδε· ἥδε· τόδε.

Ὀγδοάς· ἀπὸ τοῦ ἄγειν δύο τετρά-
-δας· ἢ ἀγὸ δυὰς τὶς οὖσα· πολλὰς
γὰρ ἄγει δυάδας.

Ὀγδοήκοντα· εἰς τὸ γνώσκω.

Ὅγε· δύο μέρη εἰσίν· ἢ ἕν· δύο· τὸ
ἄρθρον· γε σύνδεσμος· ἐν συνθέσει
ἐστὶν ἢ ἐν παραθέσει· παράδηλος
σύνταξις ἐστὶ λέξεων· ἑκάστης τὸν
ἴδιον τόνον φυλαττούσης· τὰ ἐπεκ-
-τεινόμενα διὰ τοῦ γε ἢ ἐπεκ-
-τείνονται· τοῖος· τοιόσδε· τοιόσγε.

οὐ λέγομεν τόσος τοσόσδε. τοσόσγε οὐ λέγομεν. καὶ τὰ ἐπεκτεινόμενα διὰ τῆς γε. διὰ τῆς δε. οὐκ ἐπεκτείνεται. οἷον ἐγώ. ἔγωγε, ἐμοί ἔμοιγε.

Ὁ δεῖνα. αἱ ὑπὲρ μίαν συλλαβὴν μονοπρόσωποι ἀντωνυμίαι θέλουσιν ἔχειν δίφθογγον αὐτός. ἐκεῖνος. οὗτος. μόνον τὸ ὅδε οὐκ ἔχει. τούτου χάριν τὸ ὁ δεῖνα ἔχει τὴν ει δίφθογγον. πρόσκειται ὑπὲρ μίαν συλλαβήν. διὰ τὸ μιν καὶ σφιν. μονοπρόσωποι δὲ λέγονται αὗται. ἐπειδὴ οὐκ ἔχουσι πρῶτον καὶ δεύτερον πρόσωπον κατὰ τὴν ἀκολουθίαν. τὸ γὰρ ἐγώ. σύ. οὐκ εἰσὶ τούτων ἐπὶ τοῦ ι.

Ὁ δεῖνα διὰ τῆς ει διφθόγγου. ὥσπερ γὰρ τὸ νεάπολις δύο ὀνόματα εἰσὶ καθ' ἑνὸς ὑποκειμένου. τινὲς δὲ λέγουσιν. ὅτι μία λέξις ἐστὶ καὶ οὐ δύο. οἵτινες κακῶς λέγουσιν. εἰ γὰρ ἦν μία λέξις. οὐκ

ὀφείλει κατὰ πτῶσιν ἐναλλάττεσθαι ἡ ἄρχουσα. οἷον ὁ δεῖνα. τοῦ δεῖνατος. τῷ δεῖνατι. τῆς γὰρ μιᾶς λέξεως ἐν τῇ κλίσει φυλάττεται ἡ ἄρχουσα. φιλάνθρωπος. φιλανθρώπου φιλανθρώπῳ. τοῦτο δὲ διὰ τῆς ει διφθόγγου γραφὴν ἔχουσιν ἐκ τῆς παραδόσεως, καὶ ἴσως πλανηθεῖσιν ἐκ τοῦ τινὰς λέγειν ὅτι μία λέξις ἐστίν. οἱ γὰρ λέγοντες ὅτι μία λέξις ἐστι, λέγουσι παρὰ τὴν ὅδε ἀντωνυμίαν γέγονεν ὁ δεῖνα. καὶ ἐν συναιρέσει ὁ δεῖνα. ἄλλως τε δὲ διὰ τῆς ει διφθόγγου γράφεται. αἱ ὑπὲρ μίαν συλλαβὴν μονοπρόσωποι ἀντωνυμίαι θέλουσιν ἔχειν δίφθογγον. οἷον ἐκεῖνος. οὗτος. αὐτός. χωρὶς τοῦ ὅδε. τούτου χάριν τὸ δεῖνα διὰ τῆς ει διφθόγγου γράφεται.

Ὁ δεῖνα παρὰ τὸ ὅδε. οὐ παρὰ τὸ ὅδι. ἀλλ' ἔστιν ὅδε. ὁδεῖ καὶ οὕτως. οὑτοσί. κατὰ συναίρεσιν ὁ δεῖ καὶ ὁ δεῖνος. ὁ δεῖνα. παρὰ τὸ ὅδε. ὁ δεῖνα ὁ δεῖνα ἐν συναιρέσει.

ὁ δεῖνα. ἀντωνυμίας τοῦ δεῖνος. τὸν —

δεῖνα λέγεται καὶ ὁ δεῖν. τοῦ δεῖνος.
τὸν δεῖνα.

Ὄγκανος. ὁ ἐπικαμπὴς σίδηρος. ἐκ τοῦ
κάμπτω. ἐξ οὗ λέγεται καὶ ὀγκινάριον.
καὶ διόγκινον. ὄγκιον δὲ τὸ ἀγγεῖον
ἐν ᾧ τὰ σίδηρα ἐμβάλλουσιν. ὄγκοι
γὰρ αἱ γωνίαι τῶν βελῶν. ἐξ οὗ καὶ
ὀγκία. τὸ μέτρον. καὶ ὄγκος ἡ ὑπερ=
=ηφανία. καὶ τὸ μέγεθος τοῦ πόσου.

Ὁ δὲ καὶ ὁδὶ διαφέρει. ὅδε μὲν γὰρ
ἐστιν ἀναφορικῶς. καὶ δεικτικῶς. ὁδὶ
δὲ δεικτικῶς καὶ μόνον κατ᾽ ἐπέκτα=
=σιν.

Ὀγδοὰς λέγεται οἱονεὶ ὀγδοδύας. παρὰ
τὸ δύο ἄγειν. διχοτομουμένη γὰρ καὶ
τὰ ταύτης μέρη. εἰς μονάδα καταντᾷ.
διαιρεῖται γὰρ εἰς τέσσαρα καὶ τέσσα=
=ρα. εἰς δύο καὶ δύο. καὶ τὰ δύο εἰς
ἓν καὶ ἕν. εἰ δέ τις εἴποι ὅτι τούτῳ
τῷ λόγῳ. καὶ ἡ τέτρας ὤφειλεν
ὀγδοὰς λέγεσθαι. διότι καὶ αὐτὴ διχο=
=τομουμένη. ἔρχεται ἄχρι τῆς μονά=
=δος. διαιρεῖται γὰρ εἰς δύο. εἰς ἓν
καὶ ἕν. λέγομεν ὅτι αἱ ἐτυμολογίαι—

οὐκ ἀντιστρέφουσι. ἰδοὺ γάρ. λέγεται
σῖτος παρὰ τὸ σιτεῖσθαι. καὶ οὐ μό-
-νος ὁ σῖτος σιτεῖται. ἐπεὶ καὶ κριθὴ
καὶ ἄλλοι καρποί. καὶ οὐ παρὰ τοῦ-
-το λέγεται ἡ κριθή. ἢ οἱ ἄλλοι καρ-
-ποὶ σῖτος.

Ὀδωδός. ὄδω καὶ ὄδωδα.

Ὁδηίτ. ἐκ τοῦ ἴω τὸ πορεύομαι. ὁ
μέλλων εἴσω. ὁ παρακείμενος εἶκα. ὁ
μέσος εἶα. εἶτ τὸ τρίτον. διαλύσει τῆς
ει. εἶτ. καὶ τροπῇ τοῦ ε εἰς η. ἤιτ.

Ὀδόντες. οἱ ἐπὶ ἐδωδὴ ὄντες. ὅ ἐστι
βρῶσιν.

ὁδός. παρὰ τὸ ἕω τὸ πέμπω. ἕω.
ὁδός. ὡς σβέω. σβοδός. καὶ μεταθέσει
τοῦ β εἰς π. καὶ σποδός. ἐκ δὲ τοῦ
ἕω. ἡ ὁδὸς δασύνεται.

Ὀδυνᾶται. παρὰ τὸ ἐσθίειν καὶ ἔδειν
τὴν ψυχήν. κατὰ τὸ ὃν ἔδεαι κραδίην.

Ὁδῷ. παρὰ τὸ ἕω. ἕως δηλοῖ τὸ
περιπατῶ. ἢ ἕος. καὶ ἕδος καὶ ὁδός.

Ὁδός. σημαίνει τὸν βίον. τὴν ἔνδειαν.
τὴν κοινῶς νοουμένην ὁδόν. καὶ μέ-
-τρον ὁδοῦ.

Ὁδός. ὁδοπόρος. ὁδοιπορεῖν. ἐκ τοῦ
ὁδὸς καὶ τοῦ πείρω γίνεται ὁδοπορία.
καὶ πλεονασμῷ τοῦ ι. ὁδοιπορία.

Ὀθνεῖον. ὑπέρθεσις στοιχείων. ὡς ἄ-
-ριστος. ἀριστεῖον. κότταβος. κοτταβεῖον.
νόθος νοθεῖον καὶ μετάθεσις τοῦ ν ὀθ-
-νεῖον τὸ νόθον.

Ὄζος παρὰ τὸ ἔζω. ἔζος. τὸ ἐγκαθή-
-μενον τῷ περισσωμένῳ ξύλῳ.

Ὀδύνη. ὠδῖνος διαφέρει. ὀδύνη μὲν
ἐπὶ τοῦ ἐλαφροτέρου πονεῖν λέγεται.
καὶ κλίνεται ὀδύνη. ὀδύνης. ἡ δὲ ὠδὶς
ἐπὶ τοῦ δριμυτέρως καὶ βαρέως πονεῖν.
τὰς τικτούσας εἴρηται. καὶ κλίνεται
ὠδὶς ὠδῖνος.

Ὀδύνη. ἐκ τοῦ ἔδω. ἐδύνη. καὶ τρο-
-πῇ τοῦ ε. εἰς ο ὀδύνη.

Ὀδύνη. παρὰ τὸ ἔδειν καὶ ἐσθίειν
τὴν ψυχήν. ὅμηρος.

— σὺν δ' ἔδεκται κραδίην —

Ὀδύνη. παρὰ τὸ ἔδω τὸ ἐσθίω. ἡ τὴν
ψυχὴν καὶ τὸ σῶμα ἔδουσα. ἤγουν
ἐσθίουσα.

Ὀδῶ. σημαίνει τέσσαρα. ὀδῶ. τὸ ὄζω.

καὶ πνέω· ἐξ οὗ καὶ ὠδία· ἡ ὀσμή.
μετὰ τοῦ δυς μορίου· δυσωδία.
ὄζω τὸ μυρίζω· ἐξ οὗ καὶ ὠδία.
καὶ εὐωδία. ἡ καλή· ᾄδω τὸ ἄδω.
ἐξ οὗ καὶ ᾠδία· ἡ ᾠδή· καὶ εὐωδία
ἡ καλὴ ᾠδή· κατ' ἐπαύξησιν τοῦ
ο βραχέως εἰς ω· ὁδῶ τὸ πορεύο-
μαι· ἐξ οὗ καὶ ὁδία ἡ ὁδός· καὶ εὐο-
δία· ἡ καλὴ ὁδός· διὰ τοῦ ο μικροῦ.

Ὀδύρω· ἐκ τοῦ ὀδύνη γίνεται ὀδυνηρῶ.
ῥῆμα· καὶ τροπῇ τοῦ ν εἰς ρ
γίνεται ὀδύρω· καὶ ὀδυρομένη· τὸ
ἐνεργητικόν· οὐχ εὕρηται· τὸ ὀδύρομαι
κατὰ αἰτιατικὴν σύνταξιν· δεῖ
γινώσκειν ὅτι τὸ ὀδύρετο φίλα τέκνα·
μετὰ αἰτιατικῆς συντάσσεται.

Ὀδύσσεια· διὰ τῆς ει διφθόγγου,
πρῶτον μὲν ὅτι τὰ διὰ τοῦ εια
προπαροξύτονα· πόθεν Ὀδυσσεύς· παρὰ
τὸ ἐν τῇ ὁδῷ ὗσαι τὸν Δία.

Ὀδυσσῆα· Ὀδυσσεὺς δὲ εἴρηται· ἀπὸ
ἱστορίας. Ἀντίκλειαν γὰρ φασὶ τὴν
Ὀδυσσέως μητέρα ἔγκυμονα οὖσαν —

ὀδύσουσαν τὸ μέγιστον ὄρος τῆς ἰδαίης.
ὕσαντος πολὺ τοῦ διὸς ὑπὸ ἀγωνίας
τε καὶ φόβου μεταπέσουσαν ἀποτε-
κεῖν τὸν ὀδυσσέα. καὶ διὰ τοῦτο
αὐτὸς ταύτης τῆς ὀνομασίας ἔτυχεν.
ἐπειδὴ κατὰ τὴν ὁδὸν ὗσεν ὁ ζεύς.
ὅμηρος.

Ὀδυσσεύς. παρὰ τὸ ὀδύσσασθαι. ὅ
ἐστι τὸ ὀργίζεσθαι.

Ὀδύσσω. τὸ ὀργίζομαι.

Ὄδωδα. πόθεν. ἔστι ῥῆμα ὄζω. ὁ
μέλλων ὀζέσω. ὁ παρακείμενος ὤδω-
κα. ὁ μέσος ὦδα. καὶ Ἀττικῶς ὤ-
δωδα. ἐξ οὗ καὶ ὀδώδει πῶς. τὸ ω
μέγα:

Ὄζος. ὁ κλάδος. ἐκ τοῦ ἵζω τὸ κα-
θίζω. οἱονεὶ τὸ ἐγκαθήμενον. καὶ
πεπαρμένον τῷ ξύλῳ. λέγεται δὲ
καὶ μεταφορικῶς. καὶ ἐπὶ τῆς γε-
νεᾶς. ἢ ἐφ' ὃν καθῆνται οἱ νεοσσοί.
ἐκ τοῦ νεωστὶ σεῦσθαι.

Ὄζω καὶ περισπωμένον ὀζῶ. ὀζέω.
ὤζεσα. καὶ προσώζεσα. ὥσπερ πιέζω.
πιεζῶ.

Ὅθεν. ψιλούμενον ἐπίρρημα εὐχῆς —

σημαντικόν, πρὸς ἀντιδιαστολὴν τοῦ
ὅθεν δασυνομένου· τοπικοῦ ἐπιρρή-
ματος. ἐκ γὰρ τοῦ ἔθεν· γράφεται
διὰ τοῦ ε̄. ψιλοῦ. ὅπερ πλεονασμῷ
τοῦ ῑ· γίνεται εἶθεν· γέγονε τοῦτο. οἷον
ἔθεν. ὅθεν. ὥς τισι δοκεῖ.

Ὅθεν. ἀπὸ τοῦ πόθεν. ἀποβολῇ τοῦ π̄.
ὅθεν καὶ δασύνεται.

Ὅθι. ὥσπερ ἀπὸ τοῦ ὑψόθεν ὑψόθι.
οὕτω καὶ παρὰ τὸ ὅθεν· ὅθι. διαφέρει
τὸ ὅθεν τοῦ ὅθι. ὅτι τὸ μὲν ὅθι. ἐ-
πίρρημα ἐστὶ τοπικὸν καὶ δηλοῦν τὴν
εἰς τόπον σχέσιν. τὸ δὲ ὅθεν. τὴν ἐκ
τόπου.

Ὄζω. πνέω. ὤζω δὲ τὸ θαυμάζω.

Ὀθνείαν. σημαίνει τὴν ξένην καὶ θαυ-
μαστήν. γέγονε δὲ παρὰ τὸ νόθος
νοθεῖος. καὶ καθ' ὑπερβίβασιν. ὀθνεῖ-
ον. καὶ τὸ θηλυκὸν ὀθνεῖα.

Ὀθόνη τὸ θο μικρόν. γίνεται ἐκ τοῦ
ὄθω. τὸ ἐπιγραφὴν ποιοῦμαι. οἱο-
νεὶ τὸ μαλακὸν καὶ εὐένδοτον. καὶ
εὐεπίστροφον.

Ὀθόνη. ἐστὶ θέω τὸ ἐλαύνω. τοῦτο
καθ' ὑπέρθεσιν. ἔθω τὸ καίω. καὶ

ἐξ· αὐτοῦ τὸ ἐλαφρῶς· ὀθόνη οὐ λέγε-
-ται δὲ τὸ λινοῦν μόνον ὀθόνη· ἐπὶ
πᾶν λεπτὸν ὕφασμα· ὅπερ εὐχερῶς
ὑπὸ ἀνέμου ἐλαύνεται.

Ὀθόνη· παρὰ τὸ καλ̈· οὗ τις ἐπι-
-μέλειαν ποιεῖται· παρὰ γὰρ τὸ
ὄθομαι τὸ ῥῆμα εἴρηται· ὃ σημαίνει
ἐπιστροφὴν ποιοῦμαι· λέγεται δὲ
ὀθόνη· διὰ τὴν λεπτότητα· ὡς καὶ
ἐν Ἰλιάδι Ὅμηρος.

Αὐτίκα δ' ἀργεννῇσι καλυψαμένη ὀθόνῃσιν.

Ὀθόνη· παρὰ τὸ ὄθω δηλοῦν τὴν κί-
-νησιν· ὅθεν τὸ

Οὐδ' ὄθομαι κοτέοντος —

ἀντὶ τοῦ οὐ κινοῦμαι οὐκ ἐπιστρέφο-
-μαι· καὶ τὸ

— ψεδνὴ δ' ἐπενήνοθε λάχνη.

γίνεται δὲ ἀπὸ τοῦ ἐνόθω ἤνοθα·
ἐνήνοθε· ἀντὶ τοῦ ἐκεκίνητο· ὀθόνη
οὖν ἡ εὐκίνητος διὰ τὴν λεπτότητα.
δύναται δὲ ὀθόνη· τὸ λεπτὸν καὶ
διαφανὲς ἱμάτιον· κατὰ ἀποβολὴν
τοῦ μ̄· παρὰ τὸ ὄθμα· τὸ ὄμμα·
ὀθμόνη· καὶ ὀθόνη

τὸ Ο μετὰ τοῦ Ι

Οἷον· ἐκ τοῦ οἱονεί· ἐπιρρήματος
εἰκασμοῦ, καὶ τοῦ τι συνδέσμου.

Οἱ αὐτοῦ· ὥσπερ λέγεται σφεῖς
αὐτοί καὶ σφῶν αὐτῶν· καὶ σφίσιν
αὐτοῖς· καὶ σφᾶς αὐτούς· οὕτω
καὶ ἐπὶ τοῦ ἑνικοῦ οἱ αὐτοῦ·

Οἱ δὲ ἄνω· κεῖται σιγῇ· τὸ οἱ ἀν-
τωνυμία· σημαίνει δὲ τὸ ἤτοι·
ἔχει δὲ τὴν ἀναφορὰν πρὸς τὸ
οἱ πρὶν ἐπ' ἀλλήλοισιν· ἔστι δὲ τοῦ-
το ἄρθρον ἀντὶ τοῦ οἵτινες· πρό-
τερον ἐν τῷ πεδίῳ τοῦ ὀλεθρίου
πολέμου ἐπιθυμοῦντες· ἤτοι ἡσύ-
χως καθέζονται· καὶ εἰς τὸ ἀλλ'
ὅτι· καὶ ὀϊζυρὸς καὶ οἷον. βέο.

Οἷο κασιγνήτοιο τοῦ ἰδίου ἀδελφοῦ.
Οἷο κασιγνήτοιο· ἡ εὐθεῖα· ὅς· ὁ.
καὶ οἷω· νικὸν οἷο· ὅ χανιων· οἱ
ἴωνες· καὶ οἱ θετταλοὶ τὰς εἰς ου
γενικάς· τὰς ἀπὸ τῶν εἰς ος εὐ-
θειῶν γινομένων· διὰ τοῦ οιο προ-
φέρουσιν· ὅ οἱ δύο μέρη λόγου ο̄

ἄρθρον ἡ ἀντωνυμία.

Οἴγω· ἀνοίγω· εἰς τὸ ἠνεῳγμένος.

Οἶδα· ἔστι ῥῆμα εἴδω· βαρύτονον καὶ
περισπώμενον· ὃ δηλοῖ τὸ ἐπίσταμαι.
τοῦ εἴδω ὁ παρακείμενος· οἶδα· τρο=
=πῇ τοῦ ε· εἰς ο· οἶδα· κατὰ Αἰολεῖς
ἴδα· ἔστιν ἔοιδα· καὶ ἐν διαλύσει ὄϊδα.
τὸ δεύτερον οἶδας· τὸ τρίτον οἶδε.

Οἶδα· τὸ εἴδω· ὃ σημαίνει τὸ ἐπίστα=
=μαι.

Οἴαξ· ὁ κανών· δι᾽ οὗ τὸ πηδάλιον
φέρεται· ἐκ τοῦ οἴω τὸ κομίζω.

Οἰδάλιον τὸ ὑγρὸν ἐκ τοῦ οἰδῶ εὔ=
=ματος.

Οἰδαίνειν· θυμοῦσθαι· ἐπαίρεσθαι.
φυσᾶσθαι· ἀπὸ τοῦ οἰδαίνω· τοῦτο
παρὰ τὸ φῶ· ὃ σημαίνει τὸ πρωΐω.
γίνεται φοιτῶ· ἐκ τούτου δὲ φοιταί=
=νω· καὶ ἀποβολῇ τοῦ φ· καὶ τρο=
=πῇ τοῦ τ εἰς δ· οἰδαίνω· συντάσσε=
=ται μετὰ δοτικῆς.

Οἶδμα τὸ κῦμα· ἐκ τοῦ οἰδῶ τὸ
ἐξογκοῦμαι· οἰδήσω· οἴδημα· καὶ
συγκοπῇ οἶδμα.

οἰζυρός· μοχθηρός ἐπίπονος· ταλας.
τὸ ζυ μακρόν· ἐπειδή τὰ εἰς ρος
ὀξύτονα· ὑπὲρ δύο συλλαβάς· ὅτι
ἔχουσι τὴν τρίτην· ἀπὸ τέλους μα-
κρὰν φύσει· ἢ θέσει· πάντοτε ἔχου-
σι καὶ τὴν πρὸ τέλους μακράν·
οἷον ὀκνηρός· οἰζυρός· ἰσχυρός· γίνε-
ται παρὰ τὸ οἰζύς· τοῦτο παρὰ
οἱ σχετλι. ἐπίρρημα· ὅπερ πλεονασ-
μῷ τῆς μοι συλλαβῆς· οἴμοι· καὶ
οἰμώζω· κατὰ παραγωγὴν γίνεται.
οἴζω· καὶ ἐξ αὐτοῦ οἰζύω· κατὰ
παραγωγήν· ὡς πλήθω πληθύω καὶ
διαλύσει· τῆς οι διφθόγγου οἰζύω
καὶ οἰζυρός.

Οἰκῆες· καὶ οἰκεῖοι διαφέρει· οἰκεῖ-
οι μὲν, οἱ κατ' ἐπιγαμίαν προσή-
κοντες· οἰκῆες δὲ ἅπαντες οἱ ἐν
τῇ οἰκίᾳ τυγχάνοντες τῇ αὐτῇ.
εἴτε οἰκέται· εἴτε ἐλεύθεροι· ὅμηρος
ὄφρ' εἴδωμεν οἰκῆας ἀλόχοντε φίλην καὶ νήπιον υἱόν.

Ὄϊς ὄϊος· τὸ πρόβατον.

Οἴμη· ἡ ᾠδή· παρὰ τὸ ἐν ταῖς οἴμοις
τουτέστιν ἐν ταῖς ὁδοῖς ᾄδεσθαι.

Οἰκτείρμων· καὶ οἰκτιρμός διὰ τοῦ
ι. ἐὰν γὰρ ἀπὸ τοῦ μ ε· ἀπαντᾷ
καὶ φωνῆεν βραχύ. ὡς τὸ οἰκτιρμός.
διὰ τοῦ ι γράφεται. ἐὰν δὲ φωνῆεν
μακρὸν ἀπαντᾷ ὡς τὸ οἰκτείρμων.
τὸ ει δίφθογγον. ἐκ τοῦ οἰκτείρω
δὲ γίνεται οἰκτιρμός· τὸ δὲ οἰκτίρμων
ἐκ τοῦ οἶκτος.

Οἰμώζειν· παρὰ τὸ οἴμοι. ὁμοίως
πέπονθεν· οἰμώζειν· παρὰ τὸ οἴμοι.
ὡς παρὰ τὸ αἶ. αἶ. αἰάζω.

Οἰκετεία. δίφθογγον ε. καὶ ι. ἡ
θεραπεία. ἣν ἰταλοὶ φαμιλίαν λέ:
:γουσιν. ἴσως παρὰ τὸ πάσασθαι
ὅμιλος.

Οἴκαδε· τοῦ οἴκοι διαφέρει. οἴκαδε
εἰς τὴν οἰκείαν οἰκίαν πορεύεσθαι. οἴ:
:κοι δὲ ἐν τόπῳ τῆς εἰς τόπον. ἐπεί:
:δὴ εἰ μὴ ἐν τόπῳ ἧς. εἰς τόπον
οὐ δύνασαι ἀπελθεῖν.

Οἴκαδε τοῦ εἰς οἶκον διαφέρει· τὸ μὲν
γὰρ εἰς τὴν οἰκείαν οἰκίαν βαδίζειν
οἴκαδε φαμέν· τὸ δὲ εἰς ἑτέρου εἰς
οἶκον· καὶ εἰς τὴν ἀγορὰν.

οἰκέται καὶ οἰκειακοί· διαφέρει· οἰκέται μὲν γάρ· οἱ κατ' ἐπιγαμίαν προσήκοντες· οἰκειακοὶ δέ· πάντες οἱ ἐν τῇ οἰκίᾳ ὄντες· εἴτε δοῦλοι εἴτε ἐλεύθεροι·

Οἰκέται· εἰς τὸ δοῦλοι.

Οἰκονόμος· παρὰ τὸ οἰκεῖον ἑκάστῳ νέμειν εἶναι· ἢ τοῦ οἴκου.

Οἰκόπεδον· παρὰ τὸ οἶκος· καὶ τὸ πέδον· τοῦτο παρὰ τὸ ἕζω τὸ καθέζομαι· ἔδον καὶ πέδον.

Οἰκτείρω· ὅτι Αἰολεῖς οἰκτείρω λέγουσιν.

Οἶκος διὰ τὸ ὑπό τινων κοσμεῖσθαι. ἢ διὰ τὸ τὴν ὕλην κεῖσθαι. ἢ διότι οἰκεῖται· παρὰ τὸ εἴκω τὸ ὑποχωρῶ. εἰς ὃν ὑποχωροῦμεν.

Οἰκοδομῶ· ἐκ τοῦ οἶκος καὶ τὸ δέμω τὸ οἰκοδομῶ.

Οἰκτιρμός· εἰς τὸ οἶκτος.

Οἶκτος σημαίνει τὸν θρῆνον· ἔστιν οἴχω τὸ πορεύομαι· καὶ ἡ μετοχὴ οἰχόμενος· καὶ κατοιχόμενοι· οἱ κάτω πορευόμενοι· ἤγουν νεκροί· τούτου ὁ παρακείμενος ᾤχα· ὁ—

παθητικὸς ὦγμαι. ὦκται. καὶ ἐξ αὐτοῦ
οἰκτός. ὁ ἀποθανών. οἶκτος δὲ βα-
-ρυτόνως. ὁ ἐπὶ θανάτῳ θρῆνος.

Οἶκτος. καὶ οἰκτιρμὸς διαφέρει
οἶκτος μὲν οἰκτιζόμενος. ἔλεος. οἰκ-
-τιρμὸς δὲ ὁ λόγος. τοῦ οἰκτείροντος.

Οἶμος. εἰς τὸ ἕτοιμος.

οἶμος ἡ ὁδὸς παρὰ τὸ οἰμῆσαι ὅ
ἐστι ὁρμῆσαι.

Οἶμος οἴμης διαφέρει. οἶμος μὲν
γὰρ ἀρσενικῶς. ἡ ὁδός. οἴμη δὲ ἡ
ᾠδὴ θηλυκῶς.

Οἶμον ὁδόν. κοιλὸν ᾠδήν. καὶ ὀρ-
-χισμόν.

Οἶμος ὅρμημα. παρὰ τὸ ἐν ταῖς οἴ-
-μοις τουτέστιν ἐν ταῖς ὁδοῖς ἀθρεῖσθαι
ἐξ οὗ καὶ παροιμία. καὶ εἰς τὸ ἑτοι-
-μασία.

Οἰμώζω. στενάζω. ὦ. ὤμοι. σχετλι-
-αστικοῦ ἐπιρρήματος. ἐξ οὗ καὶ ὤζω.
ἐκ τοῦ τὸ ὤμοι ἐπιρρήματος. γίνεται
καθ' ὑπερβίβασιν οἰμώζω. ὁ παρατα-
-τικὸς ᾤμωζον. καὶ ᾤμωξα. διφορεῖ-
-ται τὸ ζω μέγα εἰς τὸ ἁρμόζω.

Οἶνος. παρὰ τὸ ὀνῶ. τὸ ὠφελῶ.

Ἔπειτα δὲ κ' αὐτὸς ὀνήσεαι αἴκε πίησθα.

ἢ παρὰ τὸ οἶς ὃ σημαίνει τὸ πρόβα-
τον· οἱ παλαιοὶ γὰρ ἐγαλακτοτρό-
φουν πρὸ τοῦ εὑρεθῆναι τὸν οἶνον,
καὶ τὸν διονυσιακὸν καρπόν.

Οἶνος παρὰ τὸ ἴωνους· οἰήσεως γὰρ
ἡμᾶς πληροῖ.

Οἶνος· παρὰ τὸ οἴεσθαι ἡμᾶς πίνον-
τας· Ἀριστοφάνης

β οἶον ἐτόλμησας εἰς ἐπίνοιαν λοιδορεῖν.

καὶ ἄλλως· παρὰ τὸ οἶος· οἶνος· ὁ οἰή-
σεως ἡμᾶς πληρῶν. ἢ παρὰ τὸ ὀνῶ
τὸ ὠφελῶ· ὄνος· καὶ οἶνος.

Οἶνος· παρότι πινόμενος· οἴει
τὸν νοῦν· τουτέστι φυσιοῖ καὶ ἀβλω-
σπεῖν. καὶ ἐν ἡμέρα ὡς ἐν νυκτὶ
διάγ". ποιεῖ.

Οἰνόφλυξ ὁ ἐξ οἴνου φλεγόμενος.

Οἰνοχόος· πιγκέρνης· ὁ τὸν οἶνον χέων.

Οἰνοχοεῖ· παρατατικὸς πρώτης συζυ-
γίας τῶν περισπωμένων

Οἰκονομῶ· παρὰ τὸ οἰκονόμος· δια-
φέρει οἰκονόμος καὶ φειδωλός.

οἰκονόμος μὲν γάρ ἐστιν· ὁ φρονήσει
καὶ ἀγχινοίᾳ· ποιούμενος τὴν ἔξοδον.
τῶν διαφερόντων αὐτῷ χρημάτων.
φειδωλὸς δέ· ὁ πολλὰ ὑπισχνούμενος.
διδόναι· ὀλίγα δὲ παρέχων.

Οἰνοχόη· τὸ κύαθον.

Οἰονεί· δεομένη λόγου ἐστίν. οἷον ὄνο
:μα· καὶ ἢ σύνδεσμος· καὶ ἐν συνθέσει
γέγονεν ἐπίρρημα.

Οἶος· ὁ μόνος· πλεονασμῷ τοῦ ο.
ἶος γάρ ἐστιν ὁ μόνος· καὶ ὅμηρος·
—— ἶοι δ' ἂν νυκτὶ γένωνται.
οὕτως ἡρωδιανός. ἶος· ἴη· τὸ θηλυκόν.
Οἶος· ὁ μόνος ἐστὶν εἷς ἑνός· καὶ ἐκ τοῦ
εἷς· γίνεται ἶος· καὶ τροπῇ τοῦ ε
εἰς ο οἶος· καὶ ψιλοῦται. ἡ γὰρ οι
δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλα
:βὴν λέξεσι ψιλοῦται. εἰ μὴ τὸ μ.
ἐπάγοιτο. σημαίνει δὲ τὸ μόνος.
οἷος δὲ τὸ ἀναφορικὸν· δασύνεται.
τὰ γὰρ ὡρισμένα· κατὰ ἀποβολὴν.
ψιλοῦται, ἢ γεννῶντα ψιλὸν ἐν τῇ
ἀρχῇ δασύνεται· οἷον· ποῖος· οἷος.

τόδος· ὅδος· πηνίκα· ἡνίκα· καὶ εἰς τὸ εἷς καὶ ὀρφανός.

Οἰμωγαί· θρῆνοι· ἢ ἦχοι μᾶλλον παρὰ τὸ οἴμοι ὅ ἐστι θρηνῶδες ἐπίφθεγμα.

Οἰονεί· παρὰ τὸ οἷον· οὐδέτερον ὄνομα γέγονε· καὶ τοῦ εἰ συναπτικοῦ συνδέσμου.

Οἶος· καὶ ὄϊς· καὶ εἰς τὸ οἶνος· καὶ ᾤαν καὶ ὄϊ· ἤτοι· ὅς· ὅεο· σε· ἢ σοῦ. ὀρθοτονεῖται· ἢ οἱ ἀντωνυμία· ἢ ἐγκλίνεται· ὀρθοτονεῖται· καὶ τί διαφέρει τὰ ἄρθρα· τὰ προτακτικὰ τῶν ὑποτακτικῶν· τὸ γὰρ οἱ ἄρθρον ἦν. ἀλλ' ἔστιν ἀντωνυμία· τὰ γὰρ ἄρθρα μὴ ἐπαγόμενα ὀνόματα πρὸς ἃ ὑποτάγωσι· μετάγονται εἰς ἀντωνυμίαν. διαφέρει δέ· ὅτι τὸ μὲν προτάσσεται. καὶ δασύνεται μόνον· τὸ δὲ ὑποτάσσεται καὶ δασύνεται· καὶ δασύνεται.

Οἴσεται· ῥῆμα προστακτικὸν ἐνεστῶτος καὶ παρατατικοῦ· ἔστι γὰρ οἴσω μέλλων· καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα· ὥσπερ ἔστι καὶ τὸ ἄγω—

ἄξω. ἄξετε δὲ πριάμοιο βίην —
ὅπως ἔστι καὶ οἴσω μέλλων. τοῦτο
ἐνεστῶτα οὐκ ἔχει. καὶ μετάγεται
ὁ μέλλων εἰς ἐνεστῶτα καὶ γίνεται
οἴσω. τοῦτο μεταγόμενον μέλλοντα
οὐκ ἔχει. τὰ γὰρ ἀπὸ μελλόντων
μεταγόμενα εἰς ἐνεστῶτα ἄχρι
τοῦ παρατατικοῦ κλίνεται. τοῦτο
τὸ προστακτικόν.

Οἴχη. ἐπίρρημα σχετλιαστικόν. καὶ
ἀποδεικτικόν.

Οἶτα. ὁ θάνατος. παρὰ τὸ οἶ καὶ τὸ
μοῖ στεναγμοῦ ἐπίρρημα. παρ' οἷς
καὶ τὸν μόχθον δηλοῖ. παρέπεται γὰρ
τοῖς μοχθοῦσι τὸ οἶ λέγειν

Οἶδα. εἴδω ῥῆμα. ἔστι περισπω-
μενον. οὗ ὁ μέλλων εἰδήσω. Ὅμηρος.

Μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους
ἀδήσειν.

τοῦ εἴδω. παράγωγον εἴδημι. ὡς τίθω
τίθημι. δεύτερον ὅω πρόσωπον εἴδης.
ἐπεκτάσει εἴδησθα. καὶ τροπῇ τοῦ
ε. εἰς οι κατὰ Αἰολεῖς οἴδησθα. καὶ
συγκοπῇ οἶσθα. καὶ ἀπὸ μὲν τοῦ εἰδήσω

μέλλοντος εἴδημι. ἀπό δέ τοῦ εἴδω,
ἴδω· ἀποβολῇ τοῦ ε.

Οἶσθα· Αἰολική ἡ λέξις· ἔστι δὲ παρὰ
τὸ οἴδημι· παρά τὸν οἶδα μέσον πα-
ρακείμενον· τούτου τὸ δεύτερον
οἴδης· καὶ καθ' ἐπέκτασιν τῆς σθα
συλλαβῆς· οἴδησθα καὶ συγκοπῇ οἶσθα.

Οἶσθα· χρόνου ἐνεστῶτος· τὸν εἰς μι
δεύτερον πρόσωπον ἀπὸ τῆς εἴδω
τοῦ περισπωμένου τοῦ σημαίνοντος
τὸ ἐπίσταμαι· τὸ παράγωγον εἴδημι.
τὸ δεύτερον εἴδης· καὶ κατὰ πλεονασ-
μὸν τῆς σθα συλλαβῆς· εἴδησθα· καὶ
τροπῇ τοῦ ε εἰς ο μικρὸν Αἰολικῶς·
καὶ συγκοπῇ τῆς ση συλλαβῆς· οἶσθα.
καὶ ἄλλως· ἔστι τὸ θέμα εἴδω· ὁ μέ-
σος παρακείμενος οἶδα· ὅπερ λέγουσιν
οἱ Αἰολεῖς οἴδημι· οἴδης καὶ πλεονασμῷ
τῆς σθα συλλαβῆς οἴδησθα καὶ συγκοπῇ
οἶσθα· οἶσθα· οἶδα· οἶδας πλεονασμῷ
τῆς σθα συλλαβῆς οἴδασθα· καὶ κατὰ
συγκοπὴν οἶσθα· οἶσθας· τὸ δὲ τρίτον
οἶδε· ὅμηρος.

Οἶσθα· ἔστι ῥῆμα εἴδω· καὶ σημαίνει

τό γινώσκω. οὗ ὁ μέλλων εἴσω. ὁ παρα
:κείμενος εἶκα. ὁ μέσος εἶδα. καί οἶδα.
ἐξ αὐτοῦ ῥῆμα παράγωγον οἴδημι.
τό δεύτερον οἴδης. καί ἐπεκτάσει τῆς
θᾶ συλλαβῆς. οἴδαθα καί συγκοπῆ
οἶσθα.

Οἰστοί. τά βέλη. ἤτοι τά τόξα.
Οἰστός. καί βέλος. καί ἰός. καί βιός δια
:φέρει. λέγεται δέ τόξον. ὅταν τείνη
:ται ἐν τῇ νευρᾷ παρά τό τάζω τό
τανύω. τάξον καί τόξον.

Οἰστός δέ. ὅταν φέρεται καί βαστάζεται.
ἐκ τοῦ οἴω. τό κομίζω. καί φέρω. καί
διαλύσει οἰστός. βέλος δέ τό συστάδην.
καί οὐ μακρόθεν ἀλλ' ἐγγύθεν βαλλόμε
:νος καί οἷον κρατουμένου τοῦ βέλους
ἐν τῇ χειρί.

Ἰός δέ παρά τό ἵημι τό πέμπω
ὅταν μακράν που πέμπεται. ἀπό τῆς
νευρᾶς. βιός δέ ἀπ' αὐτῆς τῆς βίας.
ἤτοι συντονίας καί σθένως. λέγεται.
ἢ ὅτι οἱ ἀρχαῖοι δι' αὐτοῦ τά πρός
τόν βίον εἶχον. ἤγουν τά πρός ζωήν
ἐκέκτηντο. θηρεύοντες ἤγουν κυνηγοῦντες.

Οἴομαι· διὰ τοῦ ῑ· εὕρηται γὰρ ἀπὸ
τοῦ οἴομαι κατὰ διάλυσιν τοῦ οι· τὸν
αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ οἴομαι γί-
νεται κατὰ διάλυσιν τοῦ οι.

Οἰστός· εἰς τὸ ἀνύποιστος.

Οἶστρος· εἰς τὸ ἐξοιστρῶ.

Οἶστρος κίνησίς τις καὶ ἐρεθισμός.
λέγεται δὲ καὶ ἐπὶ θυμοῦ καὶ ἐπ' ἀλ-
λων ἐξ οὗ καὶ τὸ παροίστρησιν.

Οἶστρος· ὁ λεγόμενος μύωψ ὑπόχαλκον
τὴν μορφήν· ὅπερ ἐὰν εἰσέλθῃ εἰς τὰ
ὦτα ἐξοιστρεῖν ἀναγκάζει τοὺς βόας
καὶ Καλλίμαχος·

β. Βοῦς σῶον ὅντε μύωπα βοῶν καλέουσιν ἀμορβοί

Οἴχομαι παρὰ τὸ ἔχω τὸ ἐλαύνω· οἴχω
ἢ παρὰ τὸ εἴκω· οἴκω ἐξ οὗ καὶ οἰκουμέ-
νη· οἴκομαι καὶ τροπῇ τοῦ κ· εἰς χ.
καὶ ἀποβολῇ τοῦ υ· οἴχομαι.

Οἴχεται· περιπατεῖ· τρέχει· καὶ οἰ-
χήσω.

Οἴχω· τὸ πορεύομαι· καὶ οἰχῶ τὸ
πορεύομαι.

Οἴχω· εἰς τὸ οἶκος.

Οἴω· εἰς τὸ ἀνύποιστος· καὶ ἐλπίζω καὶ ὥα.

Οἴων· ὁ μὲν ποιητὴς· ἀεὶ ἐν διαστάσει χρῆται.

μῆλ' ὄϊές τε καὶ αἶγες —

ὁμοίως δὲ καὶ ἐπ' εὐθείας ἑνικῆς.

τοῖσι δ' ὄϊς λάσιος —

Ἀρίσταρχος γὰρ καὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης· ὁ μὲν ἐν διαστάσει ὄϊς ἐν συλλήψει· ἀναλογωτέρως δὲ ἐν διαστάσει· καθ' ὅτι πολλὰ εἰσὶν ὀνόματα ἐπ' εὐθείας εἰς ΙΣ λήγοντα δισύλλαβα· οὐδὲν δὲ εἰς ΥΣ· πλὴν τοῦ ὗς· ὃ σημαίνει τὸν χοῖρον.

Οἰοπόλοισιν· ἢ ἐρήμοις· ἐν οἷς ἔστι μόνον πολεῖσθαι· ὅ ἐστιν ἀναστρέφεσθαι. ἢ ἡμέροις ἄν τις προέλθοιτο· ἥμερον. ἢ ἐν οἷς ὄϊες ἀναστρέφονται· οἷον ὅπου νέμονται τὰ πρόβατα.

Οἰωνικόν· εἰς τὸ ἄντι μαγῆ.

Οἶς· ἰστέον ὅτι τὸ οἶς· ἡ εὐθεῖα τῶν πληθυντικῶν· διὰ τοῦ Ι· γράφεται. ἀπὸ γὰρ τοῦ ὄϊες γέγονε κράσει τοῦ Ι· καὶ Ε· εἰς Ι· μακρόν.

Οἰονοπόλος· εἰς τὸ ὀνειροπόλος.

Οἰωνοῖσι· τοῖς σαρκοφάγοις ὀρνέοις.
τὸ οι δίφθογγον· αἱ εἰς ι· πληθυντι-
:καὶ ἐπεκτάσει ἰωνικῇ γίνεται οἰω-
:νός· ὡς παρὰ τὸ κοινῶ· κοινώσω·
οἰῶ τὸ μονῶ κοινωνός· οὕτω καὶ ἀπὸ τοῦ οἰῶ·
τὸ μονῶ· ὁ μέλλων οἰώσω· καὶ ἐξ
αὐτοῦ οἰωνός· μόνον γὰρ τὸ ζῶον
αὐλίζεται· ὁ παρακείμενος οἴωκα·
ὁ παθητικὸς οἴωμαι· ὁ ἀόριστος οἰώ-
:θην τὸ ἐμονώθω· τὸ οι δίφθογγον
παρὰ τὸ οἶος· ὃ σημαίνει τὸν μόνον.
καὶ εἰς τὸ γελοῖος.

Οἴοισι· δοτικὴ τῶν πληθυντικῶν
παρὰ τὸ οἶος· ὃ δηλοῖ τὸ μόνος· τὸ
δὲ οἶος· ἐκ τοῦ μία· ἀποβολῇ τοῦ
μ· ια· ἴος· πλεονασμῷ τοῦ ο· οἶος.
ἐξ οὗ ἐπίρρημα χρονικὸν δηλωτικόν.

## τὸ ο μετὰ τοῦ κ.

Ὀκλάσαι· παρὰ τὸ κλάσαι· κατὰ πλε-
:ονασμὸν τοῦ ο.

Ὀκλαδίαι· καὶ ὀκλάζειν. παρὰ τὸ ἐγκλᾶν καὶ κάμπτειν τὰ γόνατα ἐν τῷ καθέζεσθαι. ἔνθεν καὶ κλὰξ ἐπίρρημα.

Οἰωνοί· πετεινά· ἢ ὄρνεις τινές. δι' ὧν ἐμαντεύοντο· κατ' ἐξοχὴν δὲ τὰ σαρκοφάγα. εἴρηνται δὲ οἰωνοί. δι' ὧν οἰόμεθα τὰ μέλλοντα. ὅθεν καὶ οἰωνοπόλοι· οἱ μάντεις.

Οἰωνός· ὄρνις· γύψ. ὅτι καὶ χωρὶς μίξεως πέφυκε πολλάκις τίκτειν. λέγεται δὲ καὶ οἰωνός· ὄρνις μαντική· δι' ὧν ἔλεγον τὰ συμβησόμενα βλέποντες· ἃ ἐποίουν σημεῖα. εἴρηται δὲ καὶ οἰωνιστική· παρὰ τὴν τῶν ἀνθρώπων οἴησιν· ἤγουν νόμισιν.

Ὀκλάσαι· κατὰ πλεονασμὸν τοῦ ο ὅ ἐστι κλάσαι· διὰ τὸ ὥσπερ κλᾶσιν ὑπομένειν τὰ γόνατα.

Ὄκνος· παρὰ τὸ κενός τις ὤν· ἀκνός καὶ ὄκνος ὡς κρυόεις ὀκρυόεις.

Ὄκνος· ἐστι κινῶ· καὶ μετὰ τοῦ στερητικοῦ α ἄκινος· καὶ κατὰ συγκοπὴν

ἄκνος· καὶ τροπῇ τοῦ α εἰς ο· οἷον.
ἀκνηρός τις ὤν· καὶ συγκοπῇ ἄκνος
καὶ ὄκνος· ὡς ἀκρυόεις ὀκρυόεις.
ἄρχαμος· ὄρχαμος.

Ὀκρυόεις

οἵ δή που ὀκρυόεντας ἀνέπνευσ᾽ ἀντιφόβοιο.
ἤτοι κατὰ τὸ ἄκρον· ἀκρυόεις καὶ ὀκρυ-
όεις· ὁ ἀκρότατος καὶ ἄκρατος φόβος·
ὁ κρύους καὶ φόβου ποιητικός· καὶ πλε-
ονασμῷ τοῦ ο.

Ὀλιγοδεΐα· καὶ ὀλιγοδεία· τὸ μὲν
παρὰ τὸ δέος γίνεται· καὶ παροξύνεται
τὸ δὲ σημαίνει ἔνδειαν καὶ προπερισπᾶ-
ται.

Ὁλοκαύτωσις· παρὰ τὸ ὁλοκαυτῶ·
ἐτυμολογεῖται δὲ παρὰ τὸ ὅλον· καὶ
καίεσθαι τὸ ἱερεῖον.

Ὀκρίβαντες· ἐφ᾽ ὧν ἄκρων ἑστᾶσιν οἱ
ὑποκριταί· ἀκρίβαντές τινες ὄντες.
ὁ δὲ ἀκρίβας· παρὰ τὸ ἄκρον διὰ
τοῦ ι σωστέον. ὡς καὶ παρὰ τὸ
ἄργον ἀργικέραυνος.

Ὀκτώ· γράφεται διὰ τοῦ ω μεγάλου

ἐπειδὴ οὐδέποτε λέξις ἑλληνική, ἁ-
-πλὴ ὀξύτονος εἰς ο̄ μικρὸν λήγει.
πλὴν τῆς ὑπὸ προθέσεως.

τὸ ο̄ μετὰ τοῦ λ̄.

ὀλβιοδαίμον· ὁ τόνος· καὶ τὰ εἰς
ων σύνθετα· τὴν τῶν ἁπλῶν φυ-
-λάττουσι κλίσιν· χωρὶς τοῦ λακεδαι-
-μον· καὶ παλαίμον· σημαίνει δὲ τὸν
ἔμπειρον τῆς παλαιστικῆς· γίνεται
δὲ ἐκ τοῦ παλὴ καὶ τὸ αἵμων ὃ
σημαίνει τὸν ἔμπειρον, τῆς παλαιστικῆς
ἡ εὐθεῖα· ὁ λακεδαίμων· ὁμοίως
καὶ ὁ ὀλβιοδαίμων· ἡ γενικὴ ὀλβιο-
δαίμονος· τὰ σύνθετα τὴν τῶν
ἁπλῶν· φυλάττουσι κλίσιν· τὸ ἁ-
-πλοῦ δαίμονος· τὰ δὲ κοινὰ τῷ
γένει· ὁ δαίμων γὰρ καὶ ἡ δαίμων.
τί διαφέρει πλούσιος· εὔπορος.
ἀφνειός· ὄλβιος εὐδαίμων· εὐτυ-
-χής· μακαρίου διαφέρει· πλούσιος
ὁ πολλὴν οὐσίαν ἔχων· εὔπορος
ὁ εἰς τὰς ἐπιβαλλούσας χρείας—

ὑπάρχων ἀνενδεής. ἀφνειός. ὁ ἀπὸ
ἐνιαυτοῦ τὴν τροφὴν συλλέγων.
ἔνος γὰρ ὁ ἐνιαυτός. ὄλβιος δὲ ὁ
τελείαν τὴν εὐδαιμονίαν ἔχων.
οἷον ὁλόβιος. εὐτυχὴς ὁ ζῶν ἡδέως
καὶ ἀλύπως. σημαίνει δὲ ὄλβιος
τὸν εὐδαίμονα καὶ πλούσιον. καὶ
εἰς τὸ πλούσιος. μακάριος δὲ ὁ
πάντοτε ἐν ἀγαθοῖς ὤν.

Ὄλβιος. ὁ μακάριος. ὁλόβιός τις
ὤν.

Οὖλον δὲ τὸ ὑγιές.

οὖλέ τε καὶ μέγα χαῖρε ——

ἀντὶ τοῦ ὑγίαινε.

Ὄλβιος. παρὰ τὸ ὅλος καὶ ὁλόκληρος
εἶναι κατὰ πλεονασμὸν τοῦ β. ὅλος
γάρ ἐστι.

Ὄλβιος. εὐδαίμονος διαφέρει. εὐδαί-
μων μὲν γάρ ἐστιν ὁ πλούσιος. καὶ
εὐτυχής. πταίων δὲ κατά τινας
καιροὺς περὶ τὴν τύχην. καὶ εἰς τὸ
πλούσιος.

Ὄλβιος ὁλόβιός τις ὤν. ὁ ὅλον βίον

ἔχων τουτέστιν ὁλόκληρον καὶ εἰς
τὸ πανόλβιος.
Ὄλβιος ὁ ὁλόκληρος καὶ τέλειος· ὁ
ἐν οὐδενὶ ἐνδεής.
Ὄλεθρος· θάνατος· παρὰ τὸ ὄλω.
τὸ στερέω· ὀλέσω· ὁ παρακείμε-
νος ὤλεκα. ὁ παθητικὸς ὤλεσμαι.
καὶ ἐξ αὐτοῦ ὄλεθρος. καὶ γράφεται
ἐν μὲν τῇ ἁπλότητι· διὰ τοῦ ο μικροῦ.
ἐν δὲ τῇ συνθέσει· διὰ τοῦ ω μεγά-
λου· οἷον πανώλεθρος· ἐτυμολο-
γεῖται παρὰ τὸ ὅλους θραύειν.
Ὀλέκοντο· ἐκ τοῦ ὄλω· ὀλέσκω· κατ'
ἔνδειαν τοῦ σ ὀλέκω· ῥῆμα καὶ τὸ
παθητικόν· ὀλέκομαι· ὀλέκοντο
πληθυντικὸν . . . . . ἀρχό-
μενος ἀπὸ τοῦ ο καὶ κλίνεται ἀκλί-
τον. τὰ δὲ τοιαῦτα μέλλοντα οὐκ
ἔχουσιν ἐπειδὴ ἀπὸ μελλόντων με-
τήχθησαν οἷον.

ὄρσεο Λαομέδ.

ἄξεται πριάμοιο βίην.

γέγονε δὲ ὦσπερ ἀπὸ τοῦ ἀρέσω. —

πλεονασμῷ τοῦ κ. ἀρέσκω. καὶ ἀπὸ τοῦ μεθύω· μεθύσω· μεθύσκω. οὕτω καὶ ἀπὸ τοῦ ὀλῶ ὀλέσω ὀλέσκω. καὶ κατ᾽ ἔνδειαν τοῦ σ ὀλέκω. διὸ καὶ οὐ κλίνεται.

Ὀλέσκω. εἰς τὸ διδάσκω.

Ὀλίγον. παρὰ τὸ ὅλον· τὸ μὴ ὂν σῶον κατ᾽ ἀντίφρασιν

Ὀλίγον. καὶ μικρὸν διαφέρει. τὸ μὲν γὰρ ὀλίγον. ἐπ᾽ ἀριθμοῦ τὸ δὲ μικρὸν ἐπὶ μεγέθους τάσσεται ὅμηρος

δίφρον ἀεικελῆ παραθεὶς ὀλίγην τεάπεζαν.

Ὀλίγος. παρὰ τὸ ὅλος. ὁ μὴ ὢν σῶος. κατὰ ἀντίφρασιν. καὶ εἰς τὸ κῆρα.

Ὀλιγωρία. παρὰ τὸ ὀλίγον καὶ τὸ ὥρα. ὃ σημαίνει τὴν φροντίδα. ἢ σωτήλοσσα πρὸς τὸ ζῆν. τὸ δὲ ὀλίγον καὶ ἀντὶ τοῦ οὐδαμῶς. εἴρηται. ὅμηρος.

Ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς.

ἀντὶ τοῦ οὐδαμῶς.

Ὀλίσθημα. ἐκ τοῦ ὀλισθῶ. τοῦτο ἐκ

τοῦ ὅλισθος. τοῦτο παρὰ τὸ ὅλος θεῖν. ἤγουν τρέχειν.

Ὅλισθος. σημαίνει τὸν συμποδισμόν. γίνεται δὲ παρὰ τὸ ὅλως ἵεσθαι. ὅ ἐστι πορεύεσθαι. ἢ παρὰ τὸ ὅλως θέειν καὶ ἀντιέρεσιν.

Ὅλω. εἰς τὸ οὐλομένη.

Ὅλμος. παρὰ τὸ λύω. λύομος. καὶ ἐκβολῇ τοῦ υ. λόμος. καὶ καθ' ὑπερβιβασμὸν τοῦ ο. ὅλμος. ἢ παρὰ τὸ ἄλλω. τὸ πηδῶ.

Ὅλμος. ὅρμου διαφέρει. ὅρμος μὲν γάρ ἐστι λιμήν. ὅλμος δὲ μυρεψικόν τι σκεῦος. εἰς ὃ κόπτονται τὰ εἴδη τὰ μυρεψικά. τὸ ἴγδιον λεγόμενον παρ' ἰταλοῖς

Ὁλκός. παρὰ τὸ ἕλκω. ὡς παρὰ τὸ ἔχω ὄχος. σημαίνει δὲ πολλά. τὸ πλῆθος. τὴν ἔκτασιν τοῦ πλοίου. τὸν ναύσταθμον. τὸν δρόμον. τὸν ἀγωγὸν τοῦ ὕδατος. καὶ τὴν στάθμην ἤτοι τὸν ζυγόν. καὶ τὸ μέτρον. καὶ τὸ μῆκος τοῦ ὄφεως. καὶ τὴν δύναμιν.

Ὁλκή. ἄγει γράμματα τρία.

Ὀλιγοστός. ἐκ τοῦ ὀλίγος. ὀλιγοστός. ἐπὶ πηλικότητα τάσσεται.

Ὄλβιος. τὸ βι. ι. τὰ διὰ τοῦ ιος εἰς αἰτιατικὴν ἀναλυόμενα διὰ τοῦ ι γράφεται. οἷον πλούσιος. ὁ ἔχων τὸν πλοῦτον. ὄλβιος. ὁ τὸν ὄλβον ἔχων. ὀλύμπιος. θαλάσσιος.

Ὅλμος. δὲ ἐκλήθη διὰ τὸ ὀλλύειν καὶ φθείρειν τὰ ἐμβαλλόμενα. ὕπερον δὲ τὸ κόπανον.

Ὁλοκαυτώματα. ἐκ τοῦ καίω καὶ τοῦ ὅλος γίνεται ὁλοκαυτῶ ῥῆμα. καὶ ἐξ αὐτοῦ ὁλοκαύτωμα. τὸ δὲ ὁλοκαύτωμα πάλιν. ἐκ τοῦ ὁλοκαυτῶ. τοῦτο παρὰ τὸ ὅλος καὶ τὸ καίω. ἢ παρὰ τὸ ὀλῶ τὸ φθείρω καὶ τὸ καίω.

Ὀλίσθημα. παρὰ τὸ ὀλισθῶ. τὸ καταπίπτω. τοῦτο ἐκ τοῦ ὅλος. καὶ τοῦ ἵζω τὸ καθέζομαι. ὁ ὅλως πίπτων.

Ὅλος τοῦ πᾶς διαφέρει. ὅλος ἐφ' ἑνὸς τάσσεται. οἷον ὅλος κατατέτρωται. ὁ ἄνθρωπος. πᾶς δὲ ἐπὶ πλειόνων. οἷον ὁ πᾶς ἄνθρωπος κατατέτρωται.

Ὀλοφυρόμενος· κυρίως· τὸ μετὰ τιλ-
μοῦ τῶν τριχῶν κλαίειν· καλλίμα-
χος· β

—ὀλόψατο χαίτην

ἀντὶ τοῦ ἔτιλλε. sub Ἀκψαλ

Ὄμβρος· παρὰ τὸ βάρος· καὶ μετὰ
τοῦ ἐπιτατικοῦ ᾱ ἄβαρος· ὁ πάνυ
βαρύς· καὶ τροπῇ τοῦ ᾱ εἰς ὀ ὄβαρος.
καὶ πλεονασμῷ τοῦ μ ὄμβρος. ἐτυμολο-
γεῖται δὲ παρὰ τὸ ὁμοῦ ῥεῖν.

Ὄλυμπος· ὁ οὐρανός· θεοῦ οἰκητήριον·
οἱονεὶ ὁλολαμπής τις ὢν καὶ σελήνῃ καὶ
ἄστροις

Ὁμῆλιξ· ὁ ἴσην ἡλικίαν ἔχων· γίνεται
δὲ ἐκ τοῦ ὁμοῦ καὶ τοῦ ἧλιξ· τοῦτο
ἐκ τοῦ πάλλω τὸ κινῶ· πάλιξ· καὶ ἀπο-
βολῇ τοῦ π καὶ τροπῇ ἧλιξ.

Ὀλυμπία· καὶ ὀλυμπιὰς διαφέρει·
ὀλυμπία χωρίον ἐστὶ τῆς ἠλιακῆς μοί-
ρας· ἐν ᾧ τὰ ὀλύμπια ἐτελοῦντο· ὀ-
λυμπιὰς δὲ σημαίνει τὴν πανήγυριν.
ἐκ τοῦ χωρίου τῆς ὀλυμπίας· τοί-
νυν ἐν ᾧ χωρίῳ· οἱ ἀθληταὶ ἠγωνί-
ζοντο· ὀλυμπιὰς ὠνομάσθη ἡ πανή-
γυρις· ἡ τῆς ὀλυμπίας ἑορτή.

Ὀλυνή· ἡ ὄλυνθος καὶ ὀλοῦς.

Ὀλοφῶϊς· ἀνῆρ· κατ' ἐπαύξησιν τοῦ ο εἰς ω.

Ὄλυρα· ἡ κριθή· καὶ ὀλυρίτης· ἄρτος ὁ τῆς κριθῆς.

Ὄλυρα εἶδος· κριθώδους· καρποῦ· ζειά. ἡ γὰρ κριθὴ ἑξάστιχος· ὁ σῖτος τετράστιχος· ἡ δὲ ὄλυρα· δίστιχος καὶ ὄψιμος.

Ὀλοφώϊα· ὀλέθρια βουλεύματα· οἷον ὀλοποιά· πανοῦργα.

Ὅλος· παρὰ τὸ ἕω τὸ πληρῶ· ἕλος. καὶ ὅλος· καὶ εἰς τὸ χήρα.

Ὀλοσάθαι· εἰς τὸ λευκώλενος καὶ ὠλένη.

Ὀλοφώϊον· παρὰ τὸ φῶτας ὀλλύειν. ἤγουν ἄνδρας. οἷον ὀλοθρευτικά.

Ὀλοώτερος· ἐκ τοῦ ὀλοὸς γίνεται. ἔστι συγκριτικόν. ἀντὶ τοῦ ἁπλοῦ λαμβάνεται. τὸ γὰρ δικαιότατος καὶ ὀλοώτερος· παρὰ τῷ ποιητῇ· ἀντὶ ἁπλοῦ λαμβάνεται.

Ὄλυμπος· δύο σημαίνει τὸν οὐρανὸν

καὶ τὸ ὄρος. παρὰ τὸ ὁλόλαμπος εἶ-
:ναι τοῖς ἄστροις. ἢ παρὰ τὸ ὀλλύειν
τοὺς ὦπας. καὶ ἡ μὲν πρώτη ἐτυμο-
:λογία. μόνον ἐπὶ τοῦ οὐρανοῦ ἁρ-
:μόζει. ἡ δὲ δευτέρα καὶ ἐν τῷ ὄρει.
ὡς ἀγχινεφεῖ. καὶ οὐρανομήκει ὄντι.

Ὄλυμπος. σημαίνει δύο. τὸν οὐρανὸν
καὶ τὸ ὄρος. καὶ μὲν οὐρανὸς παρὰ τὸ
ὁλολαμπὴς εἶναι. τὸ δὲ ὄρος παρὰ
τὸ ὀλλύειν τοὺς ὦπας, διὰ τὸ κρύος.

Ὄλω. εἰς τὸ μώλωψ.

Ὄλω. εἰς τὸ οὐλουμένην.

Ὄλωλα. ἀπόλωλα πόθεν. ἔστι ῥῆμα
ὄλω. ὅ ἐστιν ἀπόλλω. οὗ ὁ μέλλων
ὀλέσω. ὁ παρακείμενος ὤλεκα. ὁ
μέσος ὦλα. καὶ ὁ Ἀττικὸς ὄλωλα.

## τὸ ο μετὰ τοῦ μ.

Ὅμαιμος. ἀδελφὸς ὁμοαίμος.

Ὁμαιχμία. ἡ συμμαχία. παρὰ τὸ
αἰχμή. καὶ τὸ ὁμοῦ γίνεται ὁμοαιχ-
:μία. καὶ συγκοπῇ ὁμαιχμία. σημαί-
:νει δὲ τὴν εἰρήνην. συμβαίνει γὰρ

ἐρεμνωσάντων τινῶν. ὁμοῦ τὰς αἰχμὰς
ἔχειν.
Ὁμαρτῶ· παρὰ τὸ ὁμοῦ ἐπίρρημα.
καὶ τὸ ἄρω ῥῆμα· βαρύνεται· οἱονεὶ
ὁμοῦ ἁρμόττω· καὶ εἰς τὸ παρομαρ-
-τοῦντες.
Ὀμβροβρυτεῖς· ἔστιν ὄμβρος· καὶ βρύω
καὶ ἐξ αὐτοῦ ὀμβροβλυτῶ· ὀμβροβλυ-
-τεῖς. τὸ δὲ βλύω· παρὰ τὸ βρύω.
ἐξ οὗ γίνεται βρύα τῆς θαλάσσης.
τοῦτο παρὰ τὸ ἔχω. τοῦτο παρὰ
τὸ ἔδω· τοῦτο παρὰ τὸ ὕω τὸ βρέ-
-χω.
Ὀλυμπιονίκη· ἡ πανήγυρις· καὶ
ὀλυμπιονίκης· ὁ γενναιότατος· ἢ ὁ
στεφθείς.
Ὀμβρήματα· ἐκ τοῦ ὀμβρῶ· ὀμβρή-
-σω· τὸ δὲ ὀμβρῶ παρὰ τὸ ὄμβρος·
ἢ παρὰ τὸ βάρος· καθ' ὑπερβιβασ-
-μὸν ἄβρος· τροπῇ τοῦ ᾱ· εἰς ο καὶ
πλεονασμῷ τοῦ μ̄· ὄμβρος· βαρέως
φερόμενος· ἢ παρὰ τὸ ὁμοῦ καὶ τὸ
ὄρος· ὅμορος· καὶ ὄμβρος· ἐπειδὴ
τὸ ο̄ οὐ δύναται εἶναι πρὸ τοῦ ρ̄

εἶτα κατὰ διάστασιν. πλεονασμῷ τοῦ
π καὶ γίνεται ὄμβρος.

Ὄμβρος· παρὰ τὸ ὁμοῦ εἶναι· ὁμο-
ρός τις ὤν· καὶ ὄμβρος. ὁμαρτέως
φερόμενος· ἢ παρὰ τὸ ὅμορος· καὶ
συγκοπῇ γίνεται ὄμβρος· καὶ ἐπεὶ
τὸ μ πρὸ τοῦ ρ· οὐ σώζεται.

Ὄμβρος· ἐπὶ βάρος· καὶ μετὰ τοῦ
ἐπιτατικοῦ α· καὶ ἐν συγκοπῇ γίνε-
ται ἄβρος· ὁ πάνυ βαρύς· καὶ τρο-
πῇ τοῦ α· εἰς ο· καὶ πλεονασμῷ
τοῦ μ ὄμβρος.

Ὁμηγερέες· ἐπίρρημα ἀθροίσεως.
ὁμοῦ συνηγμένοι. γέγονε παρὰ τὸ ὁμοῦ
καὶ τὸ ἀγείρω συναθροίζω. ὁμογυρεύς.
ὁμογυρέως· ὁμηγερέως.

Ὁμογερεύς· τοῦ ὁμηγερέως· καὶ
ὁμηγερέες· εὐθεῖα τῶν πληθυντικῶν.

Ὁμηλικία· ὁμῆλιξ· ὁμήλικος· ση-
μαίνει ὁ ἴσην ἔχων· γίνεται ὁμοῦ
καὶ τοῦ ἧλιξ· τοῦτο ἐκ τοῦ πάλλω
τὸ κινῶ· πάλιξ· καὶ ἀποβολῇ τοῦ
π· καὶ τροπῇ ἧλιξ.

Ὅμηρον· παρὰ τὸ ἄρω τὸ ἁρμόζω·
οἱ ἐπὶ εἰρήνης καὶ ὁμονοίας διδόμενοι
παῖδες ἐνέχυρα· τὸ μη· η· παρὰ
τὸ ἄρω τὸ ἁρμόζω· καὶ εἰς τὸ ὁμη-
:μιλεῖ· παρὰ τὸ ὁμοῦ καὶ τὸ εἴλω·
τὸ συστρέφω· ὁ ὁμοῦ τὰς ἴλας συστρέ-
:φων·

Ὁμιλεῖν· ἐπὶ τοῦ πολεμεῖν παρὰ
τὸ ὁμοῦ καὶ τὴν εἴλησιν τῶν νεφῶν·
τὸ μι· ι· τὰ παρὰ τὸ εἴλω. καὶ
κατὰ τὸ ἀρχομένου λόγου συντιθέ-
:μενον· διὰ τοῦ ι· γράφεται· οἷον ὅ-
:μιλος· ὁμίχλη· πρόσκειται καὶ κατὰ
τὸ ἄρχου μέρος λόγου· συντιθέμενον.
διὰ τὸ ἀλώπους· ἐτυμολογεῖται
ὁ ὄφις. ἰστέον δὲ ὅτι τὸ τῆς ὁμιλίας
ὄνομα· τριχῆ λαμβάνεται ἐπὶ τοῦ
συνεῖναι· καὶ συμπολιτεύεσθαι· ἐπὶ
τοῦ διαλέγεσθαι· κατὰ τὴν φωνὴν καὶ
τρίτον· ἐπὶ τοῦ πολεμεῖν· χρῆσις
δὲ τοῦ μὲν πρώτου. τὸ πιστὸν
ὑμᾶς ὦ Λακεδαιμόνιοι· τῆς καθ᾽ ἡ-
:μᾶς αὐτοὺς πολιτείας καὶ ὁμιλίας.
οὕτω γὰρ φησὶ Θουκυδίδης· ἐν τῇ

δημηγορεία τῶν Κορινθίων· πολιορκου-
-μένης τῆς ποτιδαίας· ὑπὸ Ἀθηναίων.
τοῦ δευτέρου· καθ᾽ ἑκάστους μὲν τῇ
ὁμιλίᾳ· καλεῖν ἕλληνας μᾶλλον· τοῦ
-δὲ τρίτου· τὸ πρὸς ἕκτορα παρὰ
τοῦ ὁμήρου· εἰρημένον· ἡνίκα ἐκ τῆς
παρατάξεως εἰς τὴν πόλιν ἀπήει·
τὴν Ἀθηνᾶν ἐξιλεωσόμενος·

Ἡμεῖς δ᾽ ἐνθάδ᾽ ἔοντες ὁμιλέομεν Δαναοῖσιν.
ἀντὶ τοῦ πολεμεῖν αὐτοῖς.

Ὁ μὲν καὶ ὁ δὲ· σύνδεσμοι ἀρσενικοὶ
ὀνόμασιν ἔναρθροι· ἡ μὲν καὶ ἡ δὲ σύν-
-δεσμοι θηλυκοὶ· ὀνόμασιν ἔναρθροι
ὁμοίως.

Ὅμιλος· ἡ ἄθροισις· τὸ πλῆθος·
παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι.

Ὁμηρεῦσαι· παρὰ τὸ ἄρω τὸ ἀρ-
-μόζω· ὅ ἐστι συμφωνῆσαι· λέγεται
καὶ ὅμηρος ἀπὸ τῆς παρακολου-
-θήσεως ἐν ὄχλῳ ὁμιλίας.

Ὅμιλος· διὰ τοῦ ι· γράφεται· καὶ
ὤφειλεν εἶναι διὰ τῆς ει διφθόγγου.
ἐπειδὴ παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι ἐστίν.
ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται.

ἀλλ' ἔστιν εἰπεῖν ὅτι ὅμιλος· διὰ τοῦ
ι γράφεται· ἐπειδὴ ὅμιλος λέγουσιν
οἱ Αἰολεῖς· εἰ δὲ ἐγράφη διὰ τῆς
ει διφθόγγου· ὅμειλος εἶχον· ἔπειτα
τῷ λόγῳ τῷ τοῦ ἴλος· ἐκ δὲ τοῦ
ὅμιλος, γέγονεν ὁμιλῶ· ὅπερ διὰ
τοῦ ι γράφεται.

Ὀμιχῶ σημαίνει τὸ οὐρῶ· διὰ τοῦ ι
γράφεται· τὰ γὰρ εἰς χω· οὐ παραλή-
γει τὴν ει δίφθογγον· πλὴν τοῦ στεί-
χω.

Ὀμίχλη· τὸ μι· ι· διὰ τί· τὰ παρὰ
τὸ εἰλῶ μὴ κατὰ τὸ ἄρχον μέρος
λόγου συντιθέμενα· διὰ τοῦ ι γράφε-
ται· οἷον ὅμιλος ὀμίχλη· ἐτυμολο-
γεῖται δὲ παρὰ τὸ τοῖς ὄμμασι πα-
ρέχειν ἀχλύν· διατί δασύνεται·
τὸ ο πρὸ τοῦ ἑνὸς μ δασύνεται· ὅ-
μηρος· ὅμοιον τὸ ὀμιχῶ σεσημείωται·
καὶ πῶς τῷ ποιητῇ λέγεται

— ἠΰτ' ὀμίχλη —

εἰ γὰρ ἐδασύνθη· τετραπεῖν εἶχε τὸ
ψιλὸν εἰς δασύ· ἐροῦμεν οὖν· ὅτι

κατὰ διάλεκτον ἰωνικήν. οἱ γὰρ
ἴωνες τοῖς δασέσιν ἀντὶ ψιλοῖς χρῶν-
ται. τὸ ἀφικόμεθα γὰρ ἀπικόμε-
θα λέγουσι. καὶ τὸ οὐχὶ οὐκὶ λέ-
γουσι. οὕτω καὶ τὸ ἠὺθ᾽ ὁμίχλη.
ἠύτ᾽ ὁμίχλη.

Ὁμογνίω. ὁμογενεῖ τουτέστιν
ἀδελφῷ. οἷον ὁμογνίω τῷ ἐκ τῆς
γονῆς.

Ὁμοίωμα. εἰδώλου διαφέρει. ὅτι
τὸ μὲν ὁμοίωμα τινός ἐστιν ἴνδαλμα.
καὶ ἀπείκασμα. τὸ δὲ εἴδωλον οὐδε-
μίαν ὑπόστασιν ἔχει.

Ὁμόδουλος. συνδούλου διαφέρει.
ὁμόδουλοι γάρ εἰσιν. οἱ μετασχόντες
ὁμοίας τύχης δουλικῆς. σύνδουλοι
δὲ οἱ ἀλλήλοις δουλεύοντες.

Ὁμιὼ κατὰ τὸ ὄνομα τῆς σελήνης
λέγεται. μήνη γὰρ αὐτὴ ἑρμηνεύ-
εται τῇ ἑλλάδι φωνῇ. διὰ τὸ μέ-
νειν ἐν αὐτῷ.

Ὀμφῶες. δύω ὦτα ἔχοντες.

Ὀμφαλὸς κυρίως. ἐπὶ τοῦ ἡμετέρου

σώματος τὸ μέσον. καὶ εἴρηται πα-
ρὰ τὸ ὀμπνεῖν. ὅ ἐστιν ἀναπνεῖν.
παρ' ὃ καὶ ὄμπνιος. ὁ δημητριακὸς
καρπός. τὸ δὲ βρέφος κατὰ γαστρὸς
ὂν διὰ τοῦ ὀμφαλοῦ ἀναπνεῖ. καὶ
τρέφεται. μεταφορικῶς καὶ ἐπὶ
τοῦ ζυγοῦ. καὶ ἐπὶ τῆς ἀσπίδος.
καὶ ἐπὶ τῶν ἄλλων τὸ μέσον. καὶ
ἄλλως ὀμφαλός. οἱ μὲν παρὰ τὸ
φαλῷ ἐοικέναι. ὅ ἐστι μόριον. ἐκ-
πεφυκὸς γάρ ἐστιν ἐν ἀρχῇ πρὸ τῆς
ἀποτομῆς. οἱ δὲ ~~ἀπὸ~~ τοῦ περὶ
αὐτὸν εἰλεῖσθαι. τὸ γεννώμενον.
οἱ δὲ ἀπὸ τῆς τῶν ἐμβρύων ἐμ-
φύσεως. οἱ δὲ οἷον ὀμπναλὸν καὶ
ὀπαλόν δι' οὗ τοῖς ἐμβρύοις ἡ πνοὴ
ἐπιχορηγεῖται. τουτέστιν ἡ τρο-
φή. διὸ καὶ τὴν Δήμητραν τῶν
τροφῶν οὖσαν κυρίαν. ὀμπνίαν
Αἰολεῖς ὀνομάζουσιν. καταχρηστικῶς
δὲ καὶ ἐπὶ τῆς ἀσπίδος. καὶ ἐπὶ τῶν
ἄλλων τὸ μέσον ἀπὸ μεταφορᾶς τοῦ
ἡμετέρου σώματος.

ὁμοκλήσασκε· γίνεται παρὰ τὸ
ὁμοκλή· ὃ σημαίνει τὴν ἀπειλήν
παρὰ τὸ κέλλω τὸ προστάσσω καὶ
τὸ ὁμοῦ γίνεται ὁμοκέλλη, καὶ συγ-
κοπῇ ὁμοκλή· ἢ ἀπὸ τοῦ καλῶ
καὶ ῥῆμα ὁμοκλῶ. ὁ μέλλων ὁμοκλή-
σω· ὁ ἀόριστος ὡμόκλησα καὶ τὸ
τρίτον ὁμόκλησε· καὶ ὁμοκλήσασκε.
ἔλθωμεν δὲ καὶ διαλάβωμεν περὶ
αὐτῶν· ἰστέον ὅτι ταῦτα ἰωνικὰ
γίνεται διὰ τοῦ σ.κ. τὸ τρίτον
πρόσωπον, ἀπὸ μὲν βαρυτόνων
ὄντα· ἔχουσι φωνῆεν πρὸ τοῦ σ.κ.
τὸ ε· οἷον τύπτεσκε, λάβεσκε.
ὑπεσταλμένου τοῦ ἀορίστου πρώτου.
περὶ οὗ μετ' ὀλίγον εἰρήσεται. καὶ
τὸ τῆς πρώτης συζυγίας τῶν περισ-
πωμένων· καὶ μετὰ τῆς πρώτης
τῶν εἰς μι. ὁμοίως τὸ ε. ἔχουσι
πρὸ τοῦ σ.κ. οἷον μυκῶ. μυκᾶς.
ἔμυκον. μύκεσκε. τὰ δὲ τῆς δευτέ-
ρας συζυγίας τῶν εἰς μι. ὁ ἐν τῷ
παρατατικῷ καὶ ἐν τῷ δευτέρῳ
ἀορίστῳ διὰ τοῦ α ἐκφέρεται. —

πληθύνει τοῦ σσ. οἷον ἵστημι. ἵστω.
στάσκεν. ~~διά τοῦ α ἐκφέρεται.~~
τά δέ τῆς τρίτης συζυγίας τῶν
περισπωμένων καί τῶν εἰς μι.
διά τοῦ ο ἐκφέρεται. πρό τοῦ σ
κ. οἷον ἐχρύσοω. ἐχρυσώσκεν.
ἐδίδοω. ἐδίδοσκεν. τά δέ τῆς τετάρ-
-της συζυγίας τῶν εἰς μι. συστέλλει
τό δίχρονον μόνον πρό τοῦ σ. κ.
οἷον ζώγνυμι. ἐζεύγνυω. ἐζεύγνυς.
ἐζεύγνυ. ἐζεύγνυσκεν. ἔδυω. ἔδυς.
ἔδυ. δύσκεν. ὁ δέ πρῶτος ἀόριστος
ἐπί τῶν βαρυτόνων. καί ἐπί τῶν
περισπωμένων καί ἐπί τῶν εἰς
μι. τό α ἔχουσι πρό τοῦ σ. κ.
οἷον. πλάσκε. γράψασκε. τό γάρ
κεχρωστημένον α. τοῦ τρίτου.
προσώπου ἀνεδέξατο. ἐνταῦθα. τό
γάρ τρίτου προσώπου τοῦ ἀορίστου
πρώτου. ὡς ἐν τοῖς προλαβοῦσιν
εἰρήκαμεν διά τοῦ α. καί ὤφειλεν
εἶναι ἔτυψα. ἔτυψας. ἔτυψα. ἐ-
-κεῖνος. κατά ἀποβολήν τοῦ ς. ἀλλ'
ἐπειδή, ὡς εἴρηται οὐκ ἠδύνατο τά

τρία πρόσωπα ὁμοφωνεῖν κατὰ
τὸν αὐτὸν ἀριθμόν· καὶ κατὰ τὴν
αὐτὴν διάλεξιν· καὶ τροπῇ παρηκο-
λουθεῖσθαι τοῦ α΄· εἰς ε΄ καὶ γέγονε
ἔτυψεν· ἐκεῖνος· ἐνταῦθα δέ· ἐπει-
δὴ προσερχομένου τοῦ σ΄· π΄· οὐκ
ἔστι γὰρ ὁμοφωνία τῶν τριῶν προ-
σώπων· πρὸς τὸ πρῶτον πρόσωπον.
προσῆλθε τὸ κεχωρισμένον α΄·
οἷον τύψασκε· ποιήσασκε· ταῦτα
δὲ οἱ Ἴωνες· οἱ δὲ ποιηταὶ κατὰ
μίμησιν τῶν Ἰώνων· πολλάκις
καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον
πρόσωπον ποιοῦσιν· οἷον τύπτεσκον.
χαίρεσκον. τύπτεσκε καὶ χαίρεσκε.
λέγει δὲ ὁ Ἀμβρεών· ὅτι τὰ προσ-
λαμβάνοντα ταῦτα κατὰ τὸ τέλος.
ἀποβάλλουσι κατὰ τὴν ἀρχοῦσαν.
καὶ γὰρ τὸ ἔτυπτε ποιοῦσιν, οἱ
Ἴωνες τύπτεσκε· ἀποβάλλοντες
ἐκ τῆς ἀρχούσης συλλαβῆς καὶ
προστιθέντες κατὰ τὸ τέλος.
διὰ τοῦτο τὸ ἔτυπτες ἐν τῷ τύπτεσκεν

ἀποβάλλει τὴν ἄρχουσαν. ἐπειδὴ τὰ ποιητικὰ ἰωνικὰ ταῖς ἰδίαις μετοχαῖς θέλουσι συνάρχεσθαι. οἷον ἔτυπτε.

τύπτε δ' ἐπιστροφάδην —

πρὸς τὴν τύπτων μετοχὴν ἧψατο. ἄψατο. δ' ἡμιόνους σα ταλαεργοὺς — πρὸς τὴν ἅψας μετοχήν. ἤκουσα. ἄκουσα. διὰ τοῦτο δ' εἶπον ταῖς ἰδίαις μετοχαῖς. καὶ οὐ τοῖς ἰδίοις ἐνεστῶσι. διὰ τὸ εἴπεσκε. τοῦτο γὰρ τῇ εἴπων μετοχῇ συνάρχεται. ἡ μὴν τῷ ἐνεστῶτι. εἴπω γάρ ἐστιν ὁ ἐνεστώς. ἐξ οὗ καὶ τὸ ἐνέπω. ταῦτα μὲν ἐν τούτοις.

Ὁμοκλήσασκε. παρὰ τὸ ὁμοκλή. ὃ σημαίνει τὴν ἀπειλήν. καὶ τὸ καλῶ. γίνεται ῥῆμα ὁμοκλῶ. ὁ μέλλων ὁμοκλήσω. ὁ ἀόριστος ὡμόκλησα. τὸ τρίτον ὡμόκλησε. καὶ ὡμοκλήσασκε.

Ὀμόργω. εἰς τὸ ἀπομόρξατο.

Ὁμοῦ. εἰς τὸ ἅμα.

Ὀμπνή. εἰς τὸ ὀμφαλός.

ὀμπνεῖα. ἡ δημήτηρ. παρὰ τὸ
ὀμοῦ πνέω. λυκόφρων β.

καὶ κτῆσιν ἄλλων ὄμπνεια κειμηλίων.

Ὀμφαλός. ἀπὸ τοῦ εἶναι εἰς τὸ
ἐμπνεῖν. ὀμπναλὸς καὶ ὀμφαλός.
ἢ παρὰ τὸ ἐοικέναι φαλῷ. ἢ παρὰ
τὸ ὀμπνεῖν. ὅ ἐστιν ἀναπνεῖν καὶ
τρέφειν. τὸ γὰρ βρέφος ἐν τῇ γαστρὶ
διὰ τοῦ ὀμφαλοῦ ἀναπνέει. καὶ
τρέφεται. ἢ παρὰ τὸ περὶ αὐτὸν
εἰλεῖσθαι. τὸ γεννώμενον.

Ὄμφαξ. οἷον ὠμόφαξ. ἡ ὠμὴ εἰς
τὸ φαγεῖν.

Ὁμόσφυρος. ὁ ἀδελφὸς διὰ τὸ περὶ
τὰ αὐτὰ σφυρὰ τῆς μητρός. πεσεῖν
γεννηθέντα.

Ὀμφὴ λέγεται τὸ φῶς. ῥῆμα δηλοῦν
τὸ φαίνειν. ἢ τὸ ὂν φαίνουσα.

Ὁμώνυμον. παρὰ τὸ ὁμοῦ ἓν ὄνο-
μα φέρειν. πλείονα τινὰ ὀνόματα
ἀνθρώπων.

Ὀμφή. ἡ φωνὴ τὸ ο μικρόν. διατί
τὰ εἰς φη λήγοντα θηλυκὰ δισύλλαβα.

ἢ τὸ ᾱ παραλήγει· ἢ τὸ ο̄· καὶ τὸ μὲν ᾱ· ὡς τὸ βαφή· ῥαφή· ταφή· τὸ δὲ ο̄ ὡς τὸ μορφή· μομφή· ὀμφή· ἐτυμολογεῖται οὖν ἡ τὸ ὂν φαίνουσα· ἤγουν τὸ ἀληθές.

τὸ ο̄ μετὰ τοῦ ν̄

Ὅντινα· τὸ ὃν ἄρθρον· τινὰ ἀντωνυμία.

Ὄνασθαι· εἰς τὸ ἀπόνασθαι.

Ὀνείατα· βρώματα τὰ ὄνεισιν παρέχοντα.

Ὄνειδος· παρὰ τὸ ὀνῶ· τὸ μέμφομαι· καὶ τὸ εἶδος· τὸ κατὰ τὸ εἶδος μεμπτόν.

Ὄνειρος· καὶ ὄναρ· παρὰ τὸ ὀνῶ τὸ ὀφελῶ· καὶ τὸ εἴρω τὸ λέγω. πολλοὺς μὲν γὰρ ὀφελοῦσι, πολλοὺς δὲ βλάπτουσι· τὸ ει δίφθογγον. τὰ διὰ τοῦ ειρος ῥηματικὰ δίφθογγον ἔχει

Ὀνῶ σημαίνει τέσσαρα· ὀνῶ τὸ ὀφελῶ· ἐξ οὗ καὶ ὄνησις ἡ ὠφέλεια

——— ἔπειτα δὲ κ' αὐτὸς ὀνήσεαι —
καὶ τὸ μέμφομαι· ἐξ οὗ καὶ ὁ μέλλων
ὀνόσω· ὥς τό·

ἔνθα κεν οὐκέτι ἔργον ἀνὴρ ὀνόσσαιτο μετελθών.

σημαίνει καὶ τὸ βλάπτω· σημαίνει καὶ
τὸ ἀγοράζω· ἐξ οὗ καὶ τὸ ὀνησάμην
δούλην· καὶ ὄνω τὸ ἀπολαύω· ζήτει
Ὄνειδος· τινὲς παρὰ τὸ ὀνήσασθαι.
ἴσως δὲ πᾶν τὸ ὂν πλημμελές, τό-
τε φαίνεται· ὥς τὸ ἔγκεισαι τὸ
ἴδεται· ὅ ἐστι φαίνεται.

Ὄνειρος ὁ τὸ ὂν εἴρων καὶ λέγων.
ἐπὶ δὲ τῶν ἀληθῶν ὄνειρος.

— καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν.

Ὄνειρος· ἤτοι παρὰ τὴν ὄνησιν· οἷον
παρὰ τὸ ὄνω τὸ ὠφελοῦμαι· ὄνειρος
ὡς παρὰ τὸ πέπω πέπειρος. ἢ πα-
ρὰ τὸ ὂν εἴρειν καὶ λέγειν. ἢ κατὰ
μετάθεσιν τοῦ ο· νοερός τις ὤν.

Ὄνειρος διὰ τῆς ει· τὰ γὰρ διὰ τοῦ
-ειρος· ἔστι δὲ παρὰ τὸ ὄνω τὸ ὠφελῶ
καὶ τὸ εἴρω τὸ λέγω. πολλοὶ γὰρ
ἐκ τῶν ἰδίων ὀνείρων ὠφελήθησαν.
ἢ ὅτι ὄνειρος· λέγουσιν οἱ Αἰολεῖς κα-
τὰ τροπὴν τοῦ ε· εἰς ο· ὥσπερ

εἶδα· οἶδα· τινὲς δὲ λέγουσιν ὅτι τὸ ὄνειρος· παρὰ τὴν οὗ μετοχὴν γέγονε· καὶ τὸ εἴρων· οἱονεὶ καὶ τὸ ὂν εἴρων· καὶ λέγων· ἦτοι δὲ κακῶς λέγουσιν.

Ὀνείρωξις. ἡ διὰ τῶν ὀνείρων φαντασία· ἡ ὄψις ἡ ἐν τοῖς ἐνυπνίοις. ὀνειρώττω γὰρ τὸ ῥῆμα ἀντὶ τοῦ δι' ὀνείρων βλέπω· τὸ δὲ ὀνειροπολεῖν ἐγρηγορότως ἐστὶν ἐνύπνιον· τὸ γὰρ τοῖς πολλοῖς ἀπὸ τοῦ φαντάζεσθαι σημαινόμενον· τοῦτο παρὰ τοῖς πεπαιδευμένοις τὸ ὀνειροπολεῖν δηλοῖ· φαντάζεσθαι δὲ κυρίως ἐστὶ, τὸ φαίνεσθαι.

Ὀνειρωττειν. ὀνειρῶ ὁ μέλλων ὀνειρώσω.

Ὀνειρώττω· διὰ τῆς ει διφθόγγου παρὰ γὰρ τὸ ὄνειρος γέγονεν.

Ὀνειροπόλος· ὥσπερ γὰρ οἰωνοπόλος λέγεται ὁ μάντις· ὁ περὶ τοὺς οἰωνοὺς ἀναστρεφόμενος· καὶ αἰγοπόλος ὁ περὶ τὰς αἶγας—

καὶ συγκοπῇ αἰπόλος. καὶ θυηπόλος
ὁ περὶ τὰς θυσίας ἀναστρεφόμενος
οὕτω καὶ ὁ περὶ τοὺς ὀνείρους.
πολῶν καὶ ἀναστρεφόμενος ὀνειρο-
-πόλος.

Ὄνυξ. παρὰ τὸ νύσσειν. πλεονασ-
-μῷ τοῦ ο. οἷον ἄνυξ ὁ ἀνοίγων
τὴν σάρκα ἐν τῷ φύεσθαι. ἤτοι
προκύπτειν.

Ὀνόμηνεν. ὠνόμασεν. ὀνομαστὶ σωές-
-αλται.

Ὄντως ἀληθῶς. κατὰ ἀλήθειαν ἤ
τοῦ ὄντος ἀκριβὴς κατανόησις.
τὸ πρῶτον ἐπίρρημα καὶ τὸ δεύ-
-τερον μετοχή.

Ὄνυχες παρὰ τὸ ξέειν τὸ σῶμα.

Ὀνομήνω. ῥῆμα ὑποτακτικόν.
ἐκ τοῦ ὀνομαίνω. ὥσπερ παρὰ τὸ
πῆμα. γίνεται πημαίνω καὶ κάρα
καραίνω. καὶ συγκοπῇ κραίνω.
οὕτω καὶ παρὰ τὸ ὄνομα γίνεται
ὀνομαίνω.

Ὄνος τὸ ζῶον διὰ τοῦ ὀ νοεῖν. ἤ
ὤνιον εἶναι. ἢ παρὰ τὴν ὄνησιν τήν

ἐξ αὐτοῦ γινομένην ἐν τοῖς ἔργοις

Ὄνος· παρὰ τοῖς τέκτοσι· παρὰ τὸ βαστάζειν.

Ὄνος· παρότι ὀνητόν ἐστιν· ἤτοι ὠφέλιμον ἐκ τοῦ βαστάζειν· ἢ διὰ τὸ νωθρὸν ὑπάρχειν.

Ὄνυξ· παρὰ τὸ νύσσω· πλεονασμῷ τοῦ ο· ἢ παρὰ τὸ ἀνοίγω· ἀνοίξω· ἄνυξ· καὶ ὄνυξ· δι' οὗ ἀνοίγεται καὶ ἀραιοῦται ἡ σάρξ.

Ὀνῶ εἰς τὸ ἀπονᾶσθαι· καὶ ὄνος· καὶ ὄνειρας· καὶ ὀνοτάζων· ἐκφαυλίζων.

Ὄνομα· ἀπὸ τοῦ νέμω τὸ μερίζω· γίνεται ῥηματικὸν ὄνομα· οἷον νόμα· καὶ πλεονασμῷ τοῦ ο ὄνομα.

Ὄναγρος· παρὰ τὸ ὄνος καὶ τὸ ἀγρός. ὁ δὲ ὄνος· παρὰ τὸ ὀνῶ τὸ ὀφέλω πόσα σημαίνει ὄνος· δύο· τὸ ζῶον· ὡς τὸ

ὡς δ' ὅτ' ὄνος παρ' ἄρουρας ἰὼν —

καὶ τὴν τιμὴν τοῦ ἀγοραζομένου ὡς τὸ

υἱὸς δὲ πριάμοιο λυκάονος ὦνον ἔδωκε.

καὶ γράφεται διὰ τοῦ ω μεγάλου.

τὸ ο μετὰ τοῦ ξ.

ὀξεῖα. διὰ τῆς ει. ὅτι τὰ ἀπὸ τῶν εἰς υς διὰ τοῦ εια γινόμενα θηλυκὰ. διὰ τῆς ει διφθόγγου γράφεται. οἷον ὀξύς. ὀξεῖα. ὠκύς. ὠκεῖα. θῆλυς θήλεια.

Ὀξυδερκεῖα. ἐκ τοῦ ὀξύς. καὶ τοῦ δέρκω τὸ βλέπω. ὀξυδορκία δέ. ἐκ τοῦ ὀξυδορκῶ γίνεται. ὀξυδορκία.

Ὀξυγράφιον. ἔχει ξέστας ὀκτὼ καὶ ἡ χοίνιξ. ξέστας ο β

Ὄξος. παρὰ τὸ ὀξύνειν τὰς αἰσθήσεις ἐν τῷ γεύεσθαι. σημαίνει δὲ καὶ ὄνομα ποταμοῦ/ καὶ γράφεται διὰ τοῦ ω μεγάλου.

Ὄξος. ἐπειδὴ τέμνει καὶ κεντρίζει ὡς εἰπεῖν τὴν γεῦσιν καὶ ὀξεῖαν σταφυλὴν λέγομεν. τὴν κεντρίζουσαν ἡμῶν τὴν γεῦσιν καὶ ἄνθρωπον ὀξὺν τὸν ταχέως θυμούμενον. καὶ μάχαιραν ὀξεῖαν

τὴν ἠκονημένην· κυρηναῖοι δὲ τὸ
ὄξος· ὗδος λέγουσιν κατὰ ἀντίφρα-
σιν· δυνατὰ δὲ τὸ ὀξὺ τὸ μεταβε-
βληκότα οἶνον εἰρῆσθαι· ὄξυς·
ὄξος· ὡς τάχυς τάχος· πάχυς
πάχος·

Ὀξυρόπος· ἐκ τοῦ ὀξὺς καὶ τοῦ
ῥοπή· ἢ ἐκ τοῦ ἕπω ῥήματος·

Ὀξύνω· ἐκ τοῦ ὀξύς· τοῦτο δὲ ὡς
περ παρὰ τὸ χέω· χόος· χύς·
καὶ πλέω· πλάτος· πλατύς· οὕτω
ξέω· ξόω· ξούς· καὶ ἐν ὑπερβιβασ-
μῷ ὀξύς· τὸ ἀντιδιαστελλόμενον
τῷ ἀμβλεῖ·

## τὸ ο μετὰ τοῦ αυτοῦ

Ὁ· ου· ἐστι· τινος ἄρθρον ὑποτακτικόν
τὸ ο· τὸ δὲ ἐστι λέγεται πλεονασμός.
λέγει δὲ Ἡρωδιανός· ὅτι ὁ πλεονασμὸς
τὸν οἰκεῖον τόνον φυλάττει. οἷον
ἥνδανεν ἑήνδανεν· ὥρακα· ἑώρακα.
εἰ ἄρα ἐστὶ καὶ τὸ ο κατὰ πλεονασμὸν

ἐγένετο. ὤφειλεν ὁ ου περισπωμέ-
-νος. οὐκ ἔστι δὲ πλεονασμὸς ἐπὶ
διαίρεσιν. καὶ τί διαφέρει διαίρεσις
πλεονασμοῦ. διαφέρει ὅτι ὁ μὲν
πλεονασμὸς τὸν αὐτὸν τόνον φυλάτ-
-τει. οἷον εἴκοσι ἐείκοσι. ἡ δὲ
διαίρεσις διαλλάττει τὸν τόνον. οἷον
ἧς. ὁ σημαίνει τῆς ἰδίας. γίνεται
ἑῆς. ἑῆς τὸ πρὶν γεγράφθαι. ἀγο-
-ρεῶντο. ἠγορόωντο. οὕτως οὗ. ὅου.
τὸ πνεῦμα εἰς τὸ ο δασεῖαν. λέγει
Ἡρωδιανός. ὅτι τὰ πλεονάζοντα
φωνήεντα ἐν λέξεσι ταῖς ἀπὸ
φωνήεντος δασυνομένου ἀρχομέναις,
μεταληπτικὰ γίνονται τοῦ δασέως
πνεύματος. οἷον ἥνδανε. ἑήνδανε.
ὥρακα. οὕτω καὶ οὗ ὅου.

## τὸ ο μετὰ τοῦ π.

Ὄπα. εἰς τὸ σιωπῶ.

Ὀπάζειν. κατόπιν διώκειν. ἢ τὸ
περιποιεῖν ἢ τὸ καταφέρεσθαι. ἢ
τὸ ἐπιλέγεσθαι.

ὀπιπτεύω διὰ τοῦ ι· παρὰ τὸ ὄπτω
τὸ θεωρῶ· γίνεται ὀπτεύω· καὶ
ὀπιπεύω· καὶ λοιπὸν ἀλόγως διὰ
τοῦ ι γράφεται· ἐπειδὴ ἀπὸ διπλα-
σιασμοῦ ἐστιν· οὐδέποτε δὲ διὰ τῆς
ει διφθόγγου γίνεται διπλασιασμός.
οἷον θῶ· πλῶ· πιπλῶ.

Ὄπα γένους θηλυκοῦ· ἐκ τοῦ ἔπω
τὸ λέγω· ὁ μέλλων ἔψω· ἀποβολῇ
τοῦ ω· ἔψ· καὶ τροπῇ τοῦ ε· εἰς ο
ὄψ· τὸ ο μικρόν· τὰ ἔχοντα τὸ ε
ἐγκείμενον ἐν τοῖς ῥήμασιν ἔχουσι
τὸ ο ἀντιπαρακείμενον ἐν τοῖς
ὀνόμασιν· ἔστι δὲ πλάσεως αἰτιατι-
κῆς· ἡ εὐθεῖα ὄψ· καὶ κλίνεται
τῆς ὀπός· καὶ ὅμηρος ὄπα ἀρνῶν.
τὸ δὲ ὄψ· σημαίνει τρία· τὸν
ὀφθαλμόν· καὶ κύριον ὄνομα· καὶ
τὴν φωνήν· ζήτει πλατυτέρως ἐν
τοῖς ἐπιμερισμοῖς· εἰς τὸν πρῶτον
ψαλμ. εἰς τὸ ἀπὸ προσώπου.

Ὁ πᾶς· καὶ τὸ θηλυκὸν ἡ πᾶσα—

διατί ἔστι φύσει μακρὰ ἡ παραλήγουσα· αἱ διὰ τοῦ ντ κλινόμεναι ἀρσενικαὶ γενικαί. εἰ μὲν ἐπὶ μετοχῆς ὑπάρχει. φύσει μακρὰν ποιοῦσι τὴν παραλήγουσαν ἐπὶ τῶν θηλυκῶν. οἷον τύπτων τύπτοντος· τύπτουσα· τυφθεὶς τυφθέντος· τυφθεῖσα· εἰ δὲ ἐπὶ ὀνομάτων θέσει. οἷον χαρίεντος χαρίεσσα· καιρόεντος· καιρόεσσα· ἔνθεν καὶ τὰ καιροσέων ὀθονέων καθ' ὑπερβιβασμὸν καὶ τὸ οὐδέτερον τὸ πᾶν καὶ ὤφειλε βαρύνεσθαι. ἀλλ' ἐπειδὴ ἑτέρῳ λόγῳ ὑπέπεσε. τῷ λέγοντι. ὅτι πᾶν οὐδέτερον ἀρσενικοῦ παρεσχηματισμένον ἐπὶ τέλους τονούμενον. τὸν ἐκείνου τόνον ἔχει. καὶ κατὰ τὴν λήγουσαν συστέλλει. οἷον εὐσεβής. καὶ τὸ εὐσεβές· ὁ χρυσοῦς καὶ τὸ χρυσοῦν. σεσημείωται. τοῦτο μόνον ὀξύνεται· τοῦ ἀρσενικοῦ περισπωμένου ὄντος. διὰ τοῦτο

ἠναγκάσθη τὸ πᾶν μακροκαταλη-
-κτεῖν· ἵνα ὁμοτονήσῃ τῷ ἀρσενι-
-κῷ.

Ὀπή κυρίως τόπος τετρημένος
ἀφ' οὗ τις δύναται ὀπήσασθαι.
οὕτως Ἀρίστονικος ἐν τοῖς σημείοις.

Ὀπηδός· ὁ δοῦλος· ἢ ὁ ἀκόλουθος.
παρὰ τὸ ἕπω· ὀπάων καὶ ὀπαδός.
πλεονασμῷ τοῦ δ. καὶ μεταθέσει
τοῦ α εἰς η.

Ὀπηνίκα· ἔστιν· ἔνος ὁ ἐνιαυτός
ἐκ τούτου γίνεται ἐνίκα· καὶ τρο-
-πῇ τοῦ ε· εἰς η ἠνίκα· καὶ πη-
-νίκα· ἄλλως τε καὶ τὰ ἀναφορι-
-κὰ φυλάσσουσι τὸ η· ἡλίκος· πη-
-λίκος· καὶ πλεονασμῷ τοῦ ο.

Ὀπή· ὀπή· ὡς κλέπτω κλοπή.

Ὀπισθότονος· παρὰ τὸ τὰ ὀπίσθια
τείνειν.

Ὀπήτιον· εἰς τὸ ὦπες.

Ὀπίσω· ἐπίρρημα τοπικόν· πα-
-ρὰ τὸ ἐπιστρέφομαι· ἔστι δὲ ἐπίρ-
-ρημα τοπικόν· καὶ ποίας χρήσεως

τῶν τοπικῶν. τῆς ἐν τόπῳ. πό
:θαι σχέσεις τῶν τοπικῶν. ἔξ.
ἄνω. κάτω. ἔμπροσθεν. ὄπισθεν.
δεξιά. ἀριστερά. γίνεται οὖν τό
ὀπίσω. ἐκ τοῦ ὀπίζω. τό ἀκολουθῶ.
καί τό κατόπιν διώκω. τό δὲ ὀπίζω.
ἐκ τοῦ ὄπις. ὃ σημαίνει τὴν ἐπις:
:τροφήν.
—— θεῶν ὄπιν οὐκ ἀλέγοντες.
τό σῶ μέγα. τά εἰς ω λήγοντα
ἐπιρρήματα διὰ τοῦ ω μεγάλου
γράφονται. πλὴν τοῦ δεῦρο καί ἄ:
:πο.
Ὄπις ἡ ἐπιστροφή.
Ὁπλάς. ἡ ὠθεῖα ὁπλή. παρά τό
ἕπω τό ἀκολουθῶ γίνεται ὁπλή.
Ὁπλοτέρων. ἀντί τοῦ νεωτέρων.
ποίου εἴδους τῶν παραγωγῶν.
συγκριτικοῦ. τῇ δὲ φωνῇ ἀντὶ ἁ:
:πλοῦ παραλαμβάνεται. καί γίνε:
:ται παρά τό ὅπλον. ὁ μᾶλλον
ὅπλα φέρειν δυνάμενος. ὥς καί
τό γέροντα.

ὀπός· εἰς τὸ ἴνωπος· καὶ κόρεπος·
καὶ σάλπιγξ·

ὀπωροφυλάκιον· ἐκ τοῦ ὀπώρα·
καὶ τοῦ φυλακή· τὸ δὲ φυλακὴ πα=
=ρὰ τὸ φυλή· τοῦτο παρὰ τὸ φυλάσ=
=σω· τοῦτο παρὰ τὸ πύλη· τοῦτο
παρὰ τὸ πτύσσω· τὸ σφαλίζω· τὸ
κι· ι· διατί· τὰ παρὰ τὸ φυλακὴ
σωτιθέμενα διὰ τοῦ ι γράφεται·
οἷον χαρτοφυλάκιον ὀπωροφυλά=
=κιον·

ὀπτανεῖον· σημαίνει τὸ μαγειρεῖον.
διὰ τῆς ει διφθόγγου· παρὰ τοῖς
Ἀττικοῖς ὀπτάνιον·

ὀππότερος· τὸ ἐρωτηματικὸν
πότερος· καὶ τὸ ἀναφορικὸν πλεο=
=νασμῷ τοῦ ο ὁπότερος· σεσημείωται.
τὰ ἀπὸ τοῦ ο ἀρχόμενα· τὸ π
ποιητικῷ πλεονασμῷ· σχῆμα συνθέ=
=τον ἐκ τοῦ ὁποῖος· καὶ τὸ ἕτερος
ὁποιέτερος· ὁποιότερος· καὶ ὁπό=
=τερος· ὁ ἕτερος τῶν δύο· πλεονασ=
=μῷ δὲ τοῦ π· ἔσηκε τὸ πη· ὅπη

ὦ φίλοι οὐ γάρ τι ἴδμεν ὅπῃ ζόφος —
καί ὅποτος ὁπποῖος. καί ὁπποίης
δ' ἐπί νηός ἀφίκετο.

Ὄπτω. εἰς τό ὄσσε. καί ὄφις. καί
ὀφεύς. καί ὄψιν.

Ὄπωπα. πόθεν ἐστί ῥῆμα ὄπτω.
ὅ ἐστι βλέπω. ὁ μέλλων ὄψω.
ὁ παρακείμενος ὦφα. ὁ μέσος
ὦπα. καί Ἀττικῶς ὄπωπα.

Ὀπώρα. παρά τό τῇ ὥρᾳ ἕ-
πεσθαι. ἤγουν ἐπακολουθεῖν.

Ὀπωρινός. διά τοῦ ι. γράφεται.
τά γάρ εἰς νος ὀξύτονα. ἐπί και-
ροῦ λαμβανόμενα. διά τοῦ ι γρά-
φεται. δηλονότι

Ὀπωπή. κατά Ὅμηρον ὀφθαλμός.

Ὀπός πόσα σημαίνει. τήν πίδαν
τήν λεγομένην τάμισον. τό τῆς
συκῆς γάλα. τό τῶν δένδρων δά-
κρυον. τό σακαμόνιν. τόν κνίκον.

Ὀπωροπώλιον. εἰς τό γαῖα.

Ὅπως. ἀντί τοῦ πῶς. τό ὁ κατά
πλεονασμόν.

τὸ ο̄ μετὰ τοῦ ρ.

Ὀργάδα γῆν· παρὰ τὸ ἀεργή τις εἶναι· καὶ ἀνέργαστος· ἢ διὰ τὰ ἐν αὐτῇ φυτὰ πρὸς αὔξησιν ὀργᾶν. τάχα δὲ βέλτιον, παρὰ τὸ τῆς κατεργασίας εἴργεσθαι· ὡς φύγω φυγάς. ἔρδω· ἐρδάς· ἔργω· ἐργάς· ἔλεγον γὰρ καὶ χωρὶς τοῦ τ· τὸ ἔργειν. Κόρμανος δὲ ὀργάδα λέγεσθαι· τὴν μελάγγειον καὶ ἔνυδρον γῆν· καὶ γὰρ τὸ ὀργάσαι ἐστὶ τὸ πηλοποιῆσαι· καὶ ὑγρῷ ξηρὸν μῖξαι. Σοφοκλῆς

β. θέλοιμι πηλὸν ὀργάσασθαι.

καὶ Ἀριστοφάνης ὄρνισιν

ἀποδὺς ὀργάδα.

ἐστὶ δὲ καὶ γῆ ἐν Μεγάροις.

Ὁρᾶν· τοῦ ὑπερορᾶν διαφέρει. ὁρᾶν μὲν γάρ ἐστι· τὸ θεωρεῖν· ὑπερορᾶν δὲ τὸ καταφρονεῖν.

Ὄργανον· παρὰ τὸ ὀρέγω τὸ ἐπιθυμῶ. γίνεται ὀρέγανον· καὶ κατὰ συγκοπὴν ὄργανον· καὶ γὰρ ἐκείνου ἀλοῶντος· πολλοὶ εἰς ἐπιθυμίαν —

κινοῦνται. ἢ παρὰ τὸ ἄρω τὸ ἁρμόζω. ἐξ οὗ καὶ ἄρμα. γίνεται ἄραγανον καὶ κατὰ συγκοπὴν καὶ τροπὴ τοῦ α. εἰς ο ὄργανον. τὸ ἐν ποικιλίᾳ συμπεποσμένον.

Ὀργή. παρὰ τὸ ὀρέγεσθαι τὸν ὀργιζόμενον. ἀμύνασθαι τὸν ἐχθρόν. καὶ εἰς τὸ θυμός.

Ὀργή. παρὰ τὸ ἔρξω. τὸ πράττω ἢ παρὰ τὸ εἴργω. τὸ κωλύω.

Ὄργια. σημαίνει τὰ μυστήρια παρὰ τὸ ὀρέγειν, τὸ ἐπιθυμεῖν. δύο γὰρ σημαίνει. τότε ἐκτείνω τὰς χεῖρας καὶ τὸ ἐπιθυμῶ. ὀρέγω. ὀρέγια. καὶ ὄργια. τοῖς γὰρ ἐπιθυμοῦσι μυστήρια οἱ θεοὶ μυοῦνται.

Ὀργυῖα. παρὰ τὸ ὀρέγειν. καὶ ἐκτείνειν τὰ γυῖα.

Ὄργυια. ἀπὸ τῆς ὀρέξεως.

Ὀργῶντας. ἐπιτεταμένως ἐπιθυμοῦντας. ἀπὸ τοῦ ὀργῶ. ὃ σημαίνει τὸ ἀκμάζω. τοῦτο δὲ ἀπὸ τοῦ ὀρέγω. τὸ ἐπιθυμῶ. κατὰ συγκοπὴν ὀργῶ. συντάσσεται μετὰ αἰτιατικῆς.

Ὀρδίνια. εἰς τὸ παλαιστή.

Ὀρέγω σοι βρατόν. συντάσσεται δοτικῇ. τὸ δὲ ἐπιθυμῶ γενικῇ.

Ὀροφώσας. ἐκ τοῦ ὄρος καὶ τοῦ φῶ. φαίνω.

Ὅρω. ὁρᾶς. ὁρᾷ.

Ὀρείτης. ἀπὸ τοῦ ὄρος. ἐκ τοῦ ὄρις. ὄρεως. ὅτι ἀπὸ ~~πε~~ω τοτύπου ἔχει τὸ Ι. καὶ ὀρείτης ὄνομα.

Ὅρασις. ἀπὸ τοῦ ὄρισίς τις εἶναι. καὶ τοῦ ὅρου τῶν σωμάτων καταλαμβάνειν. τουτέστι τὰ πέρατα.

Ὄργανον. παρὰ τὸ ὀρέγω. τὸ ἐπιθυμῶ. ἢ παρὰ τὸ ὀρῶ τὸ διεγείρω. γάνυσθαι γὰρ καὶ χαίρειν παρασκευάζει τοὺς καταυλουμένος λόγους.

Ὀρέσκιος. ὁ ἐν ὄρεσσι κοιμώμενος. καὶ αὐλιζόμενος. ἐξ οὗ καὶ παρ' ὁμήρω. τὸ φηρσὶν ὀρεσκώοισιν.

Ὀρέγω. εἰς τὸ ὄργανον καὶ ὄργια. καὶ ὀργῶντας.

Ὀρεκτόν. παρὰ τὸ ὀρέγω. τὸ ἐπιθυμῶ. ὁ μέλλων ὀρέξω. ὁ μέσος

παρακείμενος ὤρεγα· ὁ παθητικὸς ὤρεγμαι· τὸ τρίτον ὤρεκται· καὶ ἐξ αὐτοῦ ὀρεκτός· ἤγουν ἐπιθυματικός. ἢ χαριστικός· καὶ τὸ οὐδέτερον ὀρεκτόν· τὸ δὲ ὀρέγω γράφεται διὰ τοῦ ο μικροῦ· πλὴν τοῦ ὠρύομαι· ὠρύω· τὸ πενθῶ· καὶ ὠνῶ· τὸ ἀγοράζω καὶ ὠφελῶ.

ὀρεῦσιν ἡμιόνοις· παρὰ τὸ ἐν ὄρεσι πλεῖον τῶν ἄλλων ζώων δύνασθαι ἐργάζεσθαι· ἢ παρὰ τὸ οὐρώδη γόνον ἔχειν· ὅθεν ἐν ταῖς συνουσίαις οὐ συλλαμβάνουσιν οὐδὲ τεκνογονοῦσιν.

ὀρθογόη· ἡ χελιδών· ἡ ὑπὸ τὸν ὄρθρον γεννῶσα· καὶ οὐκ ὀρθοβόην· ὥς τινες.

ὄρη· διὰ τὸ ὁρᾶσθαι μακρόθεν. ἢ δι᾽ αὐτῶν ὁρᾶν τὰ ἐκ μήκοθεν.

ὄρη φυσικῶς ὀχυρώματα· ἐκ θεοῦ κατασκευασμένα, διὰ λίθων πεπυκνωμένα.

ὀρθός· ἐστιν ὀρῶ τὸ διεγείρω· καὶ

θρῶ τὸ βλέπω· γίνεται ὄρθρος· καὶ
κατὰ συγκοπὴν ὀρθός· ὁ διεγηγερ-
μένος καὶ πρὸς τὰ ἄνω βλέπων·

Ὄρθρος· παρὰ τὸ ἀγείρειν ἡμᾶς λεχέ-
εσσιν ὄντας· ὅθεν ἦρει ὁμοίως.

Ὀρθός· τοῦ ὄρω· ὁ μέλλων, Αἰολικῶς
ὄρσω· ὄνομα ὀρτός· καὶ μεταθέσει
τοῦ τ εἰς θ ὀρθός.

Ὄρθος· παρὰ τὸ ὄρω τὸ διεγείρο-
μαι· ἐξ οὗ καὶ Αἰολικῶς μέλλων
ὄρσω· ὄρω· ὄρσω· ὄρτος καὶ ὄρθρος.

Ὀρθρίζει· παρὰ τὸ ὄρθρος· τοῦτο
παρὰ τὸ ὀρθός· τοῦτο παρὰ τὸ
ὀρθοὺς ποιεῖν ἡμᾶς.

Ὄρθος καὶ πρωΐ διαφέρει· ὄρθρος
μὲν γάρ· ἡ πρὸ ἀνατολῆς ὥρα.
καθ' ἣν ἐξ ὕπνου ἀναστάντες ὀρθρί-
ζοι γενώμεθα· πρωΐ δὲ ἡ μετὰ
τὴν ἀνατολὴν ἐπίλαμψις.

Ὀρθή· παρὰ τὸ ὀρθῶ· φθάσω
ὀρθή· ἡ τὰ ὀρθὰ δηλοῦσα.

Ὀρίγανον· ὡ φυλλ διὰ τῆς ει

διφθόγγου. παρὰ γὰρ τὴν ὄρει δοτικὴν καὶ τὸ γάνος τὸ σημαῖνον τὴν χαρὰν γέγονε. τὸ γὰρ ὀρίγανον τοῖς ὄρεσι χαίρει. ἢ παρὰ τὸ ὁρᾶν καὶ τὸ γανῶ τὸ σημαῖνον τὸ λαμπρύνω γέγονεν. οἱονεὶ ὁ λαμπρύνων τὴν ὅρασιν. ὁρᾶν γὰρ καλῶς ποιεῖ τὴν ὅρασιν τὸ ὀρίγανον. ἀλλὰ κατὰ Θεοδώρητον. ἀπὸ τοῦ ὀρίγω γέγονεν. ἐγράφη.

Ὀρίγανον. παρὰ τὸ ὀρίγω. ὀρίγανον. καὶ πλεονασμῷ τοῦ ο ὀρίγανον. οἱονεὶ τὸ ψυχόν τινα καθ᾽ ἀντίφρασιν. θερμαίνει γάρ. τοῦτο διὰ τοῦ ι. τρισγενές ἐστιν. ἀρσενικόν. θηλυκόν καὶ οὐδέτερον.

Ὄρια παρὰ τὸ ὄρος. ἀρσενικόν.

Ὀρίγνω. εἰς τὸ μίμνω.

Ὀρίνω. διεγείρω. τὸ ρι. ι διατί. τὰ διὰ τοῦ ινω ῥήματα ὑπὲρ δύο συλλαβὰς μὴ ἔχοντα ἀναφαινόμενον τὸ ε ἐν τῷ μέλλοντι. διὰ τοῦ ι γράφεται. ἢ ὅτι εὕρηται κλινόμενον

ἄρχει τοῦ μέλλοντος. τὰ γὰρ διὰ τοῦ
εινω ῥήματα ὑπὲρ δύο συλλαβάς,
διὰ τῆς ει διφθόγγου γράφεται. καὶ
ἄρχει τοῦ παρατατικοῦ κλίνεται. τοῦ-
το δὲ εὑρέθη διὰ τοῦ ῑ. γραφόμενον
ὀρίνω καὶ ὠδίνω. τούτου χάριν καὶ
ἐπὶ μέλλοντος κλίνεται. τὸ δὲ ὀρίνω
ἐκ τοῦ ὄρω τὸ διεγείρω. ὀρύω καὶ
ὀρύνω. καὶ τρέπεται τὸ ῡ. εἰς ῑ.
ὡς κινῶ. κινύω. κανὼν γάρ ἐστιν ὁ
λέγων. ὅτι τὰ εἰς ω λήγοντα ῥήματα
εἴτε βαρύτονα. εἴτε περισπώμε-
να, διὰ τοῦ ῡ βραχυνομένου. ἐπεκ-
τείνεται παρὰ τοῖς Ἴωσιν. οἷον
κινῶ. κινύω. παρὰ τὸ κίω. κινῶ.
φορῶ. φορύω. ἐξ οὗ καὶ κατὰ παρέν-
θεσιν δωρικὴν τοῦ ῡ γίνεται φορύσω.
ὀρισμός. πόθεν εἴρηται. ἐκ μεταφο-
ρᾶς τῶν ἐν τοῖς γηδίοις. ὀροθεσίων.
καὶ γὰρ οἱ ἀρχαῖοι ἑκατέραν ἀμετρί-
αν ἐκφεύγοντες, τήν τε πλεονεξίαν.
καὶ τὴν μειονεξίαν ἔφερον τὰ ὀροθέ-
σια. ἵνα διὰ τούτων τῶν μὲν ἰδίων

ἀπολάβωσι· τῶν δὲ ἀλλοτρίων ἀ-
πέχωνται· μάλιστα δὲ τοῦτο κατὰ
τὴν Αἴγυπτον ἀναγκαίως ἐγένετο·
πάλαι γὰρ τοῦ νείλου ἀνιόντος· καὶ
τὰς ἀρούρας συγχέοντος· μετὰ τὴν ἀ-
πόβασιν αὐτοῦ πόλεμοι ἐγένοντο καὶ
φόνοι περὶ τὴν διανομὴν τῆς γῆς·
ἐπενόησαν ὅπως ὁροθέσια τινὰ· πρὸς
δήλωσιν τῶν τόπων, καὶ ἐπαύσαντο
τοῦ πολεμεῖν· διὸ καὶ τὸ πρὸς τοῦτο
ἐπινοηθὲν μέτρον ἄκαινα καλεῖται
παρ' αὐτοῖς· παρὰ τὴν στέρησιν τοῦ
φόνου· καίνειν γὰρ τὸ φονεύειν.
Ὅρκια· τὸ κῑ· ῑ· τὰ ἀπὸ τῶν εἰς
ος διὰ τοῦ ιος ἐπὶ τοῦ αὐτοῦ σημαι-
νομένου παρηγμένα· δασύνεται· ὁ
Ἡρωδιανὸς ἐκ τοῦ ὅρος· ἐξ αὐτοῦ
ὅρκος· οἱ γὰρ ὀμνύοντες ὁρίζονται
καὶ ὀμνύουσιν· ἢ παρὰ τὸ ἀρκῶ τὸ
βοηθῶ· ὥσπερ γὰρ βοηθήματι αὐτῷ
ἐχρῶντο· οἱ ἀδικούμενοι· ἢ παρὰ
τὸ εἴργω τὸ κωλύω· ἐπισχετικὸν
γάρ ἐστι τῶν παραβῆναι βουλομέ-
νων· προπαροξύνεται· τὰ διὰ τοῦ

ιον τρισύλλαβα ἀπροσηγορικὰ ἔχον-
-τα τὸ π̄. πρὸ τοῦ ῑ δύο σύμφωνα
ἢ κατὰ σύλληψιν ἢ κατὰ διάστασιν.
προπαροξύνεσθαι θέλουσιν. ὁπότε δὲ
πρὸ τοῦ ῑ οὐκ ἔστιν ἀμετάβολον.
παροξύνεται. οἷον ἴσιον. κυμβίον
ἴχνον. ὄρκιον. τὸ μέντοι ὄρκιον
προπαροξύνεται κτητικῷ τύπῳ.
ἐχόμενον. ἐπεὶ δὲ ταῦτα σημαινόμενά
ἐστι τῷ ὄρκῳ παρωνύμῳ εἴδει ὑπο-
-πεπτωκέναι φαμέν. ὡς τὸ Αἰτώλι-
-ος. κάπριος. αἰζήϊος. εἶπεν ὁπότε
πρὸ τοῦ ῑ. οὐκ ἔστιν ἀμετάβολον.
διὰ τὸ ἴκριον καὶ ἴχνιον.

Ὄρκια τὸ κτ. ῑ. διατί. τὰ ἀπὸ
τῶν εἰς ος διὰ τοῦ ιος ἐπὶ τοῦ αὐ-
-τοῦ σημαινομένου παρηγμένα
εἰ μὲν προπαροξύνεται διὰ τοῦ
ῑ γράφεται. οἷον κάπρος. κάπριος.
Αἰτωλος. Αἰτώλιος. ὀρθός. ὄρθιος, αἰζηός
αἰζήϊος. ὄρκος. ὄρκιος. εἰ δὲ ὀξύνε-
-ται διὰ τῆς ει διφθόγγου γράφεται.
οἷον ἀδελφὸς ἀδελφειός. θυμὸς θυ-
-μειός. ἀρνὸς ἀρνειός. ἀλφὸς ἀλφειός.

γίνεται δὲ παρὰ τὸ εἵργω· τὸ κωλύω.
ἐπισχετικὸς γάρ ἐστι τῶν παραβῆναι
βουλομένων. προπαροξύνεται· τὰ διὰ
τοῦ ειον τρισύλλαβα προσηγορικὰ
ἔχοντα πρὸ τοῦ τ σύμφωνον, ἢ κατὰ
σύλληψιν· ἢ κατὰ διάστασιν προπαροξ-
-ύνεσθαι θέλει. ὁπότε πρὸ τοῦ ι.
οὐκ ἔστιν ἀμετάβολον. οἷον ἰσχίον· ἱστίον.
ἐρῖον. τὸ μέντοι ὅρκιον προπαροξύν-
-εται. ὡς τὸ Αἰτώλιος· κάπριος· ἱρεῖον.
ἴχνιον.

Ὅρμος σημαίνει δύο· τὸν λιμένα· καὶ
τὸ ἀσφάλισμα.

Ὅρμον· περιτραχήλιον κόσμον.
διαφέρει δὲ ἰσθμοῦ. ὁ μὲν γὰρ προσ-
-έρχεται τῷ τραχήλῳ. ὁ δὲ ὅρμος
κεχάλασται. ἰσθμὸς δὲ ὁ τράχηλος.
ἀπὸ τοῦ εἰσιέναι δι' αὐτοῦ τὴν τρο-
-φήν. ἔνθεν καὶ παρίσθμια.

Ὅρκος· παρὰ τὸ εἵργω τὸ κωλύω
ὅργος· καὶ ὅρκος. ἐπισχετικὸς γὰρ
τῶν παραβαινόντων. ἢ παρὰ τὸ ἀρ-
-κεῖν καὶ βοηθεῖν. ὡς γὰρ βοηθήματι
αὐτῷ χρῶνται οἱ ἀδικούμενοι. ἄρκος

καὶ ὄρκος. ἢ παρὰ τὸ ὅρος. πλεονασμῷ τοῦ κ̄. ὅρκος.

Ὅρκιος δασύνεται. τὸ ο λῆγον εἰς ρ̄ ἐπιφερομένου συμφώνου, μὴ τοῦ π̄ ψιλοῦται. οἷον ὀργή. ὀρχηστής. ὀρσίλοχος. σεσημείωται δύο. τὸ ὄργια. καὶ τὸ ὅρκος. ἐπίορκος δὲ διὰ τί ἀναβιβάζει τὸν τόνον. τὰ εἰς ος ὑπὲρ μίαν συλλαβὴν πρὸ μιᾶς τὸν τόνον ἔχοντα ἐν τῇ συνθέσει προπαροξύνονται. οἷον ποικίλος παμποίκιλος. ὅρκος. ἐπίορκος.

Ὅρκος. ἐκ τοῦ ὅρος. ὃ σημαίνει τὸν ὁρισμόν. ἐξ οὗ καὶ δασύνεται. οἱ γὰρ ὀμνύοντες. ἐγράφη εἰς τὸ ὅρκια.

Ὅρκος παρὰ τὸ εἴργειν καὶ κωλύειν. τὸ παραλαμβάνειν. τροπῇ τοῦ γ̄ εἰς κ̄. ἢ παρὰ τὸ ὅρος εἶναι καὶ ἀσφάλεια. τὸ δὲ κ̄. πλεονάζει. ἢ παρὰ τὸ κωλύειν ἡμᾶς παραβαίνειν ἡμῶν τὴν ἀλήθειαν. βαρύνεται. τὰ εἰς κος λήγοντα δισύλλαβα προσηγορικὰ μὴ παρασχηματιζόμενα εἰς

θηλυκὸν γένος. εἰ ἔχει τὴν πρὸ
τέλους συλλαβὴν. εἰς σύμφωνον
λήγουσαν μὴ τὸ λ. βαρύνεται. οἷον
λάκκος. σάκκος. ὅρκος. καὶ εἴ τι ὅ-
μοιον.

Ὅρκος. παρὰ τὸ ἕρκος καὶ τειχίον
εἶναι τῷ ὀμνύοντι. τὸ μὴ παρα-
βαίνειν τὰς συνθήκας.

Ὅρμος. παρὰ τὸ εἴρω τὸ συμπλέ-
κω. ἢ φυλάσσω. ἐξ οὗ καὶ εἱρμός.
γίνεται ὅρμος ὁ λιμήν. καὶ κυκλο-
ειδής ἐστι. δασύνεται πᾶν φωνῆεν.
πρὸ τοῦ ρ. ἐπιφερομένου τοῦ
μ δασύνεται. πλὴν τοῦ ἄρμενον.
καὶ ἀρμένιος.

Ὅρμος. ὁ λιμὴν παρὰ τὸ ἕρμα
εἶναι. καὶ ὁρμίσαι. τὸ ἐν ἀσφαλεῖ
εἶναι. τὴν ναῦν. ὅρμος δὲ ὁ ὁρ-
μίσκος καὶ εἰς τὸ ὅλμος.

Ὅρμος. ὁ λιμήν. παρὰ τὸ ὁρμᾶν
καὶ ἵστασθαι. ἐν αὐτῷ τὰς ναῦς.
ὅρμος ὁ λιμὴν ἐν ᾧ ἀσφαλῶς ἐστὶν
ἡ ναῦς. παρὰ τὸ ἕρμα τὸ ἀσ-
φάλισμα. ὅθεν καὶ ὁρμῆσαι τὸ ἐν

ἀσφαλεία εἶναι τὴν ναῦν.

Ὅρμος· τὸ περὶ τραχήλιον. παρὰ τὸ εἴρεσθαι, καὶ συμπλέκεσθαι. φησὶ γὰρ ὅμηρος·

—— μετὰ δὲ λέκτροισιν ἔερτο.

Ὁρμίσκος εἶδος κόσμου περιδέρη. περιδέρη δὲ ἐστιν περὶ τὸν τράχηλον κόσμος. παρὰ τὸ ἐμπλέκεσθαι περὶ τὸν τράχηλον ὁ μανιάκης.

Ὅρμινος ὄσπριον.

Ὁρμή· ἡ νεῦσις.

Ὁρμῶ· ἔρχομαι. εἰ μὲν ἐστὶ πρώτης συζυγίας τῶν περισπωμένων γίνεται ἀπὸ τοῦ ὅρμος. σημαίνει δὲ δύο· τὸν τοῦ λιμένος ὅρμον· καὶ κόσμον περὶ τὸν τράχηλον. ὡς ἡσίοδος

ὅρμους χρυσείους ἔθεσαν χροΐ.

διαφέρει τὸ ὁρμεῖ καὶ ὁρμᾶ. τὸ μὲν ὁρμεῖ ἐπὶ πλοίου λέγεται. οἷον ὁρμεῖ τὸ πλοῖον. τὸ δὲ ὁρμᾶ τὸ ἁπλῶς ἐπερχόμενον.

Ὄρνεον· παρὰ τὸ νέειν ἤγουν διώκειν, ἢ διὰ τὸ εἰς ὄρη ναίειν. ἤγουν οἰκεῖν.

Ὁρμώμενος· προθυμούμενος. λέγεται

δὲ καὶ ὁ γενεαλογούμενος.

Ὀρνιθευτὴς· καὶ ὀρνιθοσκόπος διαφέρει. ὀρνιθευτὴς μὲν· ὁ θηρεύων ὄρνιθας· ὀρνιθοσκόπος δὲ ὁ μάντις. ὁ οἰωνοσκόπος.

Ὄρνις· ὄρνιθος· παρὰ τὸ ὀρῶ τὸ διεγείρω· οὐδὲν γὰρ ἄλλο ὀρμητικώτερον τούτου τοῦ ζώου. κλίνεται ὄρνις ὄρνιθος. ὁ κανὼν τὰ εἰς ις λήγοντα. πρὸ τοῦ ι. δύο ἀμετάβολα τινὰ διὰ τοῦ θος κλίνονται. οἷον δέλλις δέλλιθος· ἔστι δὲ εἶδος ζώου ὅμοιον μελίσσῃ. μέρμις μέρμιθος. σημαίνει δὲ τὸ σχοινίον. ἕλμινς. ἕλμινθος. οὕτω καὶ ὄρνις ὄρνιθος. πλὴν τοῦ τράλλις τράλλεως. ἔστι δὲ ὄνομα πόλεως· τοῦτο γὰρ διὰ καθαροῦ τοῦ ος κλίνεται.

Ὄρνις τὸ νις βραχύ· τὰ εἰς ις βαρύτονα· εἴτε ἀρσενικὰ εἴτε θηλυκά· συστέλλει τὸ ι. τὸ ὄρνις. Ἀττικοὶ ἐκτείνουσι. ὥστε βραχύ ἐστιν. ἐπὶ δὲ τῆς γενικῆς μακρόν ἐστιν. ἐπειδὴ κανών ἐστιν ὁ λέγων. ὅτι οὐδέποτε παραλήγουσα περιττοσυλλάβου—

γενικῆς μείζων τῆς λήγουσης τῆς
εὐθείας εὑρίσκεται. πλὴν τοῦ
ὄρνιθος. ὅθεν ἐμάθομεν. ὅτι
ἐπὶ τῆς εὐθείας. βραχύ ἐστι τὸ ι.
ἰστέον ὅτι τὸ ὄρνις καὶ τὸ πετεινόν
γενικά εἰσι. τὰ δὲ εἰδικὰ ταῦτα
χὴν. γέρανος. κύκνος.

Ὄρνις. παρὰ τὸ ὀρούειν καὶ ὀρνύ-
σθαι. τί γὰρ ὁρμητικώτερον τῶν
πετωμένων ἢ παρὰ τὸ ὀρῶ. τὸ ὁρμῶ.
ὄρεις. καὶ ὄρνις. τί γὰρ ὁρμητικώ-
τερον πτηνοῦ.

Ὀρνύω. καὶ ὄρνυμι. ἐξ αὐτοῦ ὄρω
τὸ διεγείρω. ὀρύω. καὶ ἐν πλεονασ-
μῷ τοῦ ν. ὀρνύω. καὶ ἐν ὑπερβι-
βασμῷ ὀρνύω. ὄρνυμι. καὶ ὄρνυτος
καὶ εἰς τὸ ὀρίνω.

Ὄρη διὰ τὸ δι' αὐτῶν ὁρᾶν πάντα
τὰ ὄντα.

Ὄρος τὸ βουνίον. παρὰ τὸ αἴρω.
τὸ ἐπαίρω. οἱονεὶ ἡ ἐπηρμένη
καὶ ἀνατεταμένη γῆ. ἢ παρὰ τὸ
ὁρῶ τὸ βλέπω. γίνεται ὄρος. ὁ
εὔοπτος τόπος. ἢ ἀφ' οὗ ἐστι καθ'
εὐθείας ὁρᾶν.

ὄρος· βουνοῦ διαφέρει· ὄρος μὲν
ὁ πετρώδης καὶ ὑλώδης τόπος.
βουνὸς δὲ ὁ καθαρὸς τόπος· ἐκ χώ-
ματος ὑψηλοῦ.
Ὅρος· ὁ ὁρισμός· παρὰ τὸ εἴργω
τὸ κωλύω· ὁ κωλύων καὶ διϊστῶν
τὰ ἀλλότρια· καὶ εἰς τὸ ἐξορία.
Ὅρος διὰ τὸ δι' αὐτὸν ὁρᾶν τὰ
πράγματα.
Ὀρός· ἡ ὑδατώδης καὶ διεφθαρμένη
ὑποστάθμη τοῦ γάλακτος. ἢ τὸ ἀπηκ-
τον γάλα· ὀρὸς λέγεται. ἢ τοῦ γά-
λακτος ὑδατώδης ὑπόστασις.
Ὀρούειν· εἰς τὸ ὁρμῆ· καὶ λάβρα.
καὶ ὀφρύς· καὶ ῥυθμός.
Ὄρουσεν· ὥρμησεν· ἔστι ῥῆμα ὀρού-
ω τὸ ὁρμῶ. ὄρω τὸ διεγείρω.
καὶ ὥσπερ ἀπὸ τοῦ πλήθω· πλη-
θύω. οὕτω καὶ ἀπὸ τοῦ ὄρω ὀρούω.
καὶ πέφυκε τὸ υ πλεονάζειν ἐν
τοῖς ῥήμασι. καὶ γίνεται ὀρύω
καὶ πλεονασμῷ τοῦ ο ὀρούω.
ἔστιν οὖν ὀρύω· καὶ πλεονασμῷ τοῦ
ο βοιωτικῶς, ὀρούω. οἱ γὰρ Βοιωτοὶ

τότε πλεονάζουσι· τοῦ ῡ στοιχείου
τὸ σ· ἡνίκα τὸ ῡ· οὐχ' ὑποτάσ-
σεται φωνήεντι· οἷον κῶδες· κῶσδες
καὶ τὸ κῶμα· κῶσμα· ἔτι καὶ τὸ
εἴληθα εἰλήλουθα· πλεονασμῷ τοῦ
ῡ εἰλήλουθα· καὶ τὸ πληθυντικὸν
εἰληλούθαμεν· καὶ συγκοπῇ εἰλή-
λουθμεν· ἡνίκα δὲ οὐχ' ὑποτάσσε-
ται τὸ ῡ· φωνήεντι· οὐ πλεονάζει
τὸ ῡ· οἷον ὠλή· αὐλή·

Ὅρπηκες· ὅρμηκες τινές· σημαί-
νει δὲ τοὺς κλάδους· ἢ ὀρφηκες·
οἱ εἰς ὀροφὴν ἐπιτήδειοι.

Ὅρπηκες· παρὰ τὸ ἕρπειν
καὶ αὔξειν

Ὀρρωδῶ· φοβοῦμαι, δέδοικα· πα-
ρὰ τὸ ῥώζω· ῥωδῶ· ὡς χῶ· χάζω·
χαδῶ· καὶ ἀπὸ τοῦ ἀρρωδῶ· ὀρρωδῶ·
παρὰ τὸ μὴ ἐρρῶσθαι τὴν ψυχήν·
καὶ εἰς τὸ ἀρρωδεῖν καὶ κατορρω-
δηκότες.

ὀρρωδῶ· ἔτι ῥῶμα ῥῶ τὸ ὑγιαίνω
καὶ ἐξ αὐτοῦ παράγωγον ῥῶμα·
ῥώζω· καὶ μετὰ τοῦ στερητικοῦ ᾱ

ἀρώζω. καὶ τροπῇ τοῦ ᾱ. εἰς ō. καὶ
τοῦ ζ̄. εἰς δ̄. καὶ καταβιβασμῷ τοῦ
τόνου. ὀρρωδῶ. ὁ μέλλων ὀρρωδή-
σω. ὁ παρακείμενος ὠρρώδηκα.
καὶ ὁ ὑπερσυντέλικος ὠρρωδήκειν.
ὠρωδήκεις. ὠρωδήκει. καὶ κατωρ-
ρωδήκει.

Ὄρσεο. διηγείρου ῥῆμα προστακτικόν.
ἐνεστῶτος καὶ παρατατικοῦ. ὁ κα-
νών. οἱ Ἴωνες τὴν ευ δίφθογγον.
εἰς ε̄. καὶ ō διαλύουσιν. ὥσπερ
τῷ. ἐμοῦ. ἐμέο. οὕτως ὄρσου ὄρ-
σεο. τὸ ῥῆμα ὄρσω. γίνεται ἐκ τοῦ
ὄρω. ὁ μέλλων Αἰολικῶς ὄρσω.
καὶ μετάγεται εἰς ἐνεστῶτα. καὶ κλί-
νεται ἄχρι τοῦ παρατατικοῦ.

Ὄρσεο. πόθεν. φαμὲν ὅτι ἀπὸ τοῦ
ὄρω. καὶ Αἰολικῶς ὄρσω. ὡς κέρω
κέρσω. καὶ μετῆλθε ὁ μέλλων εἰς
ἐνεστῶτα. καὶ ἐγένετο ὄρσω ὁ ἐ-
νεστώς. τὸ παθητικὸν ὄρσομαι. καὶ
ὁ παρατατικὸς ὠρσόμην. τὸ τρίτον
ὤρσετο. ὡς ἐτυπτόμην. ἐτύπτετο.
καὶ τύπτου προστακτικόν. οὕτως

ὠρσόμην ὄρσεο. - - - - - συστα-
λείσης τῆς ἀρχούσης. ὥσπερ τὸ ἠπ-
πτετο. τὸ δεύτερον ὄρσου. καὶ τὸ
προστακτικὸν ὄρσου καὶ ἰωνικῶς
ὄρσεο.

Ὀρταλίζει. ὄρω· ἐστὶ ῥῆμα βαρύτο-
νον. ἔνθεν τὸ ὄρτ' ὤρετο μετὰ τάχους.
ὄνομα ῥηματικόν. ὀρτός. τὸ δὲ.
ὀρτός· ποιεῖ ῥῆμα ὀρτίζω. καὶ
προσελθόντος τοῦ αλ. ἐποίησεν
ὀρταλίζω. δηλοῖ δὲ τὸ ἀναρρίπ-
τειν τὰ νήπια τῶν παιδίων.
οἷον ὀρθοῦν ποιεῖν εἰς ὕψος. κατε-
χρῶντο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἥντινα
ὅσω ποιεῖσθαι κίνησιν. τὸ δὲ ἀνορτα-
β λίζεις παρὰ Ἀριστοφάνει. οἷον ἐκου-
φίσθης.

Ὀρτάλιχος. παρὰ τὸ γλίχεσθαι καὶ
τὸ ὀρθοῦν. καὶ πέτεσθαι. ὀρτάλι-
χος. ὅ ἐστιν ὁ ὁρμητικός. παράγωγον
ὅρταλος. καὶ Αἰολικῶς ὀρτάλιχος.

Ὀρσοθύρη. θυρίς. δι' ἧς ὑπερῷον ὑ-
πάρχει ἀνάβασις παρὰ τὸ ὄρω. ὃ
σημαίνει τὸ διεγείρομαι. ὁ μέλλων
Αἰολικῶς ὄρσω. καὶ τὸ θύρα ἐξ αὐτοῦ ὀρ-
σοθύρη.

ὄρσω· εἰς τὸ παλίνορσος.

ὀρχίδιον μέρος σώματος

ὄρχατος· ἡ ἐπ' εὐθείας φυτεία· παρὰ
τὸ δι' αὐτῆς ἡμᾶς ἔρχεσθαι.

ὀρχός· ὅπου ἐντίθεται τὸ φυτόν.
ὀρυχός τις ὤν.

ὀρσωδινῶς· ἐκ τοῦ ὄρω· τὸ διεγεί-
ρω· καὶ τοῦ ὠδίνω.

ὀρτυγομήτρα· παρὰ τὸ ὄρτυξ· ὄρ-
τυγος· τὸ δὲ ὄρτυξ· παρὰ τὸ ὄρω·
τὸ διεγείρομαι.

ὀρυγμαδῶ· κυρίως μὲν τὸ ἐν ὄρει
ψόφω· ἔστι γὰρ κατὰ τὸ ἕτοιμον ὀρυγ-
μαδῶ· νῦν δὲ ἀντὶ τοῦ θορυβῶ.

ὀρυγμαδός· ὁ ἐκ τοῦ πλήθους γι-
νόμενος ἄσημος ἦχος.

ὀρυγμαδός· θορυβάζω· καὶ δωρικῶς
θορυβάξω· ὁ μέλλων παρακείμενος
τεθορύβογα· θόρυβαγος καὶ ἀφαιρέ-
σει τοῦ θ. καὶ τροπῇ τοῦ β. εἰς
μ. καὶ πλεονασμῷ τοῦ δ. ὀρυγμα-
δός:

ὀρφανός ὀρεφθεὶς ὑπό τινος· ἢ ἀπὸ
πρὸς ἢ ἀπὸ μὲς· ἢ παρὰ ὅς ὁ
σημαίνει τὸν μόνον· καὶ τὸ φαίνω

γίνεται οἰοφανός· καὶ ὀρφανός· ὁ
μόνος φαινόμενος· καὶ γονεῖς μὴ ἔ-
χων· ἢ παρὰ τὸ ὄροφος· ὀροφανός.
καὶ συγκοπῇ ὀρφανός. ἢ παρὰ τὸ
ὀρφνὸν ὃ σημαίνει τὸ σκοτεινόν.
ἢ παρὰ τὸ ἁρπάζω ἁρπανός· καὶ
ὀρφανός, οὗτινος οἱ γονεῖς ἡρπά-
γησαν.

Ὄρφηκες· εἰς τὸ ὄρπηκες.

Ὀρφνή νύξ· σκοτεία· παρὰ τὸ ἐρέ-
φω τὸ σκέπω ὀροφή· καὶ ὀρφνή.
ἢ σκέπουσα τὸ φῶς.

Ὀρφνός· εἰς τὸ ὀρφανός.

Ὀρφός· διὰ τὸ ὁρώμενον φεύγει· καὶ
τὸ μὲν ρ̄ ἔχει, διὰ τὸ ὁρᾶσθαι· τὸ
δὲ φ̄ διὰ τὸ φεύγειν.

Ὄρχεις· ἀπὸ τῆς κατὰ τὴν μίξιν ὀ-
ρέξεως.

Ὄρχατος· οἶκος ἀμπέλων· παρὰ τὸ
ἔρχεσθαι ἡμᾶς δι' αὐτοῦ· ἢ παρὰ τὸ
ἕρκει ἠσφαλίσθαι· ὄρχος· ὄρχατος,
ὡς μέσατος· πάχετος.

Ὄρχος τὸ μεταξὺ τῶν ἀμπέλων.

ἢ ὅπου τίθεται τὸ φυτόν. παρὰ
τὸ διέρχεσθαι δι᾽ αὐτῶν. ἢ τὸ μεταξὺ
τῶν φυτῶν. ἐπὶ κήπου.

Ὀρχήσασθαι. παρὰ τὸ ὀρέγειν καὶ
ἐκτείνειν τὰς χεῖρας. ἢ παρὰ τὸ
πούς. ὀρχοῦς ἐν οἷς ἐχόρευον. καὶ
ὁ χορός. ὀρχός τίς ἐστι. κατὰ μετά-
θεσιν στοιχείου.

Ὀρχηστής. παρὰ τὸ ἐπιστίχως καὶ
εἰδημόνως ἐκτείνειν τὰς χεῖρας.

Ὄρχεις. παρὰ τὸ πρὸς ἀφροδίσια
παρέχειν ὄρεξιν. ἢ παρὰ τὸ
ὀρούειν τὸ μόριον. ἢ οἷον ἔρχεις.
εἰς οὓς ἔρχεται ἡ γονή.

Ὀρχοῦμαι. παρὰ τὸ ὄρχος. ὁ σημαί-
νει τὴν ἐπίστιχον φυτείαν.

ὀρῶ. παρὰ τὸ χρῶ. χορῶ. καὶ κατ᾽
ἀποβολὴν τοῦ χ̄. ὀρῶ. καὶ τί μετέ-
χει. χρώμενον γὰρ τὸ ὀπτικὸν πνεῦ-
μα. τὴν ὅρασιν ἀποτελεῖ. δασύνε-
ται. ἀναχωρήσαντος ὅθεν τοῦ χ̄.
ἐμμένει ἡ ἀναλογοῦσα τοῦ χ̄ δα-
σεῖα. ἢ ὅτι τὸ ο̄ πρὸ τοῦ ε̄
ψιλοῦται. ὀρέγω. ὀρέστης. πλὴν τῶν

ὁρῶ· ὁρᾶς· καὶ ὅρος ἀρσενικόν· καὶ ὁρίζω.

Ὁρῶ ὁ παρατατικὸς ὥραον ὥρων. ὥραες· ὥρας· καὶ τὸ τρίτον ὥραε. ὥρα· καὶ τὸ προστακτικὸν ὅραε· ὅρα. ἐξ οὗ καὶ κόρη· ἡ τοῦ ὀφθαλμοῦ· καὶ εἰς τὸ ἄφορον. καὶ κονιορτός· καὶ ὀρθόν· καὶ ὀρίνω· καὶ ὄρνιθος· καὶ ὀπωός· καὶ φρυκτωρεία· καὶ ψαλτήριον καὶ ὥρα.

Ὁρῶ· τὸ βλέπω· τὸ νοῶ· τὸ φοβοῦμαι· καὶ διὰ τοῦ ω μεγάλου τὸ φυλάσσω.

Ὄρωρα πόθεν· ἔστι ῥῆμα ὁρῶ· ὁ μέλλων ὁρήσω· ὁ παρακείμενος ἐνεργητικὸς ὥρηκα· καὶ ὁ μέσος ὦρα. εἴπομεν γὰρ ὡς τὰ περισπώμενα ῥήματα εἰς τὸν μέσον παρακείμενον μίαν ἐνδέουσι τοῦ ἐνεργητικοῦ ἐστιν οἷον ἀπὸ τοῦ ὁρῶ ῥήματος· ὦρα. καὶ Ἀττικῶς ὄρωρα.

τὸ ο μετὰ τοῦ σ

Ὅς· ὅστις ὁ ποιητὴς ποίῳ χρᾶται

τῷ προστακτικῷ. ἢ τῷ ὑποτακτικῷ.
πάντα τὰ προτακτικά. χωρὶς εἰ
μὴ διὰ τὸ μέτρον πολλάκις τὸ ὑπο-
-τακτικόν. ἐξ οὗ καὶ τὸ ὅσφιν. τῶν
φρονέων. ἔστιν ὃ καὶ σφιν.

Ὅς γε ἐπορεύθη. τὸ ὅς ἄρθρου
ὑποτακτικόν. τὰ δὲ ἄρθρα μὴ ἐ-
-παγομένου ὀνόματος τῷ συντάγματι
μετάγονται εἰς ἀντωνυμικὴν σημα-
-σίαν. ὁ δὲ ποιητὴς καταχρηστι-
-κῶς. ἦν ὅδε δωρεὰν ἀγαθός ὑπάρ-
-χει. καὶ εἰς τὸ ὅς τις.

Ὅσιος. ἁγνός. ὁ τὰ θέμιτα πρὸς
θεὸν πράσσων.

Ὅσια. ἀνακειμένη θεῷ. καθαρά.

Ὅσον. ἔπω. ταχὺ μετ᾽ ὀλίγον.

Ὅσημέραι. πάντοτε καθ᾽ ἡμέραν.
ὅσαι ἡμέραι.

Ὄσπριον. κατὰ ὑπέρθεσιν τοῦ ο.
παρὰ τὸ σπείρω. σπερῶ. σπόριόν
τι ὄν. καὶ ἐν ὑπερβιβασμῷ τοῦ
ο ὄσπερον. ὄσπριον δὲ οὐχ εὕρη-
-ται. ὅμηρος.

Ὄσσε· οὐδέτερον· εὐθεῖα τῶν δυϊκῶν.
σημαίνει δὲ τοὺς ὀφθαλμοὺς δυϊκῶς
κλίνεται δὲ τὸ ὄσσος καὶ τοῦ ὄσσεος
καὶ ὄσσους· ἡ εὐθεῖα τῶν δυϊκῶν
ὄσσεε. ἀφαιρέσει τοῦ ἑνὸς ε ὄσσε.
γέγονε δὲ παρὰ τὸ ὄπτω τὸ βλέπω.
Αἰολικῶς ὄσσω. ὡς κόπτω. κόσσω.
καὶ πέπτω. πέσσω. κλίνεται δὲ καὶ
ἀρσενικῶς ὁ ὄσσος. ὥσπερ τὸ
σκότος

Ὄσσω· εἰς τὸ ἀγρώσσω.

Ὄσσε· οἱ ὀφθαλμοί· παρὰ τὴν ἕσιν
καὶ βολὴν τῆς ὄψεως· ὅμηρος.

Ὄσσε· οὐδέτερον· εὐθείας τῶν δυϊ-
κῶν· παρὰ τὸ ὄσσος· ὅπερ παρὰ
τὸ ὄπτω γίνεται· οἱ γὰρ Αἰολεῖς τὰ
τοιαῦτα· εἰς δύο σσ τρέπουσιν.
ἔστιν ὄσσος ἀρσενικόν· τοῦτο γίνε-
ται καὶ οὐδέτερον τὸ ὄσσος. ὥσ-
περ ὁ σκότος καὶ τὸ σκότος. ὁ
τάριχος· καὶ τὸ τάριχον· καὶ ἡ εὐθεῖα
τῶν δυϊκῶν. τῷ ὄσσεε. εἶτα κατὰ
ἀποκοπὴν καὶ συγκοπὴν· τοῦ ε. ἄδη-
λον γὰρ τὸ πάθος· γίνεται ὄσσε.

Ὄσσω τὸ μαντεύομαι· ἐκ τοῦ ὄπτω. παρὰ τὸ εἶναι κατὰ ὄσσα· τουτέστι τὰ ὄμματα. πόθεν τὸ ὀσσόμενος, ἀπὸ τοῦ ὄπτω· καὶ οἱ Αἰολεῖς τὰ εἰς πμ ἔμματα· εἰς δύο σσ· τρέπουσι· γέγονεν ὄσσω· τὸ παθητικὸν ὄσσομαι· καὶ ἡ μετοχὴ ὀσσόμενος.

Ὀσπήτιον παρὰ τὸ ὀπὰς ἐμποιεῖν.

Ὄστεον· κυάνιον· θαλάσσιον· ἴστεον παρὰ τὸ τῆς στάσεως αἴτιον εἶναι. τὸ δὲ ō πλεονάζει.
ἴστεον πλεονασμῷ τοῦ ō· παρὰ τὸ στῶ· στέος· στέον· τὸ αἴτιον τῆς στάσεως καὶ τοῦ σώματος.

Ὅστις ὄνομα ἀναφορικόν· συντίθεται δὲ ἐκ τοῦ ὃς ἄρθρου· ὑποτακτικοῦ καὶ τοῦ τινός· ὀνόματος ἀορίστου. τὸ γὰρ ἐρωτηματικὸν βούλεται τὸν οἰκεῖον τόνον φυλάσσειν. καὶ συνδέτερον ἐγκλίνεται· ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι· ἀναφορικοῦ.

Ὀστέον· ὀστέινον ἐν πλεονασμῷ τοῦ ī. τὸ ὀστοῦ τῆς εὐθείου.

Ὄστρακον· παρὰ τὸ στερεὰν ἀκὴν ἔχειν ἤγουν ὀξύτητα.

Ὅσφιν· ὅστις. ἐνσημαίνει· ἐπειδὴ προ-
στακτικόν ἐστιν. εἰώθασι γὰρ οἱ ποιηταὶ
τὰ προστακτικὰ ἀντὶ ὑποτακτικῶν χρῆ-
σθαι· ὡς τό· ἔνθα σίσυφος ἔσκεν ὃ κέρδιστος γένετ' ἀνδρῶν.
καὶ

αἰδοῖον γαμβρὸν ὅς· ὅ με προσήκει.

ἀντὶ τοῦ ὅστις· χωρὶς εἰ μὴ τὸ μέτρον
κωλύσει.

ὃς μάλα πολλὰ πλάγχθη.

καὶ λέγουσιν ἄρα ἀναλόγως· τοῦτο χρῆται
ὁ ποιητής. ἢ παραλόγως ἀναλόγως.
ἐπειδὴ τὰ ὑπὸ τῶν ἄρθρων ὁμοιοκα-
τάληκτα θέλουσιν εἶναι· τοῖς ἰδίοις
προστακτικοῖς· τοῦ οὗ τῷ ᾧ.

τῷ οὐδὲ κρεί(ων)· ἀχελώϊος ἰσοφαρίζει.
ἔνθ' Ἄρης ἄρχος εἰδὼς ὅτι ὁ ποιητὴς
προστακτικῷ χρῆται ἀντὶ τοῦ ὑποτακ-
τικοῦ τὸ ὅσφιν προσῆκει· καὶ τὸ ὅσφιν
ὦ φρονέων. διὰ ἑνὸς σ. γράφει.

Ὀσφῦς· τὸ τρίτον μέρος τῆς ῥάχεως.
ἡ γὰρ ῥάχις τρεῖς ἐπωνυμίας ἔχει.
ἡ πρώτη καλεῖται ἀρχή. ἡ δὲ δευ-
τέρα ἰξύν. ἡ δὲ τρίτη ὀσφῦς· οἱονεὶ
ὀστοφυής· ὅτι ὀστώδης κατὰ σωρεύσιν.

ὀσφῦς. ἡ ζώνη. κατὰ δὲ πλάτωνα. ὀσφῦς λέγεται. ἡ ψύα. παρὰ τὸ σφύειν τὰ παιδία. ἀπὸ τῆς κατιούσης ἐκεῖθεν γονῆς.

ὄσφρησις. ἐκ τοῦ ὀσφρῶ ὀσφρήσω. ἐξ οὗ καὶ ὀσφράδιον. ὅταν δύο μέρη λόγου εἶσιν. ἐκ τοῦ ὅτε καὶ τοῦ ἄν. τὸ ὅτε ἐπίρρημα ἀναφορικόν. καὶ τοῦ ἂν συνδέσμου παραπληρωματικοῦ.

ὅτι τοῦ διότι διαφέρει. τὸ μὲν γὰρ διότι. αἰτίαν δηλοῖ. τὸ δὲ ὅτι. ὅτε μὲν αἰτίαν. ὅτε δὲ βεβαίωσιν.

ὅτι τοῦ διότι διαφέρει. τὸ μὲν γὰρ ὅτι. αἰτίαν δηλοῖ. ὅτε δὲ βεβαίωσιν. τὸ δὲ διότι. αἰτίαν μόνον. αὐτίκα γοῦν ὅτι μὲν ἐκλείπει ἡ σελήνη πάντες ἴσμεν. διότι δέ. οὐκέτι.

ὅτι σύνδεσμος. εἰς τὸ γάρ. καὶ δηλονότι.

ὅτις ἐπίκοινον. ἀόριστον ὄνομα. πόθεν σύγκειται. ἐκ τοῦ ὁ. ἄρθρου προτακτικοῦ. καὶ τοῦ τίς. σημαίνει δὲ τὸ ὅστις. ἀεὶ γὰρ ὁ ποιητὴς τὰ προτακτικὰ ἄρθρα, ἀντὶ ὑποτακτικῶν χρῆται. χωρὶς εἰ μὴ μέτρον κωλύσει.

Σίσυφος Αἰολίδης ὃ κέρδιστος γένετ' ἀνδρῶν.

καὶ

Αἴσονος νεμεσητὸς ὃ μὴ προφύγῃ πεφάσθαι.

ποτὲ δὲ διὰ τὸ μέτρον· προσλαμβάνει τὸ σ· ὃς πολλὰ ἐσθένησεν.

Ὄτλος ὁ μόχθος· παρὰ τὸ τλῆν μετὰ τοῦ στερητικοῦ α. ἄτλος. καὶ ὄτλος.

Ὀτραλέως· ὀξέως· ἐνεργῶς· ἔστι ῥῆμα τρέω· τὸ φοβοῦμαι· ἐξ αὐτοῦ ὄνομα ῥηματικόν· τρῆς· μετὰ τοῦ στερητικοῦ α· ἀτρῆς· ὁ ἄφοβος· καὶ τροπῇ ὀτρῆς· καὶ ἰωνικὸς ὀτρηρός· λαοὺς ὀτρηρός· ἡ γενικὴ τῶν πληθυντικῶν ὀτρηρῶν· καὶ τὸ ἐπίρρημα ὀτρηρῶς· καὶ ὥσπερ παρὰ τὸ κάρπιμος πλεονάζει ἡ αλ συλλαβὴ καὶ γίνεται καρπάλιμος, οὕτω καὶ ὧδε.

Ὀτρηρός· ὁ δι' ἑαυτοῦ παροξυνόμενος. τροπῇ τοῦ υ. εἰς η. ὀτρύνω γὰρ τὸ παροξύνω.

Ὀτρύνω παροξύνω. παρὰ τὸ ὀρῶ. ὀρύνω. καὶ ὀρύνω. καὶ ὀτρύνω.

Ὀτρηρὸς ὁ γενναῖος καὶ ἄφοβος· παρὰ τὸ τρέω τὸ φοβοῦμαι τρέω. τρηρός. καὶ τρηρὸς ὁ φοβούμενος μετὰ τοῦ

στερητικοῦ ᾱ·

ὅτω· εἰς τὸ τε·

### τὸ ο̄ μετὰ τοῦ ῡ.

Οὐδαμῶς· ἐπίρρημα μηδότητος. γί-
-νεται δὲ παρὰ τὸ οὐδαμός ὄνομα.
παρ' οὗ καὶ τὸ οὐδαμόθεν ἐγένετο.
ἐκ τοῦ ὀω οὐδαμός ἀρσενικοῦ μετή-
-χθη εἰς ἐπίρρημα· καὶ γίνεται οὐδα-
-μῶς. διὰ τοῦ ω̄ μεγάλου· τὸ δὲ οὐδα-
-μῆ ἀπὸ θηλυκοῦ· ὡς ἄλλος ἄλλη·
ἐκεῖνος· ἐκείνη· ὅθεν ἔχει τὸ ῑ· ἀπὸ
δὲ δοτικῆς τὰ τοιαῦτα ἐπιρρήματα
ἐστί· καὶ δῆλον ἀπὸ τοῦ ταύτῃ ἐπί-
-έναι· καὶ ἐκεῖ αὐτὴ λέγομεν.

Οὐδέν· διὰ τοῦ δ̄· καὶ οὐθὲν διὰ
τοῦ θ̄· διαφέρει· οὐδὲν δὲ λέγει, τὸ
ἐν τῷ καθόλου· ὅταν λέγομεν οὐδὲν
ἐν κόσμῳ κενόν· τὸ δὲ διὰ τοῦ θ̄
λεγόμενον· ἀντίληπται. ἐκ τοῦ οὔτε.
καὶ τοῦ ἕν· οἷον οὔτε ἕν· οὔτε δύο.

Οὐδέν· ὄνομα οὐδέτερον· τὸ ἀρσε-
-νικὸν οὐδείς. σχήματος συνθέτου καὶ

πόθεν σωτίθεται· ἐκ τῆς ς' ἀφαιρέσε-
:ως· καί τοῦ εἷς· γίνεται ἑείς· καί
πλεονασμῷ τοῦ δ· οὐδείς· οὐδενός· ὁ
κανών τά εἰς εἰς μονοσύλλαβα ἀρ-
:σενικά διά τοῦ νος κλίνεται· κτείς.
κτενός· δείς· δενός· κτείς σημαίνει
τό κτένιον· λοιπόν καί ἐν τῇ συνθέ-
:σει· τόν αὐτόν κανόνα φυλάττουσι.
καί ἐκ τοῦ τε· καί τοῦ θεν· καί τρο-
:πῇ τοῦ θ· εἰς δ· οὐδέν· ἀκινδυνότε-
:ρον ἐστι τό διά τοῦ θ.

Οὐκέθεν· ἐκ τῆς οὐ ἀρνήσεως· καί τῆς ἕθεν
ἀντωνυμίας· ἔκεθεν· ἰστέον ὅτι τό οὔκεθεν
χωρίς τοῦ κ εὑρέθη· διότι ἐγκλίνεται.
τά δέ ἐγκλινόμενα οὐδέποτε προσλαμ-
:βάνουσιν. οἷον ἀμέ, ἤκουσέ με· ἄλλως
δέ αἰτία μέν ἐστιν ἡ ἄρνησις τοῦ πλε-
:ονασμοῦ ἀλλ' ὅμως οὐ δύναται λέγειν εἰς
κ· οὐδέποτε γάρ λέξις ἑλληνική εἰς
ἄφωνον λήγει· δεῖ ὅμως αὐτό ἐπιφέρειν
τῇ ἑτέρᾳ λέξει. εἰ δ' ὅμως ἔλαβεν αὐτό
ἐν τῷ ἔθει· ἔμελλε φυλάττειν ἐν
πλεονασμῷ· καί οὐκέτι ἐνεκλίνετο.
Ὅμηρος.

οὐδενόσωρα· οὐδεμιᾶς φροντίδος ἄξια.
ἀπὸ τῶν ὡρῶν· ὥρα γὰρ ἡ φροντίς.
Οὐ ἐπίρρημα ἀρνήσεως.
Οὐδίζω· καὶ προσουδίζω· τὸ εἰς γῆν
καταβάλλω· παρὰ τὸ οὖδας τὸ ἔδαφος.
Οὐδένεια· παρὰ τὸ οὐδενή.
οὐδὲν διὰ τοῦ δ· καὶ οὐθὲν διὰ τοῦ θ
διαφέρει· οὐδὲν μὲν γὰρ τὸ ἐν τῷ καθό-
λου· ὡς φαμὲν οὐδὲν ἐν κόσμῳ κενόν.
πᾶσα γὰρ ἡ τοῦ κενοῦ φύσις βαστάζε-
ται· οὐθὲν δὲ ἀνακλιθὲν εἰς τὸ ἴδι-
ον ἀντίστοιχον· σημαίνει τὴν τοῦ ἑνὸς
ἄρσιν· καὶ ἐπιφορὰν ἑτέρας ἀρχῆς.
οὐθέν· οὔτε δύο· τὸ δὲ διὰ τοῦ δ.
ἀπαρτίζει διὸ καὶ ὅμηρος φησὶν
οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.
Οὐδέτερον ἐστί· τὸ μὴ ὂν ἓν ἐκ τῶν
προϋποκειμένων γενῶν· ἀρσενικῶν
καὶ θηλυκῶν.
Οὐθέν· ἐστὶν ὄνομα οὐδείς· καὶ ἰσοσυλ-
λαβεῖ τῷ τίς. ὥσπερ ἀμός.
τῶν ἁμόθεν γε θεὰ θύγατερ διός εἰπὲ καὶ ἡμῖν.
καὶ τοῦ εἷς ἑνός· τὸ οὐδέτερον ἕν.
γίνεται οὐδὲ ἕν· καὶ ἐν συγκοπῇ· οὐδέν.
καὶ τροπῇ τοῦ δ εἰς θ· οὐθέν.

Οὐθέν· εἰς τὸ οὐδέν.

Οὐθὲν μέν· οὐδαμῶς δι' αὐτόν. πόσοι τόνοι δύο· διατί· ἡνίκα εὑρεθῶσιν ἐγκλιτικὰ ἐφεξῆς ἀλλήλων κείμενα, πολλαὶ ἔσονται καὶ παράλληλαι αἱ ὀξεῖαι.

Ἦρά νύ μοι τι πίθοι λυκάονος υἱὲ δαΐφρον.

Οὐκ ἦν· οὐχ ὑπῆρχε· ἐκ τοῦ ἔω τὸ ὑπάρχω. ὁ παρατατικὸς ἦον· καὶ τὸ δεύτερον ἦες· καὶ τὸ τρίτον ἦε· καὶ κατὰ κρᾶσιν τοῦ ε· καὶ η· εἰς η μακρόν· καὶ πλεονασμῷ τοῦ ν ἦν.

Οὐκ ᾔδεισαν· εἴδω· εἴσω· εἶδα· ὁ ὑπερσυντέλικος εἴδειν· καὶ διαλύσει τῆς ει διφθόγγου· εἴδειν καὶ τροπῇ τοῦ ε εἰς η· ᾔδειν· τὸ τρίτον τῶν πληθυντικῶν ᾔδεισαν.

Οὐκί· οὐχί· ἐπίρρημα ἀρνήσεως. καὶ οἱ Ἴωνες ἀντὶ τῶν δασέων τοῖς ψιλοῖς χρῶνται. τὸ γὰρ ἀφικόμεθα ἀπικόμεθα· ἐκεῖνοι. καὶ τὸ εἴληφα εἴληπα. καὶ τὸ ἀπείληφα ἐκεῖνοι ἀπείληπα λέγουσιν. οὕτω καὶ τὸ

οὐχὶ ἐκεῖνοι· φησὶ λέγουσιν.

Οὔκουν· ἐπίρρημα ἀρνήσεως· ἀντὶ τοῦ οὐδαμῶς.

Οὐκοῦν· σύνδεσμος ἐναντιωματικός.

Οὔκουν· καὶ οὐκοῦν· διαφέρει· οὔκουν μὲν ἀποφαντικῶς· ἀντὶ τοῦ οὐδαμῶς περισπωμένως δὲ· συλλογιστικός· καὶ σημαίνει ἀπόφασιν.

Οὐλή· παρὰ τὸ οὖλε τέ· ἀντὶ τοῦ ὑγίαινε.

καὶ μέγα χαῖρε· θεοὶ δέ τοι ὄλβια δοῖεν.

Οὐλαμός· ζήτει εἰς τὸ φάλαγξ.

Οὖλαι· καὶ οὐλοχύται· παρὰ τὸ ὅλον. ὡς πρὸς τὰς ἀληλεσμένας κριθάς.

Οὖλαι· τρίχες· παρὰ τὸ εἰλεῖσθαι· ὡς ἐναντίαι· πεπτάναι λέγονται.

Οὐλαμόν· τάξιν στρατιωτικὴν ἢ ἄθροισμα· παρὰ τὸ θορυβεῖν καὶ λαλεῖν· κατὰ ἀντίφρασιν οὐλαμός ὁ πολλὰ λαλῶν καὶ οὐκ ἄλαλος· καὶ σιωπητικός.

Οὐλαμός· τάξεως· γένος· πολιτικὸν ἄθροισμα· ἡ τάξις· ἐκ τοῦ τεσσαράκοντα ἀνδρῶν συνεστηκυῖα.

Οὐλή· εἰς τὸ βούλω· καὶ οὐλοχύτης.

Οὐλή· τὸ ὑγιασθὲν τραῦμα· καὶ φαινόμε-
νον· ἄλλοι δὲ τὸ ἐπιπόλαιον ἕλκος.
Οὐλή· καὶ ὠτειλὴ διαφέρει· οὐλὴ μὲν
γάρ ἐστιν ἡ ἐκ παλαιοῦ τραύματος ὑγι-
ασμένη πληγή· ὠτειλὴ δὲ τὸ πρόσ-
φατον τραῦμα· καὶ ὅμηρος δὲ τετή-
ρηκε τὴν διαφοράν· εἰπών

οὐλὴν αὐτὴν δ' ἔρρεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς.

Οὐλομένην ἀλήθειαν· ὄνομα μετοχικόν.
ἀπὸ τοῦ παθητικοῦ τοῦ οὐλόμενος
οὐλομένη· οὐκ ἀπὸ τοῦ ὄλω καθώς
τινὲς φασίν· οὐδὲν γὰρ ἀπὸ τοῦ οὔλω
βαρύνεται· πλὴν τοῦ βούλω· ἢ παρὰ
τὸ ὄλω τὸ ἀπολλύω· καὶ πλεονασ-
μῷ τοῦ υ· εἶπε δὲ ἀντὶ τοῦ ἐπιθε-
τικοῦ ὀνόματος τὴν οὐλήν. ὡς γὰρ
τοὐναντίον ἐπὶ τοῦ ψάμμου κυανί-
ζω· ὃ χωρὶς διὰ τοῦ ι γράφεται·
σημαίνει δὲ ψάμμου κυανίζουσαν.
γέγονε δὲ ἀπὸ τῆς μετοχῆς ὄνομα.
ὥσπερ καὶ τὸ ἡγημένη· καὶ τὸ ἐρω-
μένη· ὑπὸ δίωνος· ἀπολύτως δὲ
λεγόμενα λαμβάνει ὀνόματα καὶ

καὶ συντίθεται. καὶ ἄλλως ἐστιν. ὀλ-
λω· τὸ ἀπόλλω· τούτου γὰρ ὄλω.
ὄλεις. ὄλει. πρώτης συζυγίας τῶν
περισπωμένων. ἢ παρὰ τὸ ἔλω τὸ
φονεύω. ὄλω. ὡς πέλω τὸ ὑπάρχω.
πολῶ. μένω. μονῶ. πέτω ποτῶ.
ὄλω ὀῶ ὁ μέλλων ὀλέσω. καὶ ἡ
μετοχὴ παθητική. τὸ θηλυκὸν ὀλε-
μένη. καὶ ὑπερβιβασμῷ. οὐλομένη.
σημαίνει δὲ τὴν ὀλεθρίαν. καὶ ἔστιν
ἡ μετοχή. ἀντὶ ὀνόματος. καὶ τοὐ-
ναντίον ὄνομα ἀντὶ μετοχῆς. οἷον
ψάμμος κυανέη. ἀντὶ τοῦ κυανίζου-
σα. ὅμηρος.

Οὐλομένη. παρὰ τὸ ὄλω τὸ φθείρω.
ὀλέσω. ὤλεσα. ὁ δεύτερος ἀόριστος
ὦλον. ὁ παθητικὸν ὤλην. ὁ μέσος
ὠλόμην. ἡ μετοχὴ ὀλόμενος. ὀ-
λομένη. ὑπερθέσει τοῦ δικρόνου
οὐλομένη. ἡ ὀλεθρία.

Οὖλος. εἰς τὸ πανόλβιος.

Οὖλος σημαίνει τὸν ὑγιῆ. καὶ ὁλόκληρον.

καὶ τὴν κριθήν. καὶ τὴν τρίχα. καὶ
οὐλὴ ὀξυτόνως. τὸ ὑγιασθὲν τραῦμα
καὶ φαινόμενον. καὶ οὖλον ἡ συνέχουσα
τοὺς ὀδόντας σάρξ. καὶ οὖλον τὸ
ἁπαλόν.

Οὐλομένην. ὄνομα. μετοχικόν. ση-
μαίνει δὲ τὴν ὀλεθρίαν.

Οὐλοχύτας. τὰς πεφρυγμένας κριθὰς
καὶ ἐπιχεομένας. ἐκ τοῦ οὐλαὶ βαρυτό-
νως. ὃ σημαίνει τὴν κριθήν. τοῦτο
ἐκ τοῦ οὖλος. σημαίνει δὲ τὸ ὁλόκλη-
ρον. ὡς τό. ἄρτου οὖλον ἔχλ.
καὶ ἐξ αὐτοῦ οὐλαί. πρὸ τοῦ γὰρ εὑρε-
θῆναι τὸν δημητριακὸν καρπὸν τὸν
σῖτον ὁλοκλήρους τὰς κριθὰς ἤσθιον.
γίνεται δὲ οὖλος ἐκ τοῦ ὅλος. πλεο-
νασμῷ τοῦ υ̅. ὅλος γὰρ ὁ ὁλόκληρος.
καὶ οὐλαὶ βαρυτόνως ἐπὶ τῆς κριθῆς.
ὀξυτόνως δὲ οὐλή. τὸ ὑγιασθὲν τραῦ-
μα καὶ φαινόμενον. καὶ λοιπὸν ἐκ
τοῦ οὐλῶ καὶ τοῦ χέω. γίνεται οὐλο-
χύτης. τὸ λο μικρόν. ὡς ἔστιν ὁ
κανὼν ἐν τῷ βουληφόρος.

Οὐ μέν πως. τὸ μὲν ὀξύνεται. ἐπειδὴ αἱ ὀξυνόμεναι λέξεις. αἱ διὰ τὴν συνέπειαν τρέπουσαι τὴν ὀξεῖαν εἰς βαρεῖαν. ἐπιφερομένου ἐγκλιτικοῦ μορίου τὴν ἰδίαν φυλάττουσι τάξιν. ζεὺς δ' ἐπεὶ οὔ. καὶ ζεὺς δὲ μέγα κρονίδης. καὶ οὐ μέν πω πάντες βασιλῆες. τὴν γὰρ βαρεῖαν πάλιν εἰς ὀξεῖαν μετήνεγκεν.

Οὐ μὴ ἀναστήσωσι. πολλάκις εἰρήκαμεν. ὅτι ἡ οὐ ἄρνησις μετὰ τῆς μὴ ἀορισκομένη ὑποτάσσει. ὡς τό. οὐ μή μου νίψῃς τοὺς πόδας. καὶ οὐ μὴ ἀναστήσωσιν.

Οὕνεκα. καὶ εἵνεκα διαφέρει. οὕνεκα μὲν γὰρ σημαίνει τὸ ὅτι. εἵνεκα δὲ χάριν. καὶ ὅμηρος.

οὕνεκα τὸν χρύσην —

ἀντὶ τοῦ ὅτι.

εἵνεκα εἰγκεδανῆς —

ἥμαρτεν οὖν ὁ καλλίμαχος εἰπὼν β.

εἵνεκεν — ἄκρισμα.

ἔδει γὰρ εἰπεῖν οὕνεκα.

Οὕνεκα. σύνδεσμος αἰτιολογικός.

ποίου σχήματος· ἁπλοῦ. ἔχει δὲ ἔννοιαν συνθέτου. ἀντὶ τοῦ οὗτινος· εἵνεκα. ἀλλὰ κανὼν ἐστὶν ὁ λέγων. τὰ ἐν ἀποδόσει τούτοις παραλαμβανόμενα ἁπλᾶ καθεστήκασιν οἷον τέως. ἕως. τόσος. ὅσος. τὸ οὗ ἕνεκα ἐν ἀνταποδόσει τοῦτο παραλαμβανόμενον λέγομεν τοὔνεκα. τούτου χάριν ἐν ἁπλότητι καθεστήκασι. τὸ δὲ τοὔνεκα. ἐστὶ σύνδεσμος ἀνταποδοτικός.

Οὕνεκα καὶ εἵνεκα διαφέρει. τὸ μὲν οὕνεκα σημαίνει τὸ ὅτι. τὸ δὲ εἵνεκα ἕνεκα. χάριν καὶ εἰς τὸ ἕνεκα.

Οὐνογούνδορος· ὄνομα κουρσάρος· κουτονείζων δὲ ὅλως ὀλιγάληθος. κάκοσμος· δυσθέωρος· πολίορκος· βουλευτοτόλμητος· σύντομος· τερπνός. μικρότατος· αἰσχρότατος· ἕτοιμος· εἰς τὸ ἔφοδον.

Οὐδαμῶς οὐδέπω.

Οὔπω· ἐπίρρημα ἀρνήσεως. συντέθη ἐκ τῆς οὐ ἀρνήσεως. καὶ τοῦ πω παραπληρωματικοῦ συνδέσμου, ὀξύνεται διά τι μακρὰ πρὸ μακρᾶς

οὐ πεπείραται·

Οὔπω· ποίου μέρους λόγου ἐστί· συνδέσμου· συντάσσεται δὲ τῇ οὐ ἀποφάσει. καὶ τῇ μὴ ἀπαγορεύσει· οἷον οὔπω ἔφαγον· οὔπω ἐδείπνησα. μέλλων γάρ τις δειπνεῖν, τοῦτο αὐτὸ ἀποφαίνεται· ὁ δειπνῶν· ἀπόφασιν ποιεῖται τελείαν· τὸ δὲ μή πω πεπείραται τὴν πρὸς καιρὸν ἀπαγόρευσιν τοῦ πράγματος δηλοῖ· ὑπισχνεῖται δὲ μέλλων ἔσεσθαι· σεσημείωται παρέλκον ἐνταῦθα κείμενον· οἷον

ὡς δ᾽ οὔπω πάγχυ μάκαρες θεοὶ ἐκλελάθοντο.

Ὅμηρος.

Οὐλομένην· μετοχή ἀντὶ ἐπιθετικοῦ ὀνόματος τοῦ ὀλοιῶ· ὡς καὶ ἐκ τοῦ ἐναντίου ψάμμῳ κυανέῃ· ἀντὶ τοῦ κυανιζούσῃ· διαφέρει δὲ μετοχικὸν ὄνομα μετοχῆς· ὅτι ἡ μετοχή γενικῇ συντάσσεται μετὰ τῆς ὑπὸ προθέσεως· μὴ οὕτως δὲ ἔχουσα· εἰς μετοχικὸν ἀνθυπάγεται ὄνομα. οἷον οἰκουμένη ὑπὸ μακεδόνων· οἰκουμένη δὲ ἁπλῶς· μετοχικὸν ὄνομα.

καὶ παθ. τὸ μέδων· εἰ μὲν συντάξεις τοῦτο μετοχῇ· ὡς καὶ βασιλεὺς μέδων. ἀπόλυτον· ὄνομα μετοχικόν· ὡς καὶ βασιλεύς.

Ὠκεανόθι· ἐκ τοῦ ὠκεανοῦ· ἐστὶν ἐπίρρημα τοπικόν· τὸ ο μικρόν· κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς θι ἐπιρρήματα τὴν παραλήγουσαν θέλει φυλάττειν τῶν εἰς θεν ἐπιρρημάτων· οἷον ἰλιόθεν· ἰλιόθι· ἀβυδόθεν ἀβυδόθι· καὶ ἔστι τὸ ο μικρόν· κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς θεν ἐπιρρήματα παράγωγα· τὴν τῶν πρωτοτύπων φυλάττει γραφήν· οἷον ἐστὶν ἠώς· καὶ σημαίνει τὴν ἡμέραν· καὶ γράφεται διὰ τοῦ ω μεγάλου· καὶ κατὰ παραγωγὴν γίνεται ἠῶθεν· καὶ φυλάττει ἡ παραγωγὴ τοῦ πρωτοτύπου· καὶ Ὅμηρος· ἠῶθεν δ᾽ ἰδαῖος ἴτω κοίλας. καὶ πάλιν ἐστὶν ἕως· καὶ κατὰ παραγωγὴν γίνεται ἕωθεν· καὶ γράφεται τὸ ω ἐκ τοῦ πρωτοτύπου· καὶ πάλιν ἐστὶ ἴλιος· καὶ γράφεται τὸ ο

μικρόν· καὶ κατὰ παραγωγὴν ἰλιόθεν.
καὶ φυλάττει τὴν τοῦ πρωτοτύπου
γραφήν. οὕτω καὶ οὐρανός· οὐρανόθεν.
καὶ ἐξ αὐτοῦ οὐρανόθι. διατί παροξ-
ύνεται· τὰ εἰς θεν ἐπιρρήματα τὰ
ō παραληγόμενα. πρὸ μιᾶς τόνου
ἔχουσιν· οἷον κυκλόθεν. ἀβυδόθεν.
οὐρανόθεν. ἰλιόθεν. χωρὶς τῶν ἐπι-
μεριζομένων. οἷον ἑκάστοθεν ἔκτοθεν.
ἔνδοθεν. τούτοις ἐξηκολούθησε.
καὶ τὸ προπάροιθεν. κατὰ πλεονασ-
μὸν τοῦ ι γινόμενον.

Οὐρανός. ὁρᾶται νοερῶς. ἢ παρὰ
τὸ ὤρω· τὸ φυλάσσω. ἢ ὁρανός·
τουτέστιν ὅρασις νοῦ. ἢ διὰ τὸ ὁρᾶσθαι.
ἄνωθεν. ἢ ὅρασις ἄνω κειμένη. ἢ
παρὰ τὸ ὁρῶ· τὸ βλέπω. ὁ πᾶσιν
ὁρώμενος. ἤτοι φαινόμενος.

Ὀρανός. καὶ ἐν πλεονασμῷ τοῦ υ.
οὐρανός. καὶ ὤφειλε δασύνεσθαι. ἐ-
πεὶ ἀπὸ τοῦ ὁρῶ γίνεται. ἀλλὰ κα-
νών ἐστιν ὁ λέγων. ὅτι τὸ υ πλεονά-
ζον ψιλοῖ τὰ πρὸ αὐτοῦ φωνήεντα.

ὄρος. οὖρος. ἕκηλος εὔκηλος. ἕαδε. εὔαδε.

Οὐρεῖν εἰς τὸ ἀκταίωρος.

Οὐρῆας. ἡμιόνους. ὁ οὐρεύς. τοῦ οὐρέως καὶ οὐρῆας ἰωνικῶς.

Οὐρῆας. παρὰ τὸ ὄρος. ὀρεύς. ἡνιοχεύς. ἡνιοχεύς. λέγεται γὰρ ἐν ὄρεσι μᾶλλον δύνασθαι ἐργάζεσθαι. κατὰ πλεονασμὸν τοῦ υ. οὐρεύς καὶ ἡ γενικὴ οὐρῆος. κατὰ ἴωνας. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν οὐρῆας. παρὰ τὸ οὐρῶδω σπόρου ἔχειν. ἣν καὶ Ἀριστοτέλης ἱστορεῖ τεκεῖν.

Οὐριοδρομήσαντες. εὐφόρου ἀνέμου πλεύσαντες. οὖρος γὰρ ὁ εὔφορος ἄνεμος. καὶ ἡ διὰ θαλάσσης ὁδός. λέγεται δὲ οὖρος. καὶ ὁ φύλαξ. καὶ ἀνθωτήρ.

Οὖρος. δὲ ὁ ἄνεμος. παρὰ τὸ ὀρούειν καὶ ὁρμῆς αἴτιον εἶναι. οὖρος δὲ ὁ φύλαξ. παρὰ τὸ ὁρῶ τὸ φυλάσσω. ὁ ἐπὶ τῶν ὀρείων τεταγμένος καὶ προορῶν. λέγεται δὲ φρουρός. οἷον πρόορός τις ὤν. καὶ συναιρέσει πρόρος καὶ φρουρός. οὖρος γὰρ τοῦ ἄνου.

καὶ οὖρος τὸ ὄρος τῆς γῆς· ἀφότερα
ἢ δύτερα·

Οὖρον εἰς τὸ ἐξουρίας.

Οὖρος· ἄνεμος· παρὰ τὸ ὀρούειν τὸ
ὁρμᾶν· καὶ εἰς τὸ οὐριόδρομος.

Οὐροῦς· τὰ νεώρια· ἤγουν οἱ ὁλκοί·
παρὰ τὸ ὀρούω· ὀρούσω· κατὰ ἀπο-
κοπὴν τοῦ ω· ὀροῦς καὶ πλεονασ-
μῷ τοῦ υ οὐροῦς· δι' αὐτῶν γὰρ ἐγεί-
ρονται καὶ ἕλκονται αἱ νῆες εἰς τὴν
θάλασσαν· καὶ ὅμηρος·

οὐροὺς δ' ἐξεκάθαιρον νηῶν—

Οὐρῶ εἰς τὸ κοδεω·

Οὖς διατί οὐ κλίνεται· οὐδέποτε οὐ-
δέτερον ὄνομα· εἰς ους λήγει· πλὴν
τοῦ οὖς· τοῦτο δὲ καὶ ὡς μονῆρες ὄν.
καὶ μὴ ἔχον τι κοινωνῆσαι· ἔμεινεν
ἄκλιτον.

Οὖς διὰ τὸ τὴν ὄπα δι' αὐτοῦ χωρεῖν

Οὐρανιῶδες· φυλάττει ὥσπερ ὄνομα.
καὶ ἔστιν εὐθεῖα τῶν πληθυντικῶν.

Οὐκ ᾔδειν· εἴδω· ὁ μέλλων εἴσω·
ὁ παρακείμενος εἶδα· ὁ ὑπερσυντέ-
λικος εἴδειν· καὶ διαιρέσει τοῦ ει εἰς
τὸ η· ᾔδειν.

Οὖσα· ὑπάρχουσα· παρὰ τὸ οἴσω.
τὸ κομίσω· οἶσον οὐδετέρως· καὶ
προπ῀ τοῦ ῑ· εἰς ὃ φιλόν· οὖσον.
ἐν ᾧ κομίζεται ἡ ναῦς.

β οὐδ' οὖσα γεώνης ὠγάλινα χερμάδος.

Οὐδὲ ἔοικε. τί διαφέρουσιν αἱ ἐγ-
κλινόμεναι ἀντωνυμίαι· τῶν ὀρθο-
τονουμένων· διαφέρουσιν. ὅτι αἱ
μὲν ὀρθοτονούμεναι ἀντωνυμίαι·
διαστολὴν ἔχουσιν ἑτέραν πρώτου
προσώπου· οἷον ἐμοὶ ἔδωκας καὶ
οὐκ ἄλλῳ· ἐμοῦ ἤκουσας· καὶ οὐκ
ἄλλου· αἱ δὲ ἐγκλινόμεναι ἀπόλυ-
τα πρόσωπα δηλοῦσιν.

οὐδὲ ἔοικε κακὸν ὣς δίεσθαι.

καὶ οὐ σέο νῶ ἔραμαι—

Οὐσία· ὡς οὖσα· κάλλιστος τοῦ τύχον-
τος ὕπαρξις· ἢ ὡς ἀδιάπτωτος μέ-
νουσα· ἢ παρὰ τὸ ὢ μονοσύλλαβον
ῥῆμα· τὸ σημαῖνον τὸ ὑπάρχω· οὗ
ἡ μετοχὴ ὤν· ὄντος· καὶ τὸ θηλυκὸν
οὖσα· καὶ ἐξ αὐτοῦ ὄνομα θηλυκὸν
οὐσία· πλεονασμῷ τοῦ ῑ· ἡ οὖσα
ἀεὶ καὶ ὑπάρχουσα· ὥσπερ παρὰ τὸ

γερῶν γέροντος γερουσία. καὶ γερούσιος ὁ ἔντιμος. τὸ σι. σ. διατί. τὰ διὰ τοῦ σια παροξύτονα θηλυκά. διὰ τοῦ σ γράφεται. οἷον μετουσία. γερουσία, παρρησία. παρουσία. ἀφθαρσία. ζήτει.

Οὐσία. ἐκ τοῦ ἐῶ. τὸ ὑπάρχω. ὁ δεύτερος ἀόριστος ἦον. ἡ μετοχὴ ἐών. ὤν. ὄντος. τὸ θηλυκὸν οὖσα. καὶ ἐξ αὐτοῦ ὄνομα θηλυκὸν οὐσία. ἡ ὑπάρχουσα ἔν τινι. ὥσπερ καὶ τὸ γερῶν γέροντος γερουσία. τὸ σι. σ. διατί. τὰ διὰ τοῦ σια παροξύτονα.

Οὐσία. ἡ οὖσα ἀεὶ καὶ ὑπάρχουσα. παρὰ τὴν ὢν μετοχὴν ὕπαρξιν δηλοῦσαν. καὶ ὡς γερῶν γερούσιος. ἑκὼν ἑκούσιος. ὢν οὔσιος. καὶ θηλυκὸν οὐσία.

Οὖσον τὸ σχοινίον. τὸ ἐξ οἴας πλακέν. τινὲς οὖσα ἐκάλεσαν, τὰ τὴν ναῦν οὐκ ἐῶντα σείεσθαι.

Οὐχ ἥκιστα. λίαν. πάνυ. ἢ μάλιστα.

Οὐτιδανοῖσιν. ἀσθενέσιν. οὐδενὸς λόγου

ἀξίων ἀτεκνῶν. δύο εἰσὶ σύνθετα εἰς
ος. οὐτιδανὸς οὐτιδανή. καὶ μηδαμι-
νός. μηδαμινή. καὶ τὸ μὲν οὐτιδα-
νὸς γέγονε παρὰ τὸ οὔτις οὔτιδος.
τοῦ συγκειμένου ἐκ τοῦ οὐ καὶ τοῦ
τίς. τὸ δὲ μηδαμινός. ἀπὸ τοῦ
μηδαμά. ὅπερ σύγκειται ἀπὸ τῆς
μὴ ἀπαγορεύσεως. καὶ τὸ δαμός.
τὸ ἰσοδυναμοῦν τῷ τίς. ἐξ οὗ καὶ
τὸ ἐπίρρημα μηδαμῶς. διότι
ἀπολογούμεθα ὑπὲρ αὐτοῦ. ὅτι
παρασύνθετα εἰσί. τὸ μηδαμινὸς
καὶ οὐτιδανός. καὶ διὰ τοῦτο καὶ
τὰ θηλυκὰ ἐνήλλαξε. καὶ γέγονεν
εἰς δύο. τὰ γὰρ κοινὰ τῷ γένει.
σύνθετα εἰσίν.

Οὐτιδανοῦ μηδαμινοῦ. οὐδενὸς λόγου
ἄξιον. ἐκ τῆς οὐ ἀρνήσεως καὶ τοῦ
τίς. ὃ σημαίνει τὸ οὐδείς. γίνεται
οὔτις. ἡ γενικὴ οὔτινος. οὐτινός. καὶ
καὶ πλεονασμῷ τοῦ δ. οὐτιδανός.
Οὔτις. οὐδείς. τὸ οὐ ἐπίρρημα
ἀρνήσεως. τὸ τὶς ὄνομα. τὸ δὲ

ἥτις ἐπὶ τοῦ ὁ δυσσεβέως ἀντὶ τοῦ ὀνόματος κυρίου παραλαμβάνεται. καὶ ἔστιν ἓν μέρος λόγου καὶ περισπᾶται.

Οὗτος· ἀντωνυμία μονοπρόσωπος. τέσσαρες γὰρ εἰσὶν μονοπρόσωποι ἀντωνυμίαι. οὗτος. αὐτὸς ἐκεῖνος. καὶ ὁ δέ. καὶ ὁ δεῖνα. κατὰ παραγωγήν. τὸ δὲ δεικτικὸν οὑτοσί τό γὰρ οὑτωσί. ἐκεινοσί καὶ ὁδί. γίνεται κατ' ἐπέκτασιν τοῦ ι. πρὸς ἐμφανισμὸν πλείονος δείξεως. ἡ δὲ αὐτὸς στερηθεῖσα τῆς δείξεως. ἐστερήθη καὶ τῆς διὰ τοῦ ι. ἐπεκτάσεως. οὕτω καὶ ἡ κλητική. ὦ οὗτος. Ἀττικῶς. ὁμοίως καὶ τὸ ἐκεῖνος. ἡ δὲ αὐτός. κλητικὴν οὐκ ἔχει. ἡ δὲ οὗτος καὶ ἐκεῖνος. ἀντιδεικτικαί εἰσιν. ἡ δὲ αὐτός. ἀναφορὰν δηλοῖ. ἐναντία δέ ἐστιν ἡ δεῖξις. τῆς ἀναφορᾶς.

Οὗτος. καὶ οὑτοσὶ διαφέρει. τὸ μὲν γὰρ ἄνευ τοῦ ι δεικτικὸν μόνον.

τὸ δὲ ἔτος δεικτικὸν καὶ ἀναφορικόν.
ὁ δ᾽ αὐτὸς λόγος· καὶ ἐπὶ τούτου καὶ
τουτονί·

Οὕτως ἐπίρρημα μεσότητος. τοῦτο
οὐκ ἔστιν ἀπὸ τῆς γενικῆς· σεσημειώ-
ωται γάρ· τοῦτο ἀπὸ εὐθείας γίνεται.
εἰ γὰρ ἀπὸ τῆς γενικῆς ὤφειλεν εἶ-
ναι τοῦτο· καὶ ἐκ τοῦ εἰπεῖν τὸν
τεχνικόν· τὸ δὲ ως· ὀξύνεται. ἐπειδὴ
ἀπὸ τοῦ τος γέγονε· καὶ τὰ ὅμοια· καὶ
ὅτε μὲν ἐπιφέρεται τὸ σύμφωνον
ἐξέρχεται τὸ σ· καὶ ὅτε φωνῆεν
φυλάττει. οὐδέποτε ἐπιφερομένου
φωνήεντος· ἐκβέβληται τὸ σ· ποῖον
ἐστιν ἀναλογώτερον. τὸ οὕτως. ἢ τὸ
οὕτω· καὶ λέγομεν τὸ οὕτως. ἐπει-
δὴ τὰ ἀπὸ τριῶν γενῶν ὀνόμα-
τα· γίνονται μεσότητος ἐπιρρήμα-
τα εἰς ως· λήγειν ὀφείλουσιν.
οἷον καλός· καλή· καλῶς· ὅταν δὲ
μὴ τριγενὲς ᾖ· εἰς ω λήγει· οἷον
κύκλος· κύκλω· πρός· πρόσω· ἴδω-
μεν οὖν εἰ τοῦτο τριγενές· ἔτος. οὐ

τοιαῦτα. οὕτως ἄρα τὸ ἀνάλογον.
τὸ δὲ οὕτω κατ' ἔλλειψιν τοῦ ς̄. κα-
τὰ δεύτερον λόγον. ὅτι τὰ εἰς ω̄
λήγοντα ἐπιρρήματα οὐδέποτε φύσει
μακρὰ παραλήγονται. οἷον ἄνω. κά-
τω. πρόσω. ἔξω. ἄφνω. πλὴν τοῦ εἴ-
σω. οὕτως ἄρα τὸ οὕτω κατὰ πά-
θος.

τὸ ο̄ μετὰ τοῦ φ̄.

ὀφείλειν εἰς τὸ ὀφλ'':
ὀφείλω. τὸ χρεωστῶ. ἐπὶ ἐνεστῶτος.
διὰ διφθόγγου. ὁ μέλλων ὀφελῶ. ὁ
δεύτερος ἀόριστος ὤφελον. καὶ ὁ
πρῶτος ὤφειλα. ἐκ τούτου δὲ κα-
τὰ συγκοπήν. ὄφλω. ὀφλήσω.
ὤφληκα. ὤφλημαι. ὤφλημα.
ὀφείλημα. χρέους διαφέρει. ὀφεί-
λημά ἐστι δημόσιον χρέος. ἤγουν ὀ-
φειλόμενον τῷ βασιλεῖ. χρέος δὲ τὸ
ὀφειλόμενον ἰδιωτικῶς. ἤτοι ἰδιωτι-
κὸν δάνειον.
ὄφλημα. καὶ χρέος διαφέρει. ὄφλη-
μα μὲν γὰρ καὶ ὀφείλημα. τὸ ἐκ
καταδίκης τῷ δήμῳ ὀφειλόμενον.

χρέος δὲ τὸ ἰδιωτικὸν δάνειον.

ὀφείλω· διὰ τῆς ει διφθόγγου γράφεται· ἐπειδὴ παρὰ τὸ ὄφελος γέγονεν ὀφέλω· καὶ πλεονασμῷ τοῦ ι ὀφείλω· ἢ ἐπειδὴ ὀφέλλω λέγουσιν οἱ Αἰολεῖς· ἔθος γὰρ ἔχουσιν τῆς ει διφθόγγου ἀποβάλλειν τὸ ι· καὶ ἀναδιπλασιάζειν τὸ σύμφωνον οἷον ἀπείλω· ἀπέλλω.

ὀφέλλω· εἰς τὸ ζαφελής.

ὀφείλημα· παρὰ τὸ ὀφέλλειν ὅ ἐστιν αὔξεσθαι τὸ δάνειον· τὸ αὐξανόμενον τόκῳ· ὀφέλλω σημαίνει τὸ αὐξάνω.

ὄφελον κατορθωθῆναι· ἀντὶ τοῦ εἴθε· γράφεται δὲ διὰ τοῦ ο μικροῦ

ὀφειλή διὰ τῆς ει διφθόγγου· σημαίνει δὲ τὸ ὀφειλόμενον· παρὰ γὰρ τὸ ὀφείλω γέγονεν.

ὄφελος· ποία ἔγκλισις· συντάσσεται· καὶ λέγομεν ὅτι ἀπαρεμφάτῳ· κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι τὸ ὄφελος ἀπλωτόν ἐστι· σημαίνει δὲ δύο· ἔστιν εὐχῆς σημαντικόν· καὶ

ῥῆμα· οὐ κλίνεται δέ· ἐπειδὴ δύο κανόνες εἰσὶν οἱ μαχόμενοι· ὁ μὲν εἷς λέγει· ὅτι διὰ τοῦ ἔλος ὑπὲρ δύο συλλαβὰς οὐκ εἰσὶν οὐδέτερα· ὁ δὲ ἕτερος λέγει· ὅτι διὰ τοῦ ελος οὐδέτερα δισύλλαβα εἰσίν· οἷον σκέλος· βέλος· μέλος· τέλος· τοῦτο δὲ ὡς ὑπερβὰν τὴν δισυλλαβίαν· καὶ μὴ ἔχον τι μιμήσασθαι· ἔμεινεν ἄκλιτον·

Ὀφθαλμοί· ὅπου θάλαμοι τινὲς ὄντες.

Ὀφθαλμός· ὄρασις θολουμένη τομῶς. ἤγουν χαλεπῶς. ἢ παρὰ τὸ ὤφθαι λίαν καὶ τομῶς. ἢ διὰ τὸ ὁρᾶν φῶς.

Ὄφις παρὰ τὸ ὄπτω· ὀπτικὸν γάρ ἢ παρὰ τὸ ἰός· ἐν ὑπερθέσει ὄις. καὶ πλεονασμῷ τοῦ φ ὄφις· ὁ γὰρ ὄφις κοιμώμενος ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμούς· ἢ ὡς ἂν εἴποις ὀφύβας ἤγουν τῇ γυναικὶ λαλύβας· ἐλάλησε γὰρ τῇ Εὔᾳ.

ὀφλεῖν. καὶ ὀφείλειν διαφέρει. ὄφλει μὲν γάρ τις ἐπὶ καταδίκῃ. ὀφείλει δέ τις ὡς καὶ ἡμεῖς φαμέν.

Ὀφιόδηκτος. ἐκ τοῦ ὄφις καὶ τοῦ δήκω. τὸ δάκνω.

Ὄφλω. χρεωστῶ. παρὰ τὸ ὀφείλω συγκόπτεται.

Ὄφρα. εἰς τὸ τόφρα.

Ὄφλημα. τὸ χρεώστημα.

Ὀφρυάζοντα. ὀφρυάζειν λέγεται. τὸ ταῖς ὀφρύσι νεύειν. ἀπὸ τοῦ ὀφρυάζω. τοῦτο παρὰ τὸ ὀφρῦς. δηλοῖ δὲ τὴν προσβολὴν ὁτουδήποτε τόπου. καὶ τῶν ὀρέων καὶ ἤκων τῶν ὀφρύων. συντάσσεται μετὰ δοτικῆς.

Ὀφρύες λέγονται ἤτοι ὠπορύες. παρὰ τὸ φρουρεῖς τοὺς ὦπας. ἀπὸ τῶν ὄμβρων καὶ τῶν ὕπερθεν ἱδρώτων. ὡς μὴ ἐπ' αὐτοὺς φέρεσθαι. ἢ παρὰ τὸ φρέω καὶ συγκοπῇ φρῶ. ὅθεν καὶ τὸ εἰσφρῶ.

ὅπερ γέγονεν ἀπὸ τοῦ προΐω.
Φρῶ· φρύς· καὶ ὀφρύς· δηλοῖ δὲ
καὶ τὴν προβολὴν ὁτουδήποτε
τόπου· καὶ τῶν ὀρέων καὶ ἡμῶν
τῶν ὄψεων, ὁ δὲ Ἡρωδιανὸς παρὰ
τὸ ῥέω· ῥύς· τοῦ φ̄ πλεονάσαν-
-τος· οἱ δὲ παρὰ τὸ ὄπτω. ὀφρύς.
καὶ πλεονασμῷ τοῦ ε̄ ὀφρύς.

Ὀφρύες· παρὰ τὸ φρύεσθαι αὐ-
-τὰς καὶ ἀλλοιοῦσθαι. ἐπὶ μὲν
γὰρ ὀργῆς· ἀνωφερεῖς τινὰς καὶ
ἀγεῖ- καὶ κεκυρτωμένας ἐπὶ τὰ
ἄνω· ἐπὶ δὲ ἱλαρότητος εὐθείας
καὶ ἡπλωμένας καὶ κατωφερεῖς.

Ὀφρύς· ὀφρύος· τῆς τραχύτητος.
ὅθουκί ὀλεύς ἀπό τινος ὄρους τρα-
-χέος.

Ὀφρύς· παρὰ τὸ τοὺς ὦπας
ἐρύεσθαι· ἤγουν φυλάττειν. ἢ παρὰ
τὸ φρέω· φρύς· καὶ ὀφρύς ψι-
-λοῦται· πᾶν φωνῆεν πρὸ δασέος
καὶ τοῦ ε̄ ψιλοῦται· ἀφρός· ὄφρα.
ἢ παρὰ τὸ ἐρούω· τὸ φυλάττω.

καί τό ὤψ· ὠπός καί τό ὄροφος· ὀπο:ροφοί τινες ὄντες· ὄροφοι γάρ τῶν ὤπων· οἱ δέ φασίν· παρά τό ὄπτω τό βλέπω· ὀπρύς· καί ὀφρύς· τό ο̄ μικρόν· τό ο̄· εἴτε κατ' ἀρχήν λέξεως· εἴτε κατά τό μέσον· ἔχον μεθ' ἑαυτοῦ δύο σύμφωνα· ἐν ἁπλῇ καί ἀκινήτῳ λέξει· διά τοῦ ο̄ μικροῦ γράφεται.

Ὀφώλια· εἰς τό ὀποφώλια.

## τό ο̄ μετά τοῦ χ̄.

Ὄχα· ἐπίρρημα μεσότητος.

Ὄχα· καί ἔξοχα· σημαίνει τό ἔξοχον καί ἔνδοξον· γέγονε δέ παρά τό ἔχω· ἔξοδος· καί τό οὐδέτερον ἔξοχον· καί ἔξοχα· καί ἀφαιρέσει τῆς προ:θέσεως ἐξ· ὄχα· ἐστιν ἐπίρρημα ὀνομαστικόν.

Ὄχανος· ἐξ οὗ ἀποκρέμαται ἡ ἀσ:πίς· παρά τό ἔχεσθαι.

Ὄχανον· ὁ δέσμος καί ὁ λῶρος· ἐξ οὗ ἀποκρέμαται ἡ ἀσπίς· γίνεται

δὲ παρὰ τὸ ἔχω· ὃ σημαίνει τὸ κρα-
τῶ ἔχανον καὶ ὄχανον.

Ὀχέων· ἁρμάτων. ἔστι γὰρ τὸ ὄχος καὶ σημαίνει τὸ ἅρμα· καὶ γίνεται ἐκ τοῦ ἔχω τοῦ σημαίνοντος τὸ ἐλαύνω. καὶ ἐξ αὐτοῦ ῥῆμα ὀχῶ. ὁ μέλλων ὀχήσω. ὄνομα ῥηματικόν ὄχημα σημαίνει δὲ τὸ ἅρμα.

Ὀχεύς· εἰς τὸ τοκεύς.

Ὀχεία· μίξις. συνουσία.

Ὀχή· εἰς τὸ αἰγιόχοιο καὶ ἀγέρω-
χος.

Ὄχημα· εἰς τὸ ὀχέων.

Ὀχεύς κατὰ τροπὴν τοῦ ε εἰς η.

Ὀχθήσας· ἀγανακτήσας. παρὰ τὸ ἄχω. βαρύτονον. ἀχθῶ. ἀχθήσας. καὶ ὀχθήσας.

Ὄχθος τὸ χεῖλος τοῦ ποταμοῦ ἢ τῆς θαλάσσης παρὰ τὸ ἔχω. ὄχος. ὃ ἔξοχος. καὶ ὄχθη.

Ὄχλος· παρὰ τὸ ἴλλω τὸ συστρέφω. ἴλος καὶ ὄχλος. ἢ παρὰ τὴν ὄχλησιν. ἢ παρὰ τὸ ἀχλύς ἄχυλος. καὶ ὄχλος.

κατὰ τροπὴν τοῦ α· εἰς ο· καὶ εἰς
τὸ πλῆθος.

Ὄχλος· χλῶ. ἐστὶ ῥῆμα. ἔνθεν παρὰ
β πινδάρῳ· κεχλαδώς. ὁ πληθύων. πα-
ράγωγον χλάζω. καὶ ἀναδιπλασιασμῷ
καχλάζω. τὸ οὖν χλῶ. ῥηματικὸν
χλώσω. ἐπενθέσει τοῦ ο ὄχλος.
ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ ὅλος. τὸ
συστρέφων ἐν πλεονασμῷ τοῦ χ. ὄχλος.

Ὄχλος σημαίνει δύο· τὴν ὄχλησιν καὶ
ταραχὴν καὶ τὸ πλῆθος τοῦ λαοῦ.

Ὀχλίζει· κινεῖ. ἔνθεν καὶ ὁ μοχλός.
ὁ μὴ ἐῶν κινεῖσθαι τὰς θύρας διὰ φό-
βον.

Ὀχμάζω· κρατῶ. ἐκ τοῦ ἔχω. τὸ
κατέχω. παράγωγον γὰρ κατεχά-
ζω. καὶ κόπτω κοπτάζω. εἶτα
ἐπενθέσει τοῦ μ κατεχμάζω. καὶ
τροπῇ τοῦ βραχέος εἰς βραχὺ
ὀχμάζω. ὡς ἀλκὴν ἀλκμάν.

Ὄχνη· εἶδος δένδρου καστάνου.
κουστουμένου. μήλου ἀπιδίου.

Ὀχμάσας· σημαίνει τὸ κρατήσας.

καὶ κόψας. ἔστιν ἔχω τὸ κρατῶ. ὁ
μέλλων ἕξω. παθητικὸς παρακείμε-
νος ἦμαι. ἐξ αὐτοῦ ὄνομα ἐχμάς
ἐχμάδος. καὶ τροπῇ τοῦ ε. εἰς
ο ὀχμάζω. ὁ μέλλων ὀχμάσω.
ὁ ἀόριστος ὤχμασα. ἡ μετοχὴ
ὀχμάσας.
Ὀχμοί. παρὰ τὸ ἔχεσθαι ἄλλο
ἄλλου αὐτοῦ.
Ὄχμοι στακχύων φυτεῖαι.
Ὄχος. εἰς τὸ ὀχέων.
Ὀχυρός. παρὰ τὸ ἔχω. ἐχυρός.
καὶ τροπῇ τοῦ ε. εἰς ο. ὀχυρός.
Ὄχθοι. αἱ τραχεῖαι καὶ δύσβατοι
πέτραι. καὶ ἐξοχαί.
Ὄχθοι. καὶ ὄχθαι διαφέρουσι. ὄχ-
θαι μὲν γάρ εἰσι χείλη ποταμῶν.
ὄχθοι δὲ γῆς ἐπάρματα.
Ὀχυρώσεται. καὶ ἐχυρώσεται. τὸ
δὲ ὀχυρώτατος. καὶ ὀχυρώτατος
διὰ τοῦ ω μεγάλου γράφεται.
καὶ τὸν κανόνα οὐκ ἀγνοοῦμεν.
ἰστέον ὅτι δύο σεσημείωται. στενότερον.

καί ὅλος ὁ εὔλογος· ἀπό γάρ τοῦ
στινότερον καί κινότερον γεγόνασιν.

Ὄχνη· ἡ ἀχράς· οἷον· ἀχόη· διά
τό μή ποτίζεσθαι· ξηρά γάρ ἥδεται
γῆ· ἡ ὀπώρα αὕτη καί ἄπιος· ἢ
ἥκιστα πίνουσα.

Ὄψ· εἰς τό λέξιν· καί ἐνοπή· καί
ὑπερόπτευτής· καί εἰς τό ὤψ.

Ὀψάριον· παρά τό ὄψον αἴρεσθαι
ἐκ τῆς θαλάσσης· ἢ ὄψου τοῦ ἑψθέου,
ἤγουν βρώσις ὕδατος· ἢ ὅτι ψαῖον αἴρε-
-ται· ἢ τοι ἐγγίζον τῷ δελέατι.

Ὀψὲ βραδέως· παρά τό τήν ὥραν
ἐπιτηδείαν εἶναι πρός ἑσπέραν·
εἰς τό ἀψ ἵεναι.

Ὀψέ καί ἑσπέρα διαφέρει· ἑσπέ-
-ρα μέν· ἡ μετά τήν δύσιν τοῦ
ἡλίου κατάστασις· ὀψέ δέ τό μετά
πολύ τῆς δύσεως· καί καθόλου
μετά πολύν χρόνον· καί ὀψαρό-
-της· ὁ μετά πολύ τοῦ καθήκον-
-τος χρόνου ἀροτριῶν καί εἰς

τό ὄψι τέλεςος·

ὀψείω· διά τῆς ει διφθόγγου·
σημαίνει δέ τό ἐπιθυμίαν ἔχω
θεωρῆσαι·

ὀψείω· τό ὀπτικῶς ἔχω· παρά
τό ὄπτω· ὄψω·

ὄψις παρά τό ὄπτω, ὄψω· ὄψις.

ὀψία· ἀψία ἦν· παρά τό ἀφ
εἶναι· ἀπό τῶν ἔργων· καί τό
ἐναντίον κατάστημα· πρωΐα λέγε-
ται· παρά τό προϊέναι ἐπί
τά ἔργα· σάπφω· β

Φεσπέρεον πάντα φέρων ὄσα φαίνολις ἐσκέδασεν αὔως.

ὀψία παρά τό ὀπίσω εἶναι· ὡς
πρωΐα· διά τό προϊέναι ἐπί τά
ἔργα.

ὀψίγονος ἐκ τοῦ ὄψι καί τοῦ γό-
νος· ποίας διαθέσεως. ὁ κανών.
τά εἰς ος ὀνόματα δισύλλαβα
ῥηματικά· εἰ μέν ἐνεργητικά
εἶεν . . . . . . τό ὄψι
ἐκ τοῦ ὀψέ· ἐπιρρήματος· ὅτι ἐστί

καὶ ἐκ παρατατικόν· ἐξ οὗ καὶ
ὀψία.
Ὀψιτελέστερον· ὄνομα οὐδέτερον,
ἐκ τοῦ ὀψέ· καὶ τοῦ τελεστόν.
τὸ δὲ ὀψέ· ἐκ τοῦ ἄψ· ὃ σημαί-
-νει τὸ εἰς τοὐπίσω ἐπαναστρέφ-
-εσθαι· ἤγουν πρὸς τὸν οἶκον ἢ τὸ
πάλιν· ἀμφότερα δὲ ἐκ τοῦ ἄψ
ὥσπερ πρωΐα λέγεται παρὰ
τὸν οἶκον προϊέναι. οὕτω καὶ
ὀψὲ τὸ βραδὺ γίνεται· ἐκ τοῦ
ἄψ ὃ εἰς τοὐπίσω ἐπαναστρε-
-φων ἤγουν πρὸς τὸν οἶκον· τὸ
δὲ ὀψέ· οὐ σημαίνει τὸν τῆς
ἑσπέρας καιρόν· ἀλλὰ τὸ βρα-
-δὺ τοῦ χρόνου· ἤγουν τοῦ ὄρθρου.
λοιπὸν ἐκ τοῦ ἄψ· ὃ σημαίνει
τὸ πάλιν τροπῇ τοῦ α εἰς
ο γίνεται ὀψέ, καὶ ἐξ αὐτοῦ
γίνεται κατὰ πλεονασμόν, ὀψι.
βαρύτονον· ἐπειδὴ κανών ἐστιν
ὁ λέγων· τὰ εἰς ι λήγοντα —

ἐπιῤῥήματα συνεσταλμένον ἔχοντα
τὸ ι. βαρύνεσθαι θέλουσιν· οἷον
ὄφι· αὖθι· νόσφι· κεῖθι· μέχρι·
ἄχρι· ἦρι· ἄρτι· ὄθεν· τὸ χωρὶς
ἀποβάλλον τὸ σ̄· διὰ τὸν κα-
νόνα τοῦτον βαρύνεται· χωρὶ
γὰρ λέγεται· οὕτω ὀψὲ καὶ ὄψι.
πρόσκειται συνεσταλμένον ἔχοντα
τὸ ι. διὰ τὸ δωρεί· καὶ γνωί.
ταῦτα γὰρ μακρὸν ἔχει τὸ ι.
ὁ κανὼν περὶ τοῦ βραχέος ἐστί.
σεσημείωται τὸ οὐχί· τοῦτο δὲ
ὅτι παραλόγως ἐστίν· ὥσπερ γὰρ
ἀπὸ τοῦ ἦ ὃ σημαίνει τὸ ὅπου
ἐπεκτάσει τῆς χι συλλαβῆς γί-
νεται ἦχι βαρυτόνως· οὕτω καὶ
παρὰ τὴν οὐ ἄρνησιν ἐπεκτάσει
τῆς χι συλλαβῆς ὤφειλεν εἶναι
οὐχὶ βαρυτόνως ∎ ἀλλ' ἐπειδὴ
παραλόγως ὀξύνεται· τὸ οὐ. εἰκότως
καὶ μετὰ τῆς χι ἐπεκτάσεως
ἡ αὐτὴ παραλογία ἐφυλάχθη.

λοιπόν ἐκ τοῦ ὄψι· καί τοῦ τέ-
λος· γίνεται ὀψιτέλεσος· καί ἀνα-
βιβάζει τόν τόνον· χωρίς εἰ μή
διά σημασίαν τινά κωλυθῇ· διά
τό λοιγός· βροτολοιγός· ἔστι γάρ
ὁ φθείρων τούς ἄνδρας· ἔγραψε.

Ὄψον· σημαίνει· τό προσφάγιον.
ἐκ τοῦ ὄπτω γίνεται ὄπτον· καί
τροπῇ τοῦ τ εἰς σ· καί κράσει
τοῦ π σ· εἰς ψ· ὄψον· τό δέ ὀπ-
τῶ· παρά τό ὄπτω· τό βλέπω.
δεῖ γάρ βλέπειν συνεχῶς πρός
τό μή καίεσθαι· τά ὀπτόμενα.

Ὀψώνιον διά τό ὄψον ἤγουν βρῶ-
μα ὠνεῖσθαι.

Ὄψον κυρίως λέγεται πᾶν τῷ
πυρί κατασκευαζόμενον· παρά
τῷ ἕψον τι ὄν· ἤ παρά τό ὀπτῆ-
σθαι ὠνομασμένον.